This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

LIBRARY
UNIVERSITY OF CALIFORNIA
LET THERE BE LIGHT
UNIVERSITY OF CALIFORNIA
ORGANIZED 1868
JANE K. SATHER
LIBRARY FUND.
CLASS 751i.g.k
1896

CHORICIUS GAZÆUS.

TYPIS BAUTRUCHE, RUE DE LA HARPE, 90.

CHORICII GAZÆI

ORATIONES DECLAMATIONES FRAGMENTA.

INSUNT

INEDITÆ ORATIONES DUÆ.

CURANTE JO. FR. BOISSONADE.

Sic nostrum senium quoque
Angustam studii viam
Et callem tenuem terit.

LIBRARY OF THE UNIVERSITY OF CALIFORNIA

PARISIIS
APUD DUMONT, BIBLIOPOLAM A L'INSTITUT.

M DCCC XLVI.

PA 3948
C39
1846
MAIN

MONITUM EDITORIS.

Quum anno MDCCCXLIII Ed. Millerus vir doctissimus Hispaniæ bibliothecas, literarum Græcarum causa, inviseret, in meos usus — tanta est humanitate — Choricii orationes in Marcianum duas ineditas, et alius in Aratium præfationem descripsit ipse, idque summa cum diligentia, e Matritensi codice qui plurima sophistæ opuscula continet nondum typis mandata. Meminerat enim me sæpius in meis ad diversos scriptores annotationibus Choricium ad partes vocasse et e codicibus Regiis emendavisse. Quo beneficio viri d. nolui solus uti, quum orationes illæ, tam officiose et amice mihi dono datæ, historiæ atque antiquitatibus urbis Gazæ illustrandis multum conducere viderentur. Ac statim eas edendi consilium cepi, nec pretium operæ me non esse facturum putavi, si uno volumine cuncta simul complecterer Choricii opuscula, et fragmenta quæ in Bibliotheca Græca Fabricii, Villoisoni Diatriba, Maii viri emin. Spicilegio Romano, Yriartæ Catalogo, Antonii Sylloge, dispersa latent. Adjeci etiam, nec bona sine auctoritate, Choricianis declamationes duas Infanticidæ ac Patrocli, quæ vulgo sub nomine Libanii feruntur. Ævo Justinianeo, quum literæ Græcæ adhuc vigerent et linguæ pristina ferme constaret puritas, Choricius ad Libanii scribendi elegantiam accessit tam prope, ut ejus opuscula Libanianis permixta non dignoscerentur. Opinor tamen, licet oratio utriusque æque proba esse videatur, multum ingenio, et arte, et sententiis et compositione præstare Libanium. Permutata sunt etiam in lemmatis scholasticarum exercitationum Choricii et Procopii Gazæi nomina. Pessimæ sunt ple-

178191

rumque et ineptiores, ut malim, donec inspectis aliis codicibus veritas ad liquidum exploretur, illas Procopio tribuere; adeo ejus Epistolæ, quarum a lectione sum recens, mihi displicuerunt. Plenæ sunt enim sophisticæ anxietatis malæque affectationis, ac curiosius elaboratæ, ut recte judicavisse videatur Joannes Siceliota in Bekkerianis Anecdotis, cui ἀσαφὴς, ὑπόψυχρος, ἀηδὴς esse dicitur.

Plura de scriptore et editionis quæ habui subsidiis reperiet lector eruditus in Testimoniis quæ sequuntur, et passim in commentario. — Parisiis, secundo idus Maias XLVI.

TESTIMONIA DE CHORICIO.

I.

Ex PHOTII BIBLIOTHECA, Cod. CLX.

Ἀνεγνώσθη Χορικίου σοφιστοῦ Γάζης μελέται καὶ συντάξεις λόγων διάφοροι. Οὗτος χαίρει μὲν εὐκρινείᾳ καὶ καθαρότητι· εἰς τὸ χρήσιμον δὲ καὶ τῇ περιβολῇ (¹) κεχρημένος, τῷ τε εὐκαίρῳ καὶ τῷ μὴ εἰς μῆκος περιόδου ταύτην παρατείνειν οὐδὲν τῇ σαφηνείᾳ λυμαίνεται. Ἤθει τε καὶ ἀληθείᾳ συγκέκραται, οὐδὲ τῆς γνωμολογικῆς (²) σπουδῆς ἀστοχῶν. Ἡ δέ γε λέξις αὐτῷ, τῶν λογάδων οὖσα ἐν πολλοῖς, οὐκ ἀεὶ τὸ γνήσιον διώκει· ἔσθ' ὅτε γὰρ, διὰ τὴν ἄκρατον τῆς τροπῆς ἐκτροπὴν (³), εἰς ψυχρολογίαν ἐκπίπτει. Καὶ πρὸς τὸ ποιητικώτερον δὲ ἔστιν οὗ παρασύρεται. Χρήσιμος δέ ἐστιν αὐτὸς ἑαυτοῦ μᾶλλον, ἐκφράσεις καὶ ἐγκώμια (⁴) διεξερχόμενος. Ἔστι δὲ καὶ τῆς εὐσεβείας

(¹) Agens de rhetorica περιβολῇ Ernestius Lexico Technologiæ hunc ipsum Photii locum tractavit. Seneca Controversiis Præfatione libri octavi Montanum ait « sententiis explicationibusque audientes delinire »; dixerim græce, γνώμαις καὶ περιβολαῖς καταχηλεῖν.

(²) Ed. Schotti, γνωμονικῆς. Scripsi γνωμολογικῆς ex alia recensione quæ statim e codice proferetur.

(³) Ed. Schotti, προτροπῆς, cum adscripta varietate τροπῆς. Interpretatio latina, « ob nudam figurarum deflexionem »; quod vix intelligatur. Ernestius Lex. in Ἐκτροπαὶ citat e cod. 170 Photii (voluit scribere 160), ἐκτροπὴ τροπῆς, et reddit bene « troporum abusus ». Quam lectionem confirmat sequens notitia.

(⁴) Supersunt ἐκφράσεις horologii et pictæ tabulæ, ἐγκώμιον Summi. Multæ etiam insunt ἐκφράσεις orationibus in Marcianum, quæ ipsæ sunt ἐγκώμια. Atque opusculum, cujus lemma εἰς ῥόδον, inter ἐκφράσεις ponendum ex hoc loco Lexici περὶ συντάξεως inter Anecdota Bekkeri p. 146 : Ζηλοτυπῶ, αἰτιατικῇ. Προκόπιος, εἰς τὸ ῥόδον ἔκφρασις : « Ἄρης γὰρ ταῦτα μαθὼν (ἤρα δὲ καὶ οὗτος) ἐζηλοτύπου τὸν νέον ». Melius ἐζηλοτύπει Choricii editio p. 152. Nam codex Vaticanus, quem post Maium v. emin. sequutus sum, Choricio opusculum inscribit. Accedat ter-

ἐραστής, τὰ χριστιανῶν ὄργια καὶ τεμένη (1) τιμῶν· πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας ἑλληνικὰς (2), οὐ δέον ὂν (3), ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν, ἔστιν ὅτε καὶ ἱερολογῶν. Ποικίλα δὲ αὐτοῦ καὶ πολλὰ συγγράμματα φέρεται. Πλασματικοῖς (4) τε γὰρ καὶ πανηγυρικοῖς (5), καὶ μονῳδίαις (6) καὶ ἐπιθαλαμίοις (7), καὶ ἀντιῤῥητικοῖς (8) ἐστὶν αὐτοῦ λόγοις ἐντυχεῖν, καὶ τοιούτοις ἑτέροις. Ἤκμασε δὲ ἐν τοῖς Ἰουστινιανοῦ χρόνοις. Γέγονε δὲ μαθητὴς Προκοπίου ῥήτορος, ἑνὸς τῶν ἀρίστων· οὐ τοῦ Καισαρέως δὲ (9), ὅς, εἰς μέγα κτῆμα καὶ ὄφελος κατ' ἐκεῖνο καιροῦ τὰς ἱστορικὰς γραφὰς συντάξας, ἀείμνηστον αὐτοῦ κλέος τοῖς σπουδαιοτέροις καταλέλοιπεν· ἑτέρῳ δέ τινι προσωμίλησεν ἐν τῇ αὐτῇ πατρίδι καὶ αὐτῷ λαχόντι σοφιστεύειν, ὃς καὶ, εἰς γῆρας ἐλάσας, ἡδέως εἶχεν ὁρᾷν ἀνθ' ἑαυτοῦ τὸν ὁμιλητὴν τῆς σχολῆς ἐξηγούμενον. Τούτου λόγοι πολλοί τε καὶ παντοδαποὶ φέρονται, ἄξιον ζηλοῦ και μιμήσεως χρῆμα· καὶ δὴ καὶ βιϐλίον ὅλον, στίχων Ὁμηρικῶν μεταφράσεις εἰς ποικίλας λόγων ἰδέας ἐκμεμορφωμέναι, αἳ μάλιστα τὴν τοῦ ἀνδρὸς περὶ ῥητορικὴν δύναμιν καὶ μελέτην ἱκαναὶ πεφύκασιν ἀπαγγέλλειν· οὗ τινὸς, ὡς ἔστι δυνατὸν μαθητῇ, Χορίκιος μιμητὴς κατὰ τοὺς λόγους γέγονεν. Ἄμφω δὲ ἤστην εὐσεϐεε (10), καὶ πολλαχοῦ τοῖς λόγοις αὐτῶν, οὐδὲ παρέργως, περὶ τῆς ἱερᾶς εἰκονουργίας διαλαμϐάνουσιν. Γέγονε δὲ Χορικίῳ καὶ ἡ τοῦ διδασκάλου τελευτὴ ἐπιταφίου ὑπόθεσις (11).

tium id exemplum confusorum Procopii et Choricii, magistri et discipuli, nominum, duobus aliis a me exhibitis p. 134.

(1) Ecclesias in urbe Gaza describit et summo opere laudat duabus in Marcianum orationibus.

(2) Cujus vitii exempla videsis infra pp. 14, 15, 17, 44, et alibi.

(3) Villoisonus, his Photii verbis usus p. 44, tacite rescripsit ὢν οὐ δέον. Sed optimam esse formulam δέον ὂν ostendi pag. 319. Auctor sequentis notititiæ exhibet οὐ δέον, omisso altero participio, lapsu calami, ut videbatur mihi quidem, nondum inspecta viri præstantissimi editione in qua οὐ δέον.

(4) Πλασματικὰ opuscula vocaverim ethopœias quas ex Maiana editione in hanc meam recepi.

(5) Superest panegyrici fragmentum.

(6) Et superest Monodia.

(7) Ineditos epithalamios continet codex Matritensis. Vide infra pp. 284, 298.

(8) Nescio quas vocet Photius orationes refutatorias; fortasse in controversiis sophisticis refutationes et contradictiones.

(9) Historici scilicet.

(10) Nomen εὐσεϐὴς de christiano peculiariter dictum illustravi Anecd. Nov. p. 396. Modo εὐσέϐεια eodem positum sensu

(11) Quæ oratio funebris, exstat adhuc, estque editarum prima.

II.

ΠΕΡΙ ΧΟΡΙΚΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ ΓΑΖΗΣ (¹).

Ὅτι Χορίκιος ὁ σοφιστὴς ἤκμασε μεν ἐν τῇ Γάζῃ, ἐν τοῖς Ἰουστινιανοῦ χρόνοις, γέγονε δὲ μαθητὴς Προκοπίου ῥήτορος τῶν ἀρίστων ὄντος· οὐ τοῦ Καισαρέως ὃς τὰ κατὰ τὸν βασιλέα Ἰουστινιανὸν ἀξιολόγως συνεγράψατο καὶ ἱστόρησεν, ἀλλ' ἑτέρου τινὸς ἐν τῇ αὐτῇ πατρίδι καὶ αὐτοῦ λαχόντος σοφιστεύειν, ὃς καὶ, εἰς γῆρας ἐλάσας, ἡδέως εἶχεν δρᾷν ἀνθ' ἑαυτοῦ τὸν ὁμιλητὴν τῆς σχολῆς ἐξηγούμενον. Αμφω δὲ ἤστην εὐσεβέε. Γέγονε δὲ Χορικίῳ καὶ ἡ τοῦ διδασκάλου τελευτὴ ἐπιταφίων λόγων ὑπόθεσις. Φασὶ δὲ αὐτὸν τὸν Χορίκιον καὶ ἄλλους πολλοὺς καὶ παντοδαποὺς συγγράψαι λόγους. Ἀλλ' οἱ νῦν φερόμενοι, ὧν οὐ πλείοσιν ἐντετυχήκαμεν, οἱ ἐνταῦθα γεγραμμένοι εἶσιν (²). Ἐκ μὲν οὖν ἐκείνων τῶν πλείστων ἴσως ἄν τις καὶ μᾶλλον τὴν τοῦ ἀνδρὸς ἐν λόγοις ἀρετὴν συνῆκεν · καὶ ἐκ τούτων δὲ τῶν ὀλίγων, ὅσον ἔξεστι μαντεύσασθαι καὶ περὶ τῶν ἄλλων, ἀποφήναιτ' ἄν τις τοῦτον δικαίως ἄριστον εἶναι τὰ ἐς λόγων ἐργασίαν (³). Φασὶ δὲ αὐτὸν ἑαυτοῦ βελτίω εἶναι ἐκφράσεις καὶ ἐγκώμια (⁴) διεξερχόμενον, ὅσα καὶ τοῖς ἄλλοις (⁵) αὐτοῦ πρὸ ἡμῶν συγγράμμασιν ἐντετυχηκότες ἀπομεμνημονεύκασιν. Χαίρει μὲν οὖν εὐκρινείᾳ καὶ καθαρότητι, εἰς τὸ χρήσιμον δὲ καὶ τῇ περιβολῇ κεχρημένος, τῷ τε εὐκαίρῳ καὶ τῷ μὴ (⁶) εἰς μῆκος περίοδου ταύτην παρατείνειν οὐδὲν τῇ σαφηνείᾳ λυμαίνεται· ἤθει τε καὶ ἀληθείᾳ συγκέκραται οὐδὲ τῆς γνωμολογικῆς

(¹) Hæc de Choricio notitia, quæ plerumque consentit cum Photiana, præfixa est Choricii orationibus in cod. 2967.

(²) Continet codex ille orationes quatuor duntaxat, Procopii et Mariæ laudationes funebres, Summi encomium et tyrannicidæ declamationem.

(³) Aliter sentiebat Claverius, qui in Biographia Universali narrationem de Choricio, undeviginti absolutam versibus eisque brevissimis, hoc claudit effato : Choriciana quæ sunt edita ineditorum creare fastidium. Cassianum nil moror judicium hominis docti quidem, sed non valde literati. Dum erudita studia vigebunt, antiqui scriptores omnium omnes ætatum legendi erunt, quum ne unus quidem fortasse reperiatur vel inter infimos ac futiles, unde artis grammaticæ doctrina et rerum veterum non queat augeri.

(⁴) Καὶ ante ἐγκ. additum e Photio.

(⁵) Cod., ὅσοι... ἄλλοι.

(⁶) Τῷ ante μὴ additum ex Photio.

σπουδῆς ἀστοχῶν (¹). Ἡ δέ γε λέξις αὐτῷ, τῶν λογάδων οὖσα ἐν πολλοῖς, οὐκ ἀεὶ τὸ γνήσιον διώκει· Ἔσθ' ὅτε γὰρ διὰ τὴν ἄκρατον τῆς τροπῆς ἐκτροπὴν εἰς ψυχρολογίαν ἐκπίπτει, καὶ πρὸς τὸ ποιητικώτερον ἔστιν οὗ παρασύρεται. Ἔστι δὲ τῆς εὐσεβείας ἐραστὴς, τὰ χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως (²) καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας ἑλληνικὰς, οὐ δέον, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν, ἔστιν ὅτε καὶ ἱερολογῶν. Οἱ δὲ τῶν συγγραμμάτων αὐτοῦ ὑπομεμνημονευκότες φασὶ συγκεφαλαιοῦσθαι ταῦτα πλασματικοῖς καὶ πανηγυρικοῖς, καὶ μωνῳδίαις, καὶ ἐπιθαλαμίοις (³), καὶ ἀντιῤῥητικοῖς, καὶ τοιούτοις ἑτέροις.

III.

LEXICOGRAPHUS περὶ συντάξεως.

(Anecd. Bekk. p. 155).

Δρέπομαι, γενικῇ. Χορικίου ἐν τῷ πρὸς Μαρκιανόν (infra p. 88) : « ἰδοὺ γὰρ ἀναπετάσαντες τὰ πτερὰ, τῶν παρακειμένων τε δένδρων ἀποδρεψάμενοι, φιλονεικοῦσι μετάρσιοι φέρεσθαι ».

IV.

Ibid. p. 143.

Ἐμπαροινῶ, δοτικῇ. Χορικίου (⁴) ἐν τῷ εἰς Μαρκιανόν (infra p. 98) : « ἐμπαροινήσαντες δὴ τούτῳ πολλὰ, μᾶλλον δὲ σφίσιν αὐτοῖς (θεῷ γὰρ ἐνυβρίζειν οὐ θέμις), τελευτῶντες τῷ πάντων αἰσχίστῳ θανάτου τρόπῳ παρέδωκαν ».

V.

GREGORIUS Corinthi metropolita, ibid. p. 1081.

Ἐν τοῖς πανηγυρικοῖς κείσθω πρὸ πάντων εἰς ἀρχέτυπον ὁ μέγας Γρηγόριος ὁ θεολόγος, ὁ Νύσσης, ὁ μέγας Βασίλειος ἐν οἷς ὀλίγοις τοιούτοις ἔγραψεν, ὁ Παναθηναϊκὸς λόγος τοῦ Ἀριστείδου, ὁ Θεμίστιος, ὁ Προκόπιος Γάζης, ὁ Χορίκιος, ὁ Ψελλός.

(¹) Cod., ὃς δὲ... εὐστοχῶν.
(²) Cod., ὀλιγῶρος.
(³) Cod., ἐπὶ θαλακίας.
(⁴) Ed. hic et supra, Χωρικίου.

ΧΟΡΙΚΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΕΠΙΤΑΦΙΟΣ

ΕΠΙ ΠΡΟΚΟΠΙῼ ΣΟΦΙΣΤῌ ΓΑΖΗΣ (1).

Ὁ λόγος ἄχθεται (2) μὲν εἰς ἀνάγκην τοιαύτης ἐλθὼν ὑποθέσεως, τιμᾷ δὲ τὴν ὁσίαν του τεθνεῶτος ἐμοὶ (3) παιδευτοῦ, ταύτην αὐτῷ κατὰ δύναμιν ἀποδιδοὺς ἀμοιβήν.

Ἴσως μὲν ἄλογόν τι δόξω ποιεῖν, ψυχαγωγίας αὐτὸς ἑκάστου μᾶλλον (4) δεόμενος, εἶτα τοὺς ἄλλους παραμυθεῖσθαι πειρῶμαι· παραπλήσιον γὰρ ὥσπερ ἂν εἰ, σφόδρα τὼ (5) πόδε νοσῶν, τοὺς ἧττον ἀλγοῦντας χειραγωγεῖν ἐβουλόμην (6). Πλὴν ὅσῳ (7) πικρότερον ὑπὸ τῆς ἀθυμίας πιέζομαι, τοσούτῳ μᾶλλον οὐ φέρω σιωπᾶν, οἷα φιλοῦσιν οἱ λίαν ἀχθόμενοι πάσχειν· ὥστε (8), κἂν μόνος ὢν τις τυγχάνῃ, τὴν ἰδίαν αὐτὸς

(1) De Procopio Gazæo Choricii magistro vide Villoisonum Diatr. p. 26, qui ejus orationem in Anastasii laudem primus edidit.

(2) Editio Fabricii εὔχεται. Codices 2967 et 3087, designandi deinceps ille litera A, hic litera B, ἄχθεται, quod et legerat Wolfius latinus interpres, cujus hæc sunt verba : « dolet præsens oratio..... » Est etiam ἄχθεται in codice Matritensi apud Yriarten Catal. p. 396. Adde Villoison. Diatr. p. 26.

(3) B, ὁσίαν αὐτοῦ. Matr., τοῦ τεθνεῶτος μοί.

(4) A, sine μᾶλλον.

(5) Editio, sine τώ. B, τῶ. Olim monebam ad Anecdota Gr. t. 2, p. xv.

(6) A, ἐβολόμην.

(7) AB, ὅσον. Edit., ὅσῳ, quod placuit ob sequens τοσούτῳ.

(8) Edit., οἷς τε... τυγχάνῃ ἰδίαν. AB, ὥστε. — Lamprias Aristæneti Epist. 1, 16 : ἔρωτι περιπεσὼν ἀπορρήτῳ, κατ' ἐμαυτὸν ἔφασκον ἀπορῶν... Ἅπας γὰρ δι' ὁτιοῦν ἀχθόμενος τὴν ψυχὴν, τὸ λυποῦν ἐκλαλῶν, ἐπικουφίζει τῆς διανοίας τὸ βάρος. Scripsi τῆς διανοίας pro edito τῇ διανοίᾳ. Hu-

ἑαυτῷ διεξέρχεται λύπην. Ἐγὼ δὲ, καὶ ἄλλως ἀχαριστίας ἔγκλημα φέρων, πρὸς τὴν τῶν δακρύων ἠγωνισάμην φορὰν ἀνακόπτειν φιλονεικοῦσαν τὸν λόγον, ἄτοπον, ὡς εἰκός, εἶναι νομίσας, παρ' ᾧ λειμῶνας ἀττικοὺς ἐδρεψάμην, τούτου τὸν τάφον σιγῇ παρελθεῖν.

Πάλαι μὲν νενομοθέτηται (¹) τοῦτο τοῖς θαπτομένοις, ὅσοι τὸν βίον ἀμέμπτως διῆλθον, ἆθλον παὶ γέρας ἀπολαμβάνειν τὸν ἔπαινον· εἰ δὲ καὶ μήπω (²) κείμενος οὗτος ἔτυχεν ὁ θεσμὸς, ἐντεῦθεν ἂν ἔδει νόμον κρατῆσαι τοιοῦτον, οὐ πρὸς δόξαν τοῦ τεθνεῶτος (ποίαν γὰρ εὔκλειαν χαρίζεται λόγος ὀπίσω τῆς ἀξίας βαδίζων;), πρὸς ὄνησιν (³) δὲ μᾶλλον τῶν ζώντων. Μεγίστη γὰρ ἐπὶ τὰ βελτίω παράκλησις ἡ τῶν ἀγαθῶν εὐφημία.

Ἡ μὲν οὖν φύσις δοκεῖ μοι τὸν ἄνδρα τοῦτον ἐνεγκεῖν εἰς ἀνθρώπους, ὥσπερ ἀρετῆς ἀνθρωπίνης εἰκόνα βουλομένη φιλοτεχνῆσαι, καὶ παραστῆσαι σαφῶς ὅπως ἑκάστῳ βιῶναι προσήκει. Ἐλπὶς δὲ ἡ πάντα

schkius atque Jacobsius conjecerunt τῆς ἀνίας, hic ad Anal. t. II, p. 66; ille Epist. ad Santen. p. 30. Albertio τῇ διανοίᾳ non videtur displicuisse, locum recitanti Observ. p. 284. Eamdem sententiam habet Euripides OEneo 6 : τῷ δὲ δυστυχοῦντί πως Τερπνὸν τὸ λέξαι κἀποκλαύσασθαι πάθος. Libanius, t. 4, p. 154 : τοῖς ἀλγοῦσι φέρει παραμυθίαν ἃ πάσχουσι πρὸς ἑτέρους ἐξαγγέλλειν. Agathias Ep. 23 : Τοῖς μὲν γὰρ παρέασιν ὁμήλικης, οἷς τὰ μερίμνης Ἄλγεα μυθεῦνται... Ibi Jacobs. Achilles Tat. 2, 29 : λόγος... τῆς ψυχῆς ἐμάρανε τὸ λυπούμενον. Ibi Boden. Nicetas Eugen. I, 269 : Λύπης γάρ ἐστι φάρμακον πάσης λόγος. Idem 3, 48. Ὅμως ἐπειδὴ καρδίαν ἐλαφρύνει Τὸ τοὺς κατ' αὐτὴν ἐξερεύγεσθαι λόγους, Κλέανδρε, πρόσχες. Ibi nota. Heliodorus 4, p. 167: πάθος γὰρ ἅπαν, τὸ μὲν ὀξέως γινωσκόμενον εὐβοήθητον. Ibi Burdel. Gregorius Naz. t. 2, pag. 82 : Φάρμακον ἄλγεός ἐστι καὶ ἠέρι μῦθον ἐνισπεῖν. Nicephorus Greg. 8, 5, 5 : κοινωνεῖν δ' ἡμῖν οὐκ ἐθέλεις τῆς γνώμης, ἵνα καὶ τῆς λύπης ἡμεῖς σοι γενόμενοι κοινωνοὶ κουφότερον καταστήσωμέν σοι τὸ πάθος. Severus Sanctus 12 : « Prodest sermo doloribus ». Ibi Piper. Publius Syrus, v. 791 : « Heu ! dolor, quam miser est qui in tormentis vocem non habet » ! Ibi Gruter. Recentiores etiam nonnullos recordor. Cornelius Polyeucto : « A raconter ses maux, souvent on les soulage ». Molierus Psyche : « Il est des maux, ma sœur, que le chagrin aigrit ; Laissons, laissons parler mon chagrin et le vôtre ». Marmontelius : « Croyez moi : le poison de la douleur ne s'exhale que par les plaintes ; renfermé dans le silence il n'en devient que plus dévorant ». Gayus : « By chat afflictions lighter grow ». Adde not. ad Aristænetum l. l.; Anecdota Nova mea p. 402 ; Valcken. ad Callim. p. 209.

(¹) Ed., νενομοθετήτη. Correxi ex AB.

(²) Ed., μήπως.

(³) Ed., οἴησιν. Wolfius in latinis « emolumentum ». Legerat ὄνησιν, quod est in AB.

πείθουσα παραχωρεῖ τοῖς ἐκείνου πλεονεκτήμασι, καὶ οὐκ ἀνέχεται πείθειν ὡς ἄνδρα παρόμοιον ἥξει ποτὲ φέρων ὁ χρόνος.

Ἐκεῖνος γὰρ, ἔτι (1) παιδίον αὐτὸν καταλείψαντος τοῦ πατρὸς, εὐκοσμίᾳ καὶ τρόπῳ καθεστηκότι τοὺς ὑπὸ γονεῦσιν ἐπιμελῶς τρεφομένους (2) ἀπέκρυψε (3) καὶ, παραινούντων αὐτῷ ῥᾳστώνην διώκειν δυοῖν ἀμάχων συμβούλων (4), νεότητός τε καὶ πατρὸς ἐρημίας, ἔδειξε πείρᾳ τῶν ἔργων ὅτι φύσις δεξιὰ, κἂν ἐξ ἡλικίας, κἂν ἐξ ὀρφανίας ἐπὶ τὸ χεῖρον ὠθῆται, αὐτὴ (5) πρὸς τὸ δέον ἑαυτὴν οἶδεν ἀνθέλκειν.

Τοιγαροῦν ἐπὶ μὲν θύρας ἧκε ποιητικὰς (6), ἡλικίαν ἔχων ἣν οἱ τὰ πρῶτα παιδευόμενοι γράμματα· εἰς Ἑρμοῦ δὲ παλαίστραν ἐφοίτησε (7),

(1) A, ἐτὶ e correctione, quum esset prius scriptum ἔτι, B, ἐπί. Sic p. 4, 1, B, ἐπιμανθάνοντες. Id adverbium ἔτι me impedit in Lavacro Callimacheo, v. 75 : Τειρεσίας δ'ἔτι μῶνος, ἁμαὶ κυσὶν, ἄρτι γένεια Περκάσδων, ἱερὸν χῶρον ἀνεστρέφετο. Non capio quid velit ἔτι μοῦνος, « solus adhuc cum canibus » ut est in latina interpretatione. Silent annotatores. Propono Τειρεσίας δέ τε μῶνος. Est formula δέ τε frequens apud Theocritum, nec rara apud alios. Hesiodus Sc. 388 : θήγει δέ τε λευκὸν ὀδόντα. Idem et Fr. 50. Xenophanes Athenæi II, 7 : οὐδὲ γιγάντων, Οὐδέ τε κενταύρων. Appendix Anthol. 163 : Πάντη Πλουτάρχοιο κλέος, πάντη δέ τε θαῦμα. Christodorus 53. Solon Fragm. 15, 26 : Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστω, Αὔλειοι δ'ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι. Velim δέ τ'. Significat ἔτι portas continuisse malum, non continere amplius; sed nunquam continuerunt. Gregorius Naz. Anth. Pal. 8, 127 : οὐδ' ἔτ' ἀνίσχεν Αἴ αἴ! σοῖς θαλάμοις πυρσός. Revocandum οὐδέ τ' ex Muratoriana. Videtur et facilius posse Callimachi difficultas expediri, addito post ἔτι commate, ut jungantur ἔτι ἀνεστρέφετο. Qui jam ab diluculo forsan venabatur Tiresias, errabat adhuc sacerrimo in loco, meridie ipso.

(2) Aristænetus 1, 19, p. 89 : ὑπὸ μητέρι πενιχρᾷ τὰ πρῶτα πονήρως τρεφομένη. Vide n. ad Aristæn. 2, 5, p. 654. Themistius Or. 21, p. 244 : δεῖ καὶ τραφῆναι καὶ παιδευθῆναι ὑπὸ τοιούτοις διδασκάλοις τε καὶ τροφεῦσι. Adde Ungerum Electis p. 43.

(3) A, ἀπέκριψε. De metaphora verbi ἀποκρύπτειν non semel agere memini : vide Anecdota Nova, t. 1, p. 94. Libanius, t. 1, p. 674 : τὴν Δάφνην καλλίω κατέστησας, βασίλεια παλαιὰ τοῖς νέοις ἀποκρύψας. Idem p. 646 : τοῖς ἐκ τῆς ἐπιεικείας ἢ κατὰ τοὺς πολέμους ἐκρύπτετο ῥαθυμία. Aristides Orat. 45, p. 3 : οὗτοι φύσει καὶ δυνάμει διενεγκόντες τοὺς πρὸ αὐτῶν ἀπέκρυψαν. Conf. infra p. 35.

(4) Ovidius Am. 1, 6, 59 : Nox et Amor vinumque nihil moderabile *suadent* ». Et notum « malesuada fames ».

(5) Ed., αὐτήν. Conf. n. ad Anecd. Gr. t. 3, p. 134.

(6) De metaphora januarum vide n. ad Babrium Fab. p. 209; et infra De Marciano.

(7) Ed. ἐφοίτησεν. Wesseling. ad Diodor. 5, 75 : « Ἑρμοῦ παλαίστρα in quam Procopium penetrasse prodit Choricius, intelligit palæstram oratoriam cujus etiam studiosos Ἑρμοῦ ἀθλητὰς nuncupat, cap. 12 ». p. 8, 4.

χρόνον ἄγων τοσοῦτον ὅσον οἱ τὰ Μουσῶν ἔτι μανθάνοντες· βῆμα δὲ καὶ νέων χορὸς αὐτὸν διεδέξατο τοῖς τὰ ῥητόρων τελουμένοις ὁμήλικα. Καὶ ἦν παράδοξον θέαμα καὶ τερπνὸν τοῖς μαθηταῖς ἡλικιώτης διδάσκαλος.

Οὐ μὴν τὸ βραχὺ τῆς ἡλικίας εὐκαταφρόνητον ὑπῆρχε τοῖς φοιτηταῖς, ἀλλὰ τὸν νέον ὡς πρεσβύτην ᾐσχύνοντο (1), τὴν ἐπιστήμην αἰδούμενοι. Περικλέους μὲν οὖν τὸ μέγα (2) καὶ θρυλλούμενον ἦν πλεονέκτημα, ὅτι τὴν ἐκκλησίαν τὴν ἀττικὴν, αὐτοῦ μὲν ἀπόντος, σύγχυσις εἶχε καὶ ῥᾳθυμία καὶ ταραχὴ, καὶ κόσμος ἦν οὐδεὶς τῶν ποιουμένων, φανέντος δὲ, πρὸς τὴν πρώτην ὄψιν ὁ δῆμος μετεῤῥυθμίζετο· τὴν ἐκείνου δὲ ποίμνην εἶδες ἂν, παρόντος (3) καὶ μὴ, τὴν αὐτὴν εὐσχημοσύνην φυλάττουσαν, βεβαίως αὐτοῖς ἐῤῥιζωμένης τῆς εὐκοσμίας. Δύο γὰρ ὄντων οἷς ἀρετὴ βασανίζεται σοφιστοῦ, τοῦ τε καταπλήττειν τὰ θέατρα συνέσει λόγων καὶ κάλλει, τοῦ τε τοὺς νέους μυσταγωγεῖν τοῖς τῶν ἀρχαίων ὀργίοις (4), ἐκεῖνοι γὰρ (5), εἴτε τὴν παλαιὰν διασώζοντες παροιμίαν (χαλεπὰ γὰρ, φησὶ (6), τὰ καλά), εἴτε τὴν πολλὴν ἀκοὴν ἀμύητον εἶναι τῶν οἰκείων βουλόμενοι συγγραμμάτων, εἴτε τὴν ἀνθρωπείαν ἐπιστάμενοι (7) φύσιν

(1) De senili in juvene prudentia dixi ad Anecdota Nova, pp. 260, 397; dixit Tafelius Diluc. ad Pindarum, cui P. 4, 500, Demophilus juvenis canitur esse ἐν βούλαις πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ. Hrotsvitha, cujus Theatrum nuper edidit diligentissime et elegantissima instruxit conversione Magninus vir doctissimus, Abrahamo p. 228 : « ecce nanciscimur in pectore infantili senilis maturitatem ingenii ».

(2) Ed., τε μέγα. De Pericle Aristides Orat. 46, p. 160 : φασὶν οἱ γράψαντες περὶ αὐτοῦ διδασκάλου τάξιν πρὸς παῖδας πρὸς τοὺς Ἀθηναίους αὐτὸν ἔχειν, ὥστε ἀπόντος μὲν Περικλέους ἐν ἀταξίᾳ πολλῇ καὶ ῥᾳθυμίᾳ τὴν ἐκκλησίαν εἶναι πολλάκις, φανέντος δὲ εὐθὺς μεταβάλλεσθαι πρὸς τὴν ὄψιν, ὥσπερ δεδιότας μή τι γνοίη Περικλῆς ὧν ἡμάρτανον.

(3) B, εἶδε κἂν παρόντος.

(4) Æneas Gaz., p. 11 : οἱ τῶν Πλάτωνος ὀργίων μυσταγωγοί. Ibi apposui plurima. Anonymus Encomio comæ, p. 42 : ὁ τῶν τῆς φιλοσοφίας ὀργίων προεστηκώς. Ibi Miller. Marcellinus V. Thucyd. init. : τῶν Δημοσθένους μύστας γεγενημένους θείων λόγων. Leo Anth., 9, 201 : Θέσφατα μαντῴης φοιβηΐδος ὄργια τέχνης. Gallus Anth. Plan. 89 : ὄργια μάνθανε σιγῆς. Theodorus Prodr. Dissert. De sapientia, p. 13 : μαθηματικὴν ἐμυσταγωγήθη.

(5) Malim abesset γάρ. Forsan, γε.

(6) AB et Ed., χαλ. γάρ φησι.— Nobile est Solonis dictum, χαλεπὰ τὰ καλά. Vide Davis. ad Maxim. Tyr. 1, 1; Walz. ad Arsen., p. 474; Erasm. Adag. 2, 1, 12; mea ad Proclum in Cratyl. p. 10.

(7) A, οἰκείω... ἀνθρωπίαν. Ed., περιστάμενοι. Con[illegible] n. ad Psellum, p. 258.

τὸ μὲν εὐκόλως ἀνυόμενον οὐ θαυμάζουσαν (¹), τιμῶσαν δὲ τὸ πόνῳ τινὶ κατορθούμενον· ἐκεῖνοι τοίνυν, ἕν τι τῶν εἰρημένων ἢ καὶ σύμπαντα ταῦτα σκοπήσαντες, οὐ πᾶσι βασίμους(²) τὰς οἰκείας προὔθηκαν τέχνας· οὐδὲ παντὸς ἀνδρὸς, τὸ λεγόμενον, οὗτός ἐστιν ὁ πλοῦς (³). Ὁ δὲ φύσεως τε ῥώμῃ καὶ πόνων ἐπιμελείᾳ, καθάπερ ἑκάστῳ συνεσκεμμένος ὅσα πεποίηκεν ἕκαστος, οὕτω σὺν ἀκριβείᾳ τὰ πάντα (⁴) ἦγεν εἰς φῶς.

Τὰ μὲν δὴ λεχθέντα τοιοῦτος· πρὸς δὲ τὴν τῶν νέων ἀκρόασιν ποῖός τις; Οὐ λέξις αὐτὸν ἀλλοτρία ἐλάνθανε τῆς ἀττικῆς, οὐ νόημα πόῤῥω πλανώμενον τοῦ σκοποῦ, οὐ συλλαβή τις ἐπιβουλεύουσα τῷ ῥυθμῷ, οὐ συνθήκη τὴν ἐναντίαν ἔχουσα τάξιν τῆς εὐφραινούσης τὰ ὦτα. Ῥᾷον ἄν τις διέλαθεν Ἀρίωνα τὸν Μηθυμναῖον (⁵) ἢ τὸν Λέσβιον Τέρπανδρον ἐκμελῶς κινῶν τὰς χορδὰς, ἤπερ ἐκεῖνον ἄῤῥυθμόν τι φθεγξάμενος. Ἀλλὰ μὴν ἡνίκα τὰς οἰκείας γονὰς εἰς θέατρον ἤρχετο φέρων(⁶); ἐποίει δὲ τοῦτο πολλάκις εἰς ἔρωτα λόγων ἐγείρων τοὺς νέους, λογάδα πᾶσαν ἐξέπληττεν ἀκοὴν, καὶ τοὺς τὸν σύλλογον περιεστῶτας ἐκήλει, ὥστε τὴν Ἰσοκράτους ἐν τῷ τάφῳ σειρῆνα, δηλοῦσαν ὡς ἔθελγε πάντας ὁ ῥήτωρ(7), ἔχειν αὐτοῦ προσήκει τὸ μνῆμα.

Διπλῆς οὖν, ὅπερ ἔφην, οὔσης βασάνου καθ'ἣν τις γνησίως ὀνομάζεται σοφιστὴς, οὐκ ἂν ἔγνωσαν ὅθεν τὸν ἄνδρα μᾶλλον θαυμάζειν·

(¹) AB sine οὐ.

(²) Ed. βασίμοις. Quod mendum esse non comperiens Wolfius, mala apposuit latina : « non omnibus obviis suas artes proponunt ». Lege « obvias », patentes, aditu faciles.

(³) Versus est proverbialis apud Suidam, Οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς. Ibi Schott., quem vide et ad Zenob. 5, 37, ad Diogen. 7, 16, ad Strom. Prov. 758.

(⁴) A et Ed., τὰ πάντα. B, τὰ πάντων.

(⁵) Ed., Μεθυμναῖον. Vide n. ad Anecd. Gr. t. 5, p. 429. De Arione Methymnæo nonnihil dictum est ad Anecd. Nova, p. 218. Ὁ Μηθυμναῖος ἐκεῖνος κιθαρῳδὸς vocatur Theodoro Prodr. in Notit. Mann. t. 6, p. 556; ubi in vicinia ejus loci video scriptum ἂν κληρῶτο pro ἂν κληρῷτο. In eodem verbo et eodem auctore peccatum est ibid., p. 527: κεκλήρωσας τὸ εὐδόκιμον. Adscripsit Dutheilius *Sic*, bene; melius rescripsisset κεκλήρωκας.

(⁶) A, οἰκίας... φέρων. B, φέρων. Ed., φέρειν. Choricius in Summum initio : ἐλάττονα γλῶτταν ἥκω σοι φέρων.

(7) Philostratus V. Soph. 1, 17 : ἡ δὲ σειρὴν, ἡ ἐφεστηκυῖα τῷ Ἰσοκράτους τοῦ σοφιστοῦ σήματι, ἐφέστηκε δὲ καὶ οἷον ᾄδουσα, πειθὼ κατηγορεῖ τοῦ ἀνδρός. Ibi editor recentior vir doctiss. Eunapii verba, p. 2, ἵνα κατηγοριῶν ἀλήθειαν ἔχοι mutat in κατηγορῶν ἀλ..., non sine probabi-

ἔφης δ'ἂν εἰκότως Δημοσθένους τύπον εἰς ἀνθρώπους ἐλθεῖν ([1]). Καὶ ἔγωγε, εἴ μοι τοσοῦτον ἐξῆν ὅσον τοῖς τῶν δραμάτων δημιουργοῖς, καὶ πρόσωπα πλάττειν παρεῖχον νόμοι ῥητόρων, αὐτὴν ἂν εἰσῆγον Ῥητορικὴν, ἐν εἴδει γυναικὸς πενθικὴν ἐσθῆτα περικειμένης, οὐ τὰς ὀφρῦς ἐπαιρούσης, οὐ βαδίσματι σοβαρῷ κεχρημένης, κἂν ἐκ φύσεως ἔχῃ τὰ τοιαῦτα Ῥητορικὴ, ἀλλὰ συνεσταλμένης τε καὶ ταπεινὸν φρονούσης ([2]), εἰκότως, ὅτι τοῦ θιάσου τὸν κορυφαῖον([3]) ἐστέρηται, καὶ πρέποντα τῷ πάθει βοώσης· « Τίς γένωμαι([4]); τίνα λάβω παραψυχήν; πόθεν μοι « γενήσεταί τις Ὀρφεὺς, κρούμασι θέλγων τοὺς κάτω θεοὺς, καὶ μισθὸν « ἀπαιτῶν μοι τῆς μελῳδίας τὴν ἐκείνου ψυχὴν, οἷα δὴ ῥαψῳδοῦ- « σιν οἱ ποιηταί; » Ταῦτα δικαίως ἂν εἴποι Ῥητορικὴ, τοσούτου χηρεύουσα παιδευτοῦ, κέντρον ἐμβαλόντος ἐρωτικὸν ([5]) ταῖς μεγίσταις τῶν πόλεων καὶ λόγων ὀρεγομέναις.

Ἐπόθησε τοῦτον ἡ περὶ τὸν Ὀρόντην κειμένη πόλις ([6]), ἡ Λιβανίου μήτηρ ([7]). Ὅμοια πέπονθεν ἡ Φοινίκων μητρόπολις ([8]). Παρῆλθεν ἑκατέρας τὸ φίλτρον ἡ Καίσαρος ([9]), τὰ μὲν βιαζομένη, τὰ δὲ κολακεύουσα, τὰ δὲ πειρωμένη χρυσίῳ πολλῷ ([10]) δελεάζειν, οἵαις ἀεὶ μηχαναῖς ἐραστὴς πρὸς ἄγραν κέχρηται παιδικῶν, ἕως ὀψὲ μὲν ([11]) εἷλε τὸ θήραμα· ἑλοῦσα

litate quidem, sed sine necessitate, nec meminit eamdem mutationem fuisse ab Huetio propositam.

([1]) Vide notam 7, p. 22.

([2]) Ed., ταπεινοφρονούσης. AB, ταπεινὸν φρ.

([3]) A, τῶν κορυφαίων.

([4]) B, τίς γενομένα. Libanius, t. 4, p. 226, eadem formula usus est in loco pathetico : ἐμοὶ μήτηρ οὐκ ἔστιν, οὐδ' ὁ γεννήσας ἔτι καταλείπεται· οὐ συγγενὴς οὐδεὶς ἔτι φίλος ἐστὶ λιπών... τίς δὴ γένωμαι; Codex optime : οὐ συγγενὴς οὐδεὶς οὔτε φίλος ἐστὶ λοιπόν... et omittit δὴ, quod apte servabitur.

([5]) B, χηρεύσασα... κέντρον ἐμβαίνοντος. A exhibet quod exhibui e Fabriciana, consentiente libro Allatii, qui notis ad Epistolas Socraticas, p. 138 = 155, hunc locum descripsit ab ταῦτα δικαίως ad πόλις κοσμεῖται. Respicit nobiles versus Eupolidis De Pericle : μόνος τῶν ῥητόρων Τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις. Tropum κέντρου illustrat Pricæus ad A. Ap. 2, 37. Vide Runkel. ad Eupolidis Δήμους, p. 109.

([6]) AB, ὀρρόντην. B, infra ὀῤῥόντου. Eadem scriptura alicubi in codice Aristidis, t. 2, p. 335. Antiochia significatur, quæ paulo infra ἡ Ἀντιόχου dicetur.

([7]) Eunapius in Libanio : Λιβάνιον δὲ Ἀντιόχεια μὲν ἤνεγκεν ἡ τῆς Κοίλης καλουμένης Συρίας πρώτη πόλεων.

([8]) Eunapius in Porphyrio : Πορφυρίῳ Τύρος μὲν ἦν πατρίς· ἡ πρώτη τῶν ἀρχαίων Φοινίκων ἡ πόλις.

([9]) Cæsarea videlicet.

([10]) Ed., πολλά. Conf. n. ad Anecd. Gr. t. 4, p. 15, ubi de verbo δελεάζω. Allatius, πολλῷ.

([11]) Wyttenbachius ad Jul., p. 196, adverbium ὀψὲ illustrans,

δὲ φυλάττειν οὐκ εἶχεν, ἰσχυροτέροις (¹) ἀγόμενον λίνοις, πόθῳ τῆς ἐνεγκούσης. Καὶ τὰ τροφεῖα καλῶς ἀπέδωκε τῇ πατρίδι, τοσαύτας ὁμοῦ καὶ τοιαύτας ἐν δευτέρῳ θέμενος πόλεις. Καίτοι (²) χωρὶς ἀξιωμάτων λαμπρῶν καὶ μεγέθους κατασκευῆς, οἷς αἱ πόλεις ἐκεῖναι σεμνύνονται, ἴδιον ἑκάστη πλεονέκτημα κέκτηται, πρὸς ἔρωτα δεινὸν ἐρεθίσαι· ἡ μὲν Ἀντιόχου τὸν ὁμώνυμον χῶρον τῆς Ἀπόλλωνος ἐρωμένης (³), ὅπου χαρίεντα καὶ διαφανῆ καὶ πότιμα νάματα, πλάτανος δὲ πολλὴ καὶ κυπάριττοι (⁴) πλείους ἀμφιλαφεῖς τε καὶ ὑψηλαί, καὶ ὀρνίθων ᾠδαὶ καὶ αὖραι τὰ σώματα διαψύχουσαι. Ἡ μὲν οὖν Ἀντιόχου δέλεαρ ἔχει τὸ ἄλσος (⁵), ἡ δὲ Τυρίων τὰς χάριτας· οὕτω γὰρ ἄξιον προσειπεῖν τὰς πηγάς· ἡ Καίσαρος δὲ λουτρῷ καλλωπίζεται, ὅπερ ἡδὺ μὲν ὁρῶντί σοι δόξει, τερπνότερον δὲ λελουμένῳ. Ὑπὸ τοιούτων σειρήνων ἑλκόμενος, εἴχετο τῆς θρεψαμένης, δεινὸν εἰκότως ὑπολαβὼν τὸν ῥήτορα μὲν τῶν Ἀχαιῶν Ἰθάκης ἐρᾷν «κραναῆς περ ἐούσης» (⁶), αὐτὸν δὲ τοιαύτης ὑπερφρονῆσαι πατρίδος (⁷), τά τε ἄλλα καλῆς καὶ νικώσης ἀρεταῖς οἰκητόρων, ὅτῳ μάλιστα τρόπῳ πόλις κοσμεῖται (⁸).

proponit legendum ὀψὲ γοῦν. Nil mutandum. Fit antithesis: ὀψὲ μὲν εἷλε... ἑλοῦσα δέ.

(¹) B, ἰσχυτέροις. Sic pereunt syllabæ librariis. Dutheilius, vel quo utebatur amanuensis, raptius describens Theodori Hyrt. Epistolam 68, male exhibuit, οὐκοῦν ἀντευποίη θεὸς, quum exhiberet codex ἀντευπ̣οιοίη. Symeon Sethi Ichnel., p. 322: οὐδὲν καρδίας εὐμεταβλητότερον καὶ εὐαλλοιότερον. Forsan, εὐαλλοιωτότερον. Idem, p. 64: οὐδεμία μοι ἐν τούτῳ, φησὶ, μηχανὴ, εἰ μὴ ἄρα τὸ μεταθῆναι ὑμᾶς ἀπὸ τοῦδε τοῦ τόπου ἐφ' ἕτερον. Malim nunc legere μετατεθῆναι, displiceatque μεταθεῖναι, quod proposui ad Anecd. Gr. t. 4, p. 274.

(²) A, καί τι. Male Ed. jungit sententias πόλεις, καίτοι..

(³) Celeberrimum fuit Daphne suburbium Antiochiæ. Vide Heyler. ad Julianum Epist. 27, p. 286; Bletter. Vita Jul. p. 293.

(⁴) A et Ed., κυπαρίσσοι. B, κυπάρισσοι. Allatius, κυπάριττοι. Hoc scripsi. Sic et infra cod. Matrit. in Laud. Marciani.

(⁵) Libanius Antiochico suburbium ornatissimum verbis ornatissimis describens, t. 3, p. 354: κυπαρίττων πλῆθος καὶ πάχος καὶ ὕψος, ἀτραποὶ σκιεραὶ, χοροὶ μουσικῶν ὀρνίθων, πνεῦμα σύμμετρον, κλ. Strabo, 16, 2, § 6: ἡ Δάφνη, κατοικία μικρὰ, μέγα δὲ καὶ συνηρεφὲς ἄλσος, διαῤῥεόμενον πηγαίοις ὕδασιν. Vide inferius Choricii Orationem in Summum, pag. 27; collato Sinnero Delectu Patrum, p. 225.

(⁶) Homerus Il. 3,200: Ὀδυσσεὺς ὃς τράφη ἐν δήμῳ Ἰθάκης κραναῆς περ ἐούσης. Nec semel id epithetum Ithacæ tribuit.

(⁷) De urbe Gaza disseruit Mignotus in Memoriis Acad. Inscript. t. 34, p. 341. sqq.

(⁸) B, ἀρετῆς. Ed., ὅσῳ. A, ὁτῶ. B et Allat., ὅτῳ. Ad sententiam conferam Aristidem de Asclepiadis dicentem Orat. 7, p. 73: οἶδ' ἐν

Ἐπεὶ δὲ Ὀρόντου μνήμην ἐποιησάμην, ἕτερον εἰς νοῦν εἴληφα ποταμὸν, τὸν Αἰγύπτιον, καὶ τὴν τοῦ ποταμοῦ γείτονα πόλιν. Ἐκεῖ πρὸς ἄνδρα πάλαι μεθοδεύοντα λόγους ἔτι μειράκιον ὢν ἀπεδύσατο (¹), ἄρτι πρῶτον ἐν Ἑρμοῦ ταχθεὶς ἀθληταῖς (²), καὶ τέχνῃ καταπαλαίσας, ἐφ' ᾗ μέγα φρονῶν ἐκεῖνος ἐτύγχανεν, ἐστεφανωμένος ἀπῄει. Ἀλκιβιάδης μὲν οὖν ὁ Κλεινίου, ἐπειδὴ νέος ὢν ἔτι τοὺς ὁμοτέχνους ἠνίκα, χαυνούμενός τε (³) τῇ νίκῃ, καὶ τῷ μεγέθει διαθρυπτόμενος τῶν τιμῶν, κατὰ βραχὺ τὸ σπουδαῖον ἐχάλα, καὶ ῥήτωρ ἀπέβη τῶν μὲν ἄλλων ἀμείνων, τῆς οἰκείας δὲ φύσεως ἥττων· ὁ δὲ, πάντων αὐτῷ σοφιστῶν τὰ πρῶτα νεμόντων εἰκότως, καὶ μέγαν ἑκάστου κόσμον ἡγουμένου κερδαίνειν εἰ δεύτερος ὀνομάζοιτο, τὴν ἁπάντων ὑπερεβάλλετο προθυμίαν. Εἰσιὼν γάρ τις οἴκαδε εἰς ἐκείνου, πλῆθος ἑώρα βιβλίων παντοδαπῶν, ὧν τὸ μὲν ἀπετίθετο, τὸ δὲ ἀνειλήφει· βίβλου δὲ εἶναι χωρὶς οὐδαμῶς ἐκαρτέρησεν (⁴). Ἐγὼ δὲ πρὸς ἐμαυτὸν, ὡς ἑώρων ἤδη τῷ γήρᾳ κεκυφότα (⁵), τὴν Ἀγαμέμνονος ἐποιούμην εὐχὴν, ἣν ὑπὲρ τοῦ Πυλίου ἐκεῖνος πεποίητο, τὴν Νέστορος μὲν πολιὰν ἕτερόν τινα νέον εὐχόμενος ἔχειν, μεταλαβεῖν δὲ τὸν Πύλιον τῆς ἥβης τοῦ νέου. Ταῦτα μὲν Ἀγαμέμνων εὔχεται Νέστορι, νεάζοντα τῇ σπουδῇ θεασάμενος (⁶)· ὁ δὲ Τυδέως τὴν ἀπληστίαν αὐτοῦ θαυμάζει τῶν πόνων, ὥστε καὶ ὀνειδίζει προθυμίας ὑπερβολὴν νέος τῷ γέροντι, « Σχέτλιος » λέγων, « ἐσσὶ, γεραιέ· σὺ μὲν πόνου

Θετταλίᾳ τε ἦσαν κόσμος, πολὺ λιμνῶν τε καὶ πεδίων καὶ ποταμῶν ἐπιφανέστερος.

(¹) Ed., ἀπεδόσατο. Mire Wolfius reddidit latine, « traditus est ». Codices ἀπεδύσατο, quod conjecerat Wyttenbach. ad Jul. p. 275, vertitque « certavit cum sophista ». Philostratus Her. p. 56 : ἀπεδύσατο... πάλην τε καὶ παγκράτιον. Schol. ἠγωνίσατο. Ibi n. p. 408. Libanius, t. 4, p. 223, : ὑπαίθριος ταλαιπωρῶν, χαμευνῶν ἀνέχεται· τὸν ἥλιον φέρει, πρὸς κρύος ἀποδύεται. Codex 3017 : ταλαιπωρεῖ..... ἀποδέδυται. Illud bene, hoc negligendum. Significat πρὸς κρύος ἀποδύεται « durus frigori resistit ». Choricius infra Orat. in Summum, p. 55 : ἀθλητοῦ πρὸς ὃν οὐδεὶς ἀποδύεται.

(²) Vide p. 5, n. 7.

(³) B, χαυνόμενός τε.

(⁴) Similis fuit Eteoneus, cui parentavit Aristides Or. 11, t. 1, p. 129 : ἀεὶ δ' ἂν εὗρες αὐτὸν ἢ βιβλίον μεταχειριζόμενον ἢ λόγους ποιοῦντα.

(⁵) B, ἤδη τοῦτο γήρᾳ κεκ. Forsan, ἤδη τοῦτον τῷ γ. κ.

(⁶) Il. 4, 313 : Ὦ γέρον, εἴθ', ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν, Ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη. Ἀλλά σε γῆρας τείρει ὁμοίιον· ὡς ὄφελέν τις Ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι. Quod modo scripsi μεταλαβεῖν, pro lectione codd. et ed. μεταβαλεῖν, probatum iri opinor viris criticis.

οὔποτε λήγεις (1) ». Τοῦτο τὸ ἔπος οἶδα πολλάκις πρὸς ἐκεινον εἰπὼν, μᾶλλον δὲ μέρος τοῦ ἔπους, οὔτε σχέτλιον καλεῖν ἀνεχόμενος, οὔτε γεραιὸν προσειπεῖν καρτερῶν, ὅνπερ ηὐχόμην (2) νέον ἰδεῖν.

Ἤκει δὴ (3) πάλιν ὁ Περικλῆς ἑτέραν ἡμῖν παράθεσιν προξενῶν. Οὗτος ἐν ὅλῳ δήμῳ ποτὲ φορτικὸς ὤφθη καὶ σοβαρὸς, πᾶσαν ἑαυτῷ χαριζόμενος ἀρετήν · « ῥήτωρ εἰμὶ, λογίζομαι τὰ χρηστὰ, φράζω τὸ « δέον εἰς κάλλος (4), ἀγαπῶ τὴν πατρίδα, δωροδοκίαν μισῶ (5) ». Ἀμβλύνεις, ὦ βέλτιστε, τὰ ξύμπαντα ταῦτα φιλοτιμίας ὑπερβολῇ (6). Τοιαύτην ἐκεῖνος ἀφῆκε φωνὴν οὐδαμοῦ · πᾶν μὲν οὖν τοὐναντίον (7) εἴ τινος αὐτὸν ἐπαινοῦντος ἀκήκοεν, ἄλλοτε ἄλλην ἤλλαττε χρόαν, κύπτων (8) εἰς γῆν καὶ στάζων ἱδρῶτα, καὶ δεινῇ κρατούμενος ἀφωνίᾳ. Ἐνταῦθα μόνον ἄπορος ἦν, τῆς αἰδοῦς αὐτῷ τὴν γλῶτταν ἀγχούσης· τοσοῦτον ἐπιεικείας αὐτῷ καὶ σεμνότητος περιῆν (9). Οὔκουν ὤφθη τις οὕτως ἀναιδείᾳ προσκείμενος, ὃς οὐ προσβλέψας αὐτὸν ἠρυθρία, καί

(1) A, γερεέ... πόνον. Il. 10, 164.

(2) Ed., εὐχόμην. AB, ηὐχ. Non sibi constant.

(3) Ed., δέ. B, δή. A, ἧκι δή.

(4) A, εἰς κάλως. Non cogitandum de corrigendo εἷς καλῶς quod foret nimium. Conf. n. ad Anecd. Nova, p. 116. Aptius εἷς restituetur Anaximeni Diogenis Laertii 2, 5 · εὐβουλότατος εἷς ἡμέων, μεταναστὰς ἐκ Σάμου εἰς Κρότωνα, ἐνθάδε εἰρηνεῖς. Affertur e codice ἧς. Inde faciam εἷς. Sensus erit : « unus nostrum consultissimus ». Sic dicebant εἷς πάντων, et Latini « unus omnium, unus vivorum ».

(5) Verba ipsa Periclis Thucydidei, 2, 60 : οὐδενὸς ἥσσων οἴομαι εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. Aristides Orat. 46, p. 160 : ἐδόκει γὰρ ὥσπερ ἄλλο τι καὶ τοῦτο σύμβολον τοῦ Περικλέους εἶναι, τὸ ὑπερφρονεῖν χρημάτων· ὥστε καὶ αὐτὸς ποτὲ ἐν τῷ δήμῳ παῤῥησιαζόμενος καὶ λέγων περὶ τῶν αὐτῷ προσόντων ἀγαθῶν, ἕν τι καὶ τοῦτο ἐν πρώτοις ἐτίθει, τὴν περὶ ταῦτα μεγαλοψυχίαν. Periclem ab arrogantiæ crimine defendit Plutarchus De Laud. c. 3. Eadem Periclis verba respicit Choricius in protheoria Declamationis de tyrannicida; respicit et Himerius Ecl. 28, 3 : εἰ μὲν εἰπεῖν δέῃ (imo δέοι) τὸν Περικλέα νικῶν... μᾶλλον δὲ καὶ φιλόπολις, μᾶλλον δὲ καὶ χρημάτων κρείττων, ὅπερ ἡ συγγραφὴ τὸν Περικλέα προσείρηκεν. Ibi Wernsdorf.

(6) Ed., ὑπερβολή. Wolfius in loco tam facili prorsus aberravit : « *obtundis*, optime; omnia hæc ambitionem manifestant, quæ supra modum procedit ». AB, ὑπερβολῇ.

(7) Formula πᾶν μὲν οὖν τοὐναντίον utitur et Laudatione Mariæ, ubi Villoisonus, p. 41.

(8) A, κύττον.

(9) Hunc usum verbi περιεῖναι illustrant interpretes Aristæneti, I, 1, p 244; Jacobsius ad Philostr. Imag., p. 480. Heliodorus 3, 3 : τοσοῦτον δέ τι ἐμμελείας περιῆν τοῖς χοροῖς. Manasses Chron. 4279 : Τοσοῦτον δ' ἦν τὸ περιὸν τῆς ἀρετῆς ἐκείνοις. Conf. n. ad. Anecd. mea Nova, pp. 226, 396.

πως (1) αὐτὸς ἑαυτοῦ κοσμιώτερος ἐγεγόνει, καθάπερ τὸν Πολέμωνα λόγος, ἐπειδὴ τὸν Ξενοκράτη (2) προσέβλεψε, τὴν προτέραν ἀποβαλεῖν ἀταξίαν ὀψοφαγίαν τε, καὶ αὐλοὺς καὶ μέθην, καὶ τὸ κωμάζειν αἰσχρῶς· ἦν μὲν οὕτω σεμνὸς, τὰ τεταγμένα βαδίζων, καὶ τὴν ὀρθὴν, τὸ τοῦ λόγου, φυλάττων ὁδόν (3). Ὅθεν, ἐν ἀγορᾷ φαινομένου, πᾶς εὐθὺς ὑπανίστατο (4), καὶ, πλείστην προσάγων τιμὴν, ἐλάττω νέμειν ἡγεῖτο τῆς προσηκούσης. Αἱ χάριτες τὸ πρόσωπον ὅλον περιεκέχυντο (5)· ὅθεν καὶ εὐφραίνετό τις αὐτῷ μειδιῶντι προσβλέπων, ἐν δὲ ταῖς συνουσίαις

(1) Ed., καὶ πῶς.

(2) Ed., Ξενοκράτην, et mox sine καὶ μέθην. Vide n. ad. Anecd. Græca, t. 3, p. 221. Xenocratis scholam ingressus est Πολέμων μεθύων, narrante Diogene Laertio 4, 16. Et quam apta sit μέθης mentio monstrabunt loci aliorum quos congessit ad Diogen. Menagii diligentia; quibus jungatur Sulpicius Sev. Epist. 4; Greg. Presb. V. Naz. p. 6. Memini etiam de Polemone notare in Notit. Mann., t. 9, p. 142. Addam propter libri raritatem, scholium Cosmæ ex Spicilegio Romano, t. 2, p. 259, ad Gregorii Naz. de Polemone versus, t. 2, p. 216: Οὗτος ὁ Πολέμων τὰ μὲν πρῶτα λάγνος γέγονεν καὶ φιλήδονος· οὐ γὰρ ἐν ἀνθρώποις αἰσχρότερον οἷόν τε ἦν ἢ λαγνότερον εὑρεῖν· τοσοῦτον (leg. εἰς τοσ...) δὲ ἤλασεν σωφροσύνης, ὥστε, τινὸς ἑταιριζομένης νεανίσκῳ παρεπομένης κατά τινα πυλεῶνα, ἐφ' ὅν (leg. ἐφ' ᾧ) εἰκὼν ἀνέκειτο τοῦ Πολέμωνος, μελλούσης εἰσιέναι, τὸν Πολέμωνα γεγραμμένον θεασαμένην δρόμῳ φυγεῖν λέγεται τὴν ἑταίραν, πτοήσασαν τοῦ Πολέμωνος τὴν θεωρίαν ἐκ μόνης τῆς γραφίδος. Πολέμων δὲ ἱστορεῖ τὰ καθ' Ἕλληνας, ὡς Ἰώσιππος (potius Ἰώσηππος) καὶ Φίλων τὰ καθ' Ἑβραίους. Confundit imprudens cum Polemone philosopho Atheniensi Polemonem sophistam Ionicum; cujus historiarum meminit Phrynichus Epitome, p. 271.

(3) Forsan, τά τε τετ. Ed., ὁ. τὴν τοῦ λ. B, ὁ. τούτου λ. Imitatus est Aristidem Orat. 46, p. 15; qui de Pericle, οὕτω εἶναι σώφρων, ait, ὥστε καὶ βαδίζειν τεταγμένα καὶ τὴν ὀρθὴν ὁδὸν σώζειν κατὰ τὴν παροιμίαν. Nam proverbium fuit, docente Aristidis Scholiaste, μίαν ὁδὸν εἰδέναι, τὴν ἀπὸ τῆς οἰκίας εἰς τὴν ἐκκλησίαν. Et laudata fuit a Plutarcho in Pericle, c. 5, viri eximii πραότης πορείας. Aristænetus 1, 19, de muliere modesta: προϊοῦσάν τέ φασιν νεύειν τε κάτω καὶ τεταγμένα βαδίζειν· ubi interpretes p. 508, quos vide et p. 227, ad similia verba 1, 1: βάδισμα τεταγμένον, βραχὺ δέ. In AEgyptiis sacerdotibus laudatur a Porphyrio πορεία εὔτακτος De abstin., 4, 6, ubi Rhoer., p. 311. Adde Cubæum ad Xenophontis Herculem, p. 27; interpretes ad Petroniana verba, c. 126: « incessus tute compositus ».

(4) Ed., ἐπανίστατο. In AB esse ὑπαν. monitum ad Anecd. Gr. t. 4, p. 328. Philostratus Her. de Ajace, p. 170: θάκων ὑπανίσταντο αὐτῷ. Ibi de adsurgendo honorifice multa apposui, quæ auxi ad Nubes 981. Achilles Tatius 8, 17: ἕδρας τε γὰρ ἐξανίστατο τοῖς πρεσβυτέροις· ubi Jacobs., p. 994. Conf. Schweigh. ad Herod. 2, 80.

(5) Hyperbolas Gratiarum περιχορευουσῶν, περισκιρτουσῶν pulcras facies vide in notis ad Aristæn., p. 357; Jacobsianis ad Anal., t. 10,

μόλις μὲν ἅπας ἀναχωρεῖν ἐκαρτέρει · ὀψὲ δ' οὖν ποτε τοῦτο ἐποίουν, βελτίων ἕκαστος γενέσθαι νομίσας καὶ γεγονώς (1). Εἰ γάρ καί τινα χρὴ καὶ εἰκόνα λαβεῖν τῶν προσόντων ἐκείνῳ καλῶν, φαίην ἂν αὐτοῦ τὴν ψυχὴν πηγὴν εἶναί τινα (2) παντοίοις βρύουσαν νάμασιν, ὠφελείᾳ τε καὶ τέρψει συγκεκραμένοις.

Τάχα τοίνυν τις τοσούτου πλήθους κατορθωμάτων ἀκούσας, τοιαύτην πρὸς ἑαυτὸν ἔννοιαν λήψεται · « ἄνθρωπος οὗτος » τὸν τελευτήσαντα λέγων, « οὐ πώποτε θείων, ὡς ἔοικεν, ἥψατο συγγραμμάτων · ποίαν « γὰρ εἶχε σχολὴν τοσαύταις μεριζόμενος ἀρεταῖς » ; Ταῦτα μὲν ἐκεῖνον ἄν τις ἀγνοῶν ὑπολάβοι · τῷ δὲ τοσοῦτον καὶ (3) ταύτης προσῆν τῆς παιδείας, ὥστε πλὴν τοῦ σχήματος μόνου πάντα ἦν ἱερεύς. Τά τε γὰρ δόγματα τῆς εὐσεβείας τά τε τούτοις ἀντιλέγειν ἐπιχειροῦντα, τὰ μὲν ὅπως ἐπιτηδεύσῃ (4) μαθών, τὰ δὲ πρὸς ἔλεγχον ἐπιστάμενος, ἄμφω (5) καλῶς ἐπαιδεύθη.

Οὐ μὴν ἐπεπόλαζε τῶν θείων αὐτῷ μαθημάτων ἡ γνῶσις. Οὐ γὰρ ὅσον εἰπεῖν καὶ παραινέσαι (6) τοῖς ἄλλοις ταύτην μετῄει τὴν παίδευ-

71 ; t. 11, 216 ; Peerlkampii ad Anacreontica 28, 28 : Περὶ λυγδίνῳ τραχήλῳ Χάριτες πέτοιντο πᾶσαι.

(1) Terentius Eun. 4, 7, 21 : « Quanti est sapere ! nunquam accedo, quin abs te abeam doctior ». Sic suppalpatur Thrasoni militi Gnatho parasitus. Pari adulationis forma utitur Julia Molieri : « il y a merveilleusement à profiter de tout ce que vous dites; c'est une école que votre conversation, et j'y viens tous les jours attraper quelque chose ». Dixit Makenzius de Woodhuselio : « no man could go to his lordship's literary retirement without being happier, or return from it without being better ». Ruhnkenius Elog. Hemsterh. p. 31 : « Bentinckii fratres fateri et præ se ferre non dubitant se nunquam, nisi meliores aliqua parte et doctiores, ab Hemsterhusio recessisse ».

(2) B, παγήν. Ed., εἶναι τινά. Simili imagine Aristides de Alexandri sophistæ discipulis Or. 12, p. 136 : ἦν γὰρ ὅτου τις δέοιτο τῶν εἰς παιδείαν παρ' ἐκείνου λαμβάνειν, ὥσπερ ἐκ πηγῶν ἀρυόμενον.

(3) B, μὲν pro καί.

(4) Ed., τὰ μὲν δόγμ. B, τά τε γὰρ δ. Ad Anecd. Gr., t. 3, p. 243, dicebam malle me legi ὅπως ἐπιτηδεύσει. Sed satius est nihil movere. Dion Chrys. Or. 13, p. 427 : ὅπως δὲ γνώσεσθε τὰ συμφέροντα..., καὶ νομίμως καὶ δικαίως μεθ' ὁμονοίας πολιτεύσησθε καὶ οἰκήσητε, τοῦτο δὲ οὐδέποτε ἐμάθετε. Malebat Reiskius γνώσησθε ob insequentia tempora subjunctivi. Sed reperi οἰκήσετε in codice, unde firmatur futurum γνώσεσθε, et ducimur ad corrigendum πολιτεύσεσθε.

(5) A, εὐσεβίας... ἄφω.

(6) Ed. sine ὅσον. A, παρενέσαι, superscripto αι. Habuit A, παρενούντων supra, p. 3, 5. De hoc loco ad Anecd. Gr., t. 3 p. 60, jam monueram.

σιν, ἀλλὰ τοῖς ἔργοις ἀπεδείκνυ τὴν ἐπιστήμην. Πολλοῖς ὀρφανίας οὐ γέγονεν αἴσθησις, πολλοῖς ἡ χηρεία κοῦφον ἐφάνη, ψυχαγωγοῦντος ἐκείνου τὰ πάθη. Οὐδεμίαν (¹) δὲ μάχην ἡττήθη πρὸς αἰσχρὰν ἀγωνιζόμενος ἡδονήν. Πολλοὺς μὲν (²) ἀτόποις προσκειμένους ἐπιθυμίαις ἀνέπεισε σωφρονεῖν. Ἔτι τοίνυν αὐτῷ δίαιτα ἦν οὐ πολυτελὴς (³), οὐ παρατρέχουσα Λάκωνος τράπεζαν· ἀλλ' εἴπου τινὰς, ἑορτῆς ἀγομένης, εἱστίασεν, ἁβροτέραν μὲν τῆς συνήθους ἐτέλει τὴν εὐωχίαν, ἤσθιέ τε πλέον τῶν εἰωθότων οὐδέν· ἐσχηματίζετο δὲ τοῦτο ποιεῖν τοὺς παρόντας βλέπων. Καὶ τὸν τῶν σιτίων καιρὸν οὐ πρὸς τρυφὴν ἁπλῶς καὶ γαστρὸς ἡδονὴν ἐδαπάνα, διηγήμασι δὲ σοφοῖς ὁμοῦ καὶ τερπνοῖς ἡδίω τὴν θοίνην (⁴) τοῖς ἑστιωμένοις ἐποίει. Ἐγενόμην κἀγὼ τῶν δαιτυμόνων πολλάκις, καὶ πεῖραν, οὐκ ἀκοὴν, ὑμῖν διηγοῦμαι (⁵).

Μικροῦ μέ τι διέδραμε (⁶) τῶν ἐκείνου κατορθωμάτων. Εἰωθότων γὰρ ὅσοι τὴν ὅλην σπουδὴν ἀπονέμουσι λόγοις, εἴ ποτε πράγμασιν ὁμιλεῖν ἀναγκάζοιντο, λίαν ἀρχαίως (⁷) φέρεσθαι καὶ καταγέλωτα κινεῖν

(¹) B, οὐδεμίας.

(²) Videtur πολλοὺς μὲν exspectare redditionem, quæ abest.

(³) A, δίαιτα οὖν πολ.

(⁴) B, τερνοῖς. A, θήνην.

(⁵) Eadem antithesi Basilius M., t. 2, p. 67, 5 : οἶδα ἐγὼ πολλοὺς, οὐκ ἀκοῇ μαθὼν, ἀλλὰ τῇ πείρᾳ τοὺς ἀνθρώπους γνωρίσας. Lucianus Hist. Conscr. 29 : γράφω τοίνυν ἃ εἶδον, οὐχ ἃ ἤκουσα. Dio Chrys. Or. 7 init.: τό γε μὴν αὐτὸς ἰδὼν, οὐ παρ' ἑτέρων ἀκούσας· et Or. 2, p. 317 : οὐχ ὡς αὐτοί τι εἰδότες, ἀλλ' ὡς ἑτέρων ἀκούσαντες. Æschylus Pers. 27 : Καὶ μὴν παρών γε, κοὐ λόγους ἄλλους κλύων. Ibi Blomfieldii nota, cui adde Markland. ad Suppl. 584, ubi et ego; Erfurdt. ad Trach. 750. Cicero Pro Archia : « M. Lucullus se non opinari, sed scire; non audisse, sed vidisse; non interfuisse, sed egisse dicit » ; ubi Tollius, p. 20.

(⁶) A, μήτι. Ed., διέδραμεν τῶν. Monebam de lectione ad Anecd. Gr. t. 2, p. xij, et de hac oratoria figura ad t. 3, p. 207. Julianus Orat. 1, p. 19 : μικροῦ με ἔλαθεν ἡ τῶν πράξεων ἀρχὴ διαφυγοῦσα. Est δ παρέλειπον inter formulas quibus callide utitur Theophrasti Garrulus ch. 7. Synesius Calv. p. 74 : καὶ μικροῦ με παρῆλθεν αὐτὸ τοῦτο τὸ πάντων εἰπεῖν οἰκειότατον. Ibi Krabing. Demosthenes Mid. § 31, p. 68: τουτὶ γὰρ αὖ μικροῦ παρῆλθέ με εἰπεῖν. Impeditus adverbio αὖ, vir d. proposuit legere ἂν male omnino. Est γὰρ αὖ formula. Demosthenes iterum Midiana § 21 : οὐδὲ γὰρ αὖ τοῦτ' ἔστιν εἰπεῖν. H. Stephanus vix putabat posse reperiri γὰρ αὖ positum pro γάρ. Illa duo exempla negari vix puto posse.

(7) Ed., ἀχρείως. AB, ἀρχαίως. Suidas : ἀρχαίως,.. ἠλιθίως, εὐήθως. Mox Ed. τοῖς τοιαῦτα δεινοῖς. AB, τ. τὰ τ. δ. Vide Anecd. Gr. t. 1, p. 482; n. ad Philostr. Epist., p. 84. Dion Chrys. Or. 23, p. 512 : ἀδύνατον ἡγῇ τὸ τοιοῦτον; Codex 2958 sine τὸ, quod quidem potest abesse, sed quod adest pag. seq. : ἐχθρῶν

τοῖς τὰ τοιαῦτα δεινοῖς, οὐδενὸς ὤφθη δεύτερος τῶν ταύτην μόνον ἠσκημένων τὴν τέχνην.

Χωρὶς δὲ τῶν εἰρημένων, ὅσους ἔνδειά τις (1) ἢ νόσος ἐπίεζε, μέγιστον ἅπασιν ὄφελος ἦν. Τοῖς μὲν γὰρ τὸ σῶμα νοσοῦσι πυκνὰ παρεκάθητο, καὶ, Γοργίαν τὸν Λεοντῖνον (2) μιμούμενος, φιλονείκως ἐνίοτε πρὸς ἰατρείαν τινὰ φερομένους (δυσάρεστον γὰρ οἱ νοσοῦντες) ἔπεισεν (3) ἐγκρατῶς τὰ προσαγόμενα δέχεσθαι · τοῖς δε πενομένοις οἴκοθεν ἐπεκούφιζε τὴν ἀπορίαν (4). Τοῦτο ἐδόκει πλοῦτος ἐκείνου (5), τοῦτο Μίδου χρυσός.

Εἰ δέ τις τὴν ὡρισμένην ἅπασιν ὁδὸν ἐπορεύετο (6), εἴτε τὰ πρῶτα φέρων τῆς πόλεως (7), εἴτε τῆς μέσης ὑπάρχων μερίδος, εἴτε καὶ εἰς δῆμον τελῶν (8), ἀκολουθῶν ἐπὶ τὸ μνῆμα δάκρυσι μὲν ἐτίμα τὸν

γὰρ, οὐ φίλων, οὐδὲ κηδομένων τὸ τοιοῦτο.

(1) Ed., ὅσοις. B, ἄδεια τις.

(2) AB, τὸν λεοντίνου. Male. Suidas : Γοργίας. Χαρμαντίδου, Λεοντῖνος.

(3) B, ἔπεισαν.

(4) Eadem Alexandri sophistæ liberalitas, teste Aristide Or. 12, p. 137 : ὅσους ἑώρα βίου δεομένους, συστάσεις αὐτοῖς καὶ τάξεις ἐπορίζετο. Qui credit verbo carere suo nomen συστάσεις, Reiskius falli videtur.

(5) A, πλοῦντος ἐκείνου. B, ἐκείνου, ut Ed. Legendum forsan ἐκείνῳ. Sed, ob Μίδου χρυσὸς, puto et id colon esse simile, ac pro ἐκείνου propono Κινύρου. Non multum literis et sono differunt ἐκείνου, κείνου, Κινύρου. Memorantur sæpe Cinyræ divitiæ; etiam Cinyræ nomen ac Midæ junxit Tyrtæus Fr. 3, 6 : Οὐδ' εἰ... Πλουτοίη Μίδεω καὶ Κινύραο πλέον· ubi Klotz. Simillimus Tyrtæo Plato Legg. 2, p. 51 : ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καί Μίδα μᾶλλον. Clemens Alex. Pæd. 3, 6, § 34, Platonis verba fecit sua. Adde Schol. Clem. p. 134; mea ad Anecd. Gr. t. 2, p. 212, et ad Tyrtæum.

(6) Periphrasis nota mortis, quam tractavi ad Anecd. Gr. t. 4, p. 356. Euripides Alc. 626 : Προσείπατ' ἐξιοῦσαν ὑστάτην ὁδόν. Ibi Monk. Gregorius Naz. Tollii, p. 100 : Σὲ προσκυνοῦμεν τῆς τελευταίας ὁδοῦ Χρῄζοντες εὐμενοῦς τε καὶ ῥᾴστης τυχεῖν. Libanius, t. 4, p. 958 : δεδιότες εἰς ᾅδου πορεύονται. Adde Choricium, p. 22, 2.

(7) Loquutionem τὰ πρῶτα φέρεσθαι vel φέρειν illustravi ad Zachar., p. 424, ad Anecd. Nova. t. 1, p. 77. Adde Iahn. ad Glycam, p. xxxvij. Quum scripserit Callimachus Del. 4, idque rectissime, Δῆλος δ' ἐθέλει τὰ πρῶτα φέρεσθαι Ἐκ Μουσέων, animadvertit Anna esse φέρεσθαι pro φέρειν· non bene ; nam si scripsisset poeta φέρειν, debuisset mulier doctissima animadvertere esse φέρειν pro φέρεσθαι. Dixit Aristides Orat. 11 extrema : ὦ πρῶτα τῆς καθ' ἡλικίαν ἀρετῆς ἔχων. Proposuit Reiskius correctionem πρωτεῖα. Cui bono ? Malim τὰ πρῶτα.

(8) Choricius pariter Orat. in Summum non procul ab initio : εἰς ἰδιώτας τελοῦσιν. Et Declamatione tyrannicidæ : τοὺς τελοῦντας

ἀπελθόντα, λόγοις δὲ τοὺς προσήκοντας ἐθεράπευε, τὴν τοῦ τεθνεῶτος αὐτοῖς (1) ἀντεισφέρων φιλοστοργίαν, ὡς υἱὸν ἀγαπῶν τὸν ἀποβαλόντα γονεῖς, ὡς πατέρα τιμῶν τὸν παιδῶν ἐστερημένον, ὡς ἀδελφοῖς (2) εὐνοῶν τοῖς ἐνταῦθα ἥκουσι τύχης (3).

Εἰ τοίνυν, ὥσπερ ἐν εὐθυμίαις πανδήμοις παραπετάσμασι χρώμεθα πρὸς ἄλλην ἐξ ἄλλης ἠρτημένοις οἰκίαν (4), οὕτω σύνηθες ἦν ὑφάσματα κατηφῆ μετεωρίζειν ἐν κοινοῖς ἀτυχήμασιν, καιρὸν ἂν εἶχον ἀναπετασθῆναι τοιαῦτα, πένθους τοσούτου (5) συμβάντος ὅσον ὅλην αἰσθέσθαι τὴν πόλιν. Ἀνὴρ σοφίας μεστὸς, ἐπὶ καλῇ μοίρᾳ τῶν λόγων τεχθεὶς, δεινὸς τὰ δέοντα γνῶναι καὶ λαμπρὸς ἑρμηνεῦσαι (6), οὗτος μηδέ πω σφόδρα γηράσας ἀπῆλθεν.

Εἶεν. Ἐπεὶ τοσαύτας αὐτοῦ κατελέξαμεν ἀρετὰς, φέρε σκεψώμεθα (7) τί ποτε ἄρα πέφυκεν ἄνθρωπος. Ἢ δῆλον (8) ὅτι δοῦλος ὑπάρχει Μοιρῶν, παρ' αἷς (9) οὐκ ἔστιν ἐλευθερίας τυχεῖν, κἂν ἅπαντά τις ἀνέγκλητος ᾖ· ἢ γὰρ (10) ἂν μοι τὸν παιδευτὴν ἀφῆκαν ἐλεύθερον. Ἀλλὰ πότε προῆλθέ τις, ἐξετάζουσαι καὶ μέχρι τίνος αὐτῷ διώρισται ζῆν, μηδὲν μελλήσασαι (11) προσάγουσι πέρας τῷ βίῳ· κἂν ἴδωσι παῖδας

εἰς δῆμον. Ibi Villois. Aristides Or. 12, p. 155 : πάντες ὅσοι... τελοῦσιν εἰς Ἕλληνας. Idem Or. 46, p. 398 : εἰς ζῶντας τελῶν. Lucianus Fugit. 12 : εἰς ἄνδρας τελεῖν ἤρξαντο. Libanius, t. 4, p. 473 : ἀναγκασθήσεσθαι μηκέτ' (Cod. 3017, μηκέτι) ἄῤῥην εἶναι, τελεῖν δε εἰς γυναικῶν ἀριθμόν. Sophocles OEd. T. 221 : εἰς ἀστοὺς τελῶ. Ibi Musgr. Eunapius, p. 58 : εἰς ἐφήβους ἄρτι τελεῖν. Ibi editor p. 349. Adde Lebeavium ad Lysiam, p. 24.

(1) Ed. sine αὐτοῖς.

(2) A, τὸν παῖδα ἐστερειμένον ὡς ἀδεφοῖς.

(3) Bastius Epist. Crit., p. 238, ἐνταῦθα τύχης interpretatur εἰς τοῦτο τῆς τύχης, et de hoc usu adverbiorum id genus utilia monet. Addit esse ἐνταυθεῖ in codice quodam Paris., quem ignoro.

(4) A, παραπετάσματι.... ἠρτημένοις οἰκίαν. B, παραπετάσματι, superscripto σι.... οἰκίαν. Ed. παραπετάσμασι... οἰκιάς.

(5) A, πένθους τισούτου.

(6) Verba sunt Thucydidis. Vide not. 5, p. 9 superius.

(7) A, σκεψόμεθα.

(8) AB, ἡ δῆλον.

(9) A, παρ' αἳ. Miranda est in christiano oratore mentio Parcarum; et sæpius Choricius mythologiæ et heroicæ historiæ meminit, ob id jam notatus a Photio. Vide infra Villoisonum, a quo non semel Choricius ob id reprehensus fuit.

(10) Ed., οὐ γάρ, mendo typorum, ut videtur. AB, ἢ γάρ.

(11) AB, Ed., μελήσασαι. Wolf.: « omnibus insuper habitis ; » imo, « non cunctantes ». Scripsi μελλήσασαι. Jam monui ad Babrium F. 84, 5, ubi codex male μέλλει pro μέλει, quod solenne.

ὀδυρομένους κύκλῳ τοῦ κάμνοντος, κἂν μητέρα γραῦν κοπτομένην, κἂν πατέρα πρεσβύτην τὴν οἰκείαν τίλλοντα (1) πολιὰν, τούτων οὐδὲν ἴσασιν (2) ἐλεεῖν· κἄν τις αὐταῖς μυρίας ἀπαριθμήσηται πράξεις εὖ μάλα πραχθείσας· οὐδὲ ταύτας φιλοῦσιν ἐρυθριᾷν (3). Διὰ ταῦτα, ὡς ἔοικεν, οὔτε τὴν Θέτιν ᾔτησεν Ἀχιλλεὺς μακρότερον βίον, οὔτε ἡ Θέτις ὑπὲρ ἐκείνου τὸν Δία (4)· ἀναμνήσασα δὲ τὸν θεὸν ὅπως αὐτὸν εὐηργέτησεν « ἢ ἔπει ἢ ἔργῳ », μίαν αἰτεῖ τῶν εὐεργεσιῶν ἀμοιβὴν, οὐ ζῆν ἐπὶ πολὺ τὸν υἱὸν, καίπερ ὠκυμορώτατον ἄλλων ἐπισταμένη καὶ ὀνομάζουσα (5), καὶ τελευτῶντος αὐτοῦ μὴ μένουσα μήτηρ, ἀλλὰ μὴ ζῆν ἐν αἰσχύνῃ τοῦτον ὃν ἔλαχε χρόνον. Εἰ δὲ δεῖ προσδιατρίψαι τῷ Θετταλῷ (6) καὶ δεύτερον ἐκ τούτου λαβεῖν τῷ λόγῳ παράδειγμα, εἶχε μὲν Ἕκτωρ αὐτοῦ τὴν ἀσπίδα, Πάτροκλον ἀνελών· ἐπεὶ δὲ τῷ φίλῳ τιμωρεῖν ἐπειγόμενος ὅπλων ἐδεῖτο, ὁ μὲν τὴν τεκοῦσαν, ἡ δὲ τὸν Ἥφαιστον ᾔτει δημιουργεῖν (7). Τί οὖν πρὸς τὴν Θέτιν ὁ Ἥφαιστος; πασῶν μὲν ἀρίστην ἀσπίδα ποιεῖν ἐπαγγέλλεται, ἀσθενεστέραν δὲ τῆς εἱμαρμένης (8). Ταῦτα Ἥφαιστος τῇ Νέρεως (9). Ὅμοια τούτοις Ἀπόλλων τῷ Κροίσῳ τὴν πεπρωμένην εἰπὼν (10) ἀδύνατον εἶναι νικᾷν καὶ θεῷ. Ὁ αὐτὸς τοίνυν οὗτος θεὸς πρὸς τὸν αὐτὸν ἄνδρα, πυθόμενον ὅπως ἂν εὐτυχῶς

(1) B, οἰκείαν ἀντίλλοντα. Syllaba male iterata. Non cogitandum de ἀνατίλλοντα. Conf. n. ad Anecd. Gr. t. 4, p. 5.

(2) ἴσασιν, i. e. εἰώθασιν. Sic et εἰδέναι usurpant. Vide notam ad Philostratum Epist., p. 154. Et idem est sensus sequentis vocabuli φιλοῦσιν. Sophocles Antig. 493: φιλεῖ δ' ὁ θυμὸς... Schol. εἴωθεν. Thucydides, 3, 85: οἷον φιλεῖ. Schol. οἷον ἔθος ἐστίν. Et Philo De Abrah. § 39: ὅπερ φιλεῖ. Aristænetus 1, 19: οἷα φιλεῖ· ubi n. p. 492. Adde Heusing. ad Plut. De educ., p. 12; etc. Latinum «amare» eo adhibitum sensu passim reperire est. Vide Cort. ad Sallustii Jugurtham, 34; Walch. Hist. Lat. Ling. p. 370; Vorst. Cogit. de Stilo, N. T. § 6; Ruhnken. Opp. t. 2, p. 709.

(3) Eadem syntaxis verbi ἐρυθριᾷν p. 9, 14; 27, 2; et Declamatione tyrannicidæ: τοῦ δήμου τὸν τρόπον ἐρυθριάσας. Aristænetus 1, 13: τὸν Πανάκιον ἠρυθρία. Quem locum male tentabat Pauwius, exemplis parilibus bene vindicavit Abresch., p. 426.

(4) Il. 1, 502.

(5) Thetis, Il. 1, 505: Τίμησόν μοι υἱὸν, ὃς ὠκυμορώτατος ἄλλων ἔπλετο.

(6) Achilli scilicet.

(7) Achilles non petit arma sibi a Thetide. Vide Il. 18.

(8) Il. 18, 465.

(9) B, Νηφέως, volente librario scribere Νηρέως. A, Νιρέως. Sæpius permutantur nomina Νηρεὺς Νιρεύς. Vide Ungeri Electa, p. 5.

(10) Pythia apud Herodotum, 1, 91: τὴν πεπρωμένην μοίρην ἀδύνατά ἐστι ἀποφυγέειν καὶ θεῷ.

διέλθοι τὸν βίον, « Σαυτὸν » ἔφη(1), « γινώσκων, εὐδαίμων, Κροῖσε, πέ« ράσεις ». Εἰ τοίνυν ὁ μὲν γνοὺς ἑαυτὸν εὐδαίμων, κατὰ τὴν Ἀπόλλωνος ψῆφον, γινώσκει δέ τις ἑαυτὸν, ὅ τι ἂν ὁ θεὸς πράξειε στέργων, εὐδαίμονες ἄρα γενήσεσθε (2) μὴ δυσχεραίνοντες τὸ παρόν.

Οὐ σμικρὸν μὲν οὖν ἔργον λύπην ἀκμάζουσαν τιθασσεύειν τε καὶ πραΰνειν. Ἀναπλάττετε γὰρ, οἶμαι, τῇ διανοίᾳ τὸν ἀδελφὸν νῦν μὲν τὸ τῶν νέων βόσκοντα ποίμνιον (3), νῦν δὲ συλλέγοντα πρὸς ἀκρόασιν τὰ τέλη τῶν πολιτῶν, νῦν δὲ τὰς ἐπιδείξεις ποιούμενον εἰς ἀγορὰν προϊόντα, καθήμενον οἴκοι, προσπαίζοντα (4) τῆς ἀδελφῆς τοῖς ἐγγόνοις· οὐδὲ παίζειν γὰρ σεμνῶς, καιροῦ καλοῦντος, ἀπώκνει. Λογίζεσθε (5) τὰς ἐλπίδας ἃς ἐπὶ τούτοις εἴχετε τοῖς παιδίοις, ὡς τὴν μὲν τῶν ἀῤῥένων ξυνωρίδα τιμήσει, τὸ δὲ θῆλυ συνάψει νυμφίῳ, καὶ τὴν παστάδα κοσμήσει λόγον ᾄδων γαμήλιον. Φαντάζεσθε τὰ λουτρὰ, τὰ τεμένη, τοὺς ἐπιτηδείους, τοὺς φοιτητὰς, οὓς δακρύσειεν ἄν τις ἰδὼν, ὥσπερ ἄνευ νομέως ἀγέλην. Λαμβάνετε κατὰ νοῦν, ὡς ἐν παισὶ μὲν ὀξὺς, ἐν ἠβῶσι δὲ γέγονε σώφρων, καὶ συνετὸς ἐν ἀνδράσι, καὶ πρᾷος ἐν γήρᾳ, μᾶλλον δὲ πάντα καθ' ἑκάστην ἡλικίαν ἐκέκτητο· ὥστε, εἴ τις ἔκειτο νόμος διάφορον πλέκεσθαι στέφανον τῷ πᾶσαν ἠσκημένῳ τὴν ἀρετὴν ἐκ παίδων εἰς γῆρας, ὥστε παῖδα μὲν ἐκ ῥόδων στεφανηφορεῖν (6), ἐξ ἴων δὲ πρόσηβον, καὶ τὰς ἄλλας ἡλικίας ἄνθεσιν ἄλλοις, πάντας ἂν αὐτὸν τοὺς στεφάνους λαβεῖν.

(1) Xenoph. Cyrop. 7, 2, 20. Miror versum Pythicum, a tam nobili auctore servatum, diligentiam effugisse Obsopœi, oraculorum collectoris eruditissimi.

(2) A, ἄρτι γενήσεσθαι.

(3) Sic ποίμνη, pag. 4, 10; et sic mox ἀγέλη.

(4) Consentiunt libri in προπαίζοντα. Scripsi προσπαίζ. Est exemplum verbi προπαίζω in poematiolo apud Cramerum An. Paris., t. 4, p. 380 : Ποταμοῦ μέσον κατεῖδον Ποτὲ τὸν γόνον Κυθήρης · Ἐνενήχετο προπαίζων Μετὰ Νηρηΐδων χορείης. Bastius qui hos versiculos protulit Fpist. Crit., p. 135, habet Νηρεΐδων. Sed Cramerus codicis scripturam servavit. Neutra lectio metro convenit; quum ea sede per totum carmen reperiatur iambus. Malim Νηρῄδων, ut sit syllabarum par numerus, quod artificium in poetastro recentiore facit satis. Abierat calami lapsu Νηρῄδων in Νηρίδων, quod doctior aliquis librarius male mutavit in Νηρεΐδων. Obiter corrigam breviorem alium versum, ἐπεδείκνυ δὲ ταύτην, legendo ἐπεδείκνυεν· alium etiam, σὺν ἀηδόσι λιγείαις, scripto ἀηδόσιν.

(5) A, λογίζεσθαι, et mox φαντάζεσθαι.

(6) B, στεφανοφορεῖν.

Ἐκ τούτων ὀδύνη τις ὑμῖν, ὡς εἰκὸς (1), ἐνοχλεῖ. Ἦπου καὶ τὰς εἰκόνας ὁρῶντες ἐκείνου δακρύετε, καὶ, τῇ τῶν χρωμάτων μορφῇ (2) πρὸς τὴν ἔμψυχον ἀναγόμενοι, μείζονι πλήττεσθε πόθῳ, καὶ πρὸς τὴν τῶν γραφέων ἴσως ἄχθεσθε (3) τέχνην, ὅτι μὴ δύναται καὶ φωνὴν τοῖς οἰκείοις ἐνθεῖναι φιλοτεχνήμασιν. Εἶτα τὸ προστυχὸν ποιεῖσθε πρόφασιν μνήμης · ὅσοι γὰρ ἐν τοιαύταις γίνονται τύχαις, ἀφορμὰς ἑαυτοῖς ἐπινοοῦντες δακρύων, ἐκ παντὸς βιάζονται τρόπου τοὺς τελευτήσαντας ἐννοεῖσθαι καὶ σφίσιν αὐτοῖς ὑπογράφειν. Ταῦτα δάκνει τὸν λογισμὸν, ταῦτα τὸν ὕπνον ὠθεῖ, ταῦτα καθεύδουσι μόλις ἐνύπνια γίνεται..

Τί οὖν; οὐκ οἰχήσεται (4) τοιούτους ἄνδρας ἡ λύπη χειρωσαμένη; καὶ μάτην ὑμῖν ὁ Θεοδώρου (5) φησί; « μητ' εὐτυχῶν ἔσο περιχαρὴς, μήτε πράττων ἑτέρως περίλυπος »· ἢ τῆς παραινέσεως τὸ μὲν ὑμῖν εὖ ἔχειν δοκεῖ (μετριάζετε γὰρ εὐπραγοῦντες), τὸ δὲ λοιπὸν περιόψεσθε (6); καίτοι Ξενοφῶντι δοκεῖ χαλεπώτερον εἶναι τἀγαθὰ φέρειν μετρίως ἤπερ ἐγκρατῶς τἀναντία. Μὴ τοίνυν, τὴν μείζω χαρτερίαν χαρτερήσαντες, τῆς ἐλάττονος ἀμελήσητε (7). « Εσθλοῦ γὰρ ἀνδρός » ἡ τραγῳδία φησίν, « ἅπαντα φέρειν καλῶς ». Πάρεστιν ἤδη καιρὸς τὰς ὑμετέρας ἐξετάζων ψυχάς. Τὸν καλὸν ἐγὼ θηρευτὴν πρὸς τὰ μάχιμα δοκιμάζω θηρία, τὸν

(1) A, ὑμῖν εἰκός.

(2) Ed., ἦπου.... τὴν τῶν χρ. μορφήν. Conf. n. ad Anecd. Gr., t. 4, p. 428.

(3) AB, πλήττεσθαι... ἄχθεσθαι. Mox A, ποιεῖσθαι.

(4) A, Ed., τί οὖν οἰχ. Forsan : τί οὖν; οὐκ οἰχήσεται... ; vel, τί οὐκ οἰχ. Illud scripsi.

(5) A, ἡμῖν. — Xenophon dicitur Wolfio falso Theodori filius, qui est Isocrates. Isocratis hæc sunt verba ad Demonicum, § 4 : νόμιζε μηδὲν εἶναι τῶν ἀνθρωπίνων βέβαιον · οὕτω γὰρ οὔτ' εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος. Eadem est Horatii sententia : « Æquam memento rebus in arduis Servare mentem, non secus ac bonis Ab insolenti temperatam Lætitia ». T. Livius 45, 8 : « Is demum vir erit, cujus animum nec prospera (fortuna) flatu suo efferet, nec adversa infringet ». Prevostus abbas : « Une seconde règle, qui ne convient guère moins au caractère d'un honnête homme, c'est l'égalité d'âme dans les faveurs et dans les disgrâces de la fortune ». De loco Choricii egeram ad An. Gr., t. 4, p. 451.

(6) A, μετριάζεται... περιόψεσθαι. Feci interrogationem.

(7) Ed, μὴ τ. τὴν μείζω χαρτερίαν τῆς ἐλάττονος ἀμελήσητε. Et sic A. Quæ sententia manca est. B, μὴ τ. τ. μείζω χαρτερίσας, τῆς ἐλ. ἀμ. Scripto χαρτερήσαντες, et servato χαρτερίαν, nil jam integritati loci deest. Dictum est χαρτερίαν χαρτερεῖν syntaxi valde usitata, ut πόλεμον πολεμεῖν p. 22, 15, etc.

ἀγαθὸν κυβερνήτην πρὸς ἀντιπνέοντας ἀνέμους τῷ πλοίῳ. Ἀνδρεῖον καλῶ στρατιώτην τὸν ἐν τοῖς κινδύνοις μὴ λελοιπότα τὴν τάξιν (1). Τοὺς φιλοσόφῳ βίῳ χρωμένους ἐν ἀκμῇ δυσκολίας ὅπως φέρονται θεωρῶ. Ἰδιώτῃ μὲν γὰρ φάρμακον ἔστω λύπης ὁ χρόνος (2) · ὁ δὲ διὰ μούσης ἐλθὼν καὶ θείων γευσάμενος ἀκουσμάτων, μή μοι τοιαύτην θεραπείαν ἀναμενέτω. Δεῖ γὰρ τῆς ἰατρείας τοῦ χρόνου τὰ τοῦ λογισμοῦ φάρμακα προηγήσασθαι · ἢ τί πλέον ἡμῖν οἱ λόγοι δωρήσονται; τοῦ δὲ χάριν πονοῦμεν, τὰς τῶν παλαιῶν ἐκμανθάνοντες τύχας; οὐ γὰρ ἵνα τὸν χρόνον ἀνόνητα (3) δαπανῶμεν, ἀλλ' ὅπως, οἶμαι, τήν τε ἄλλην ἐκεῖθεν ὠφέλειαν δρεψώμεθα, καὶ, τοιούτου συμβάντος καιροῦ, πρὸς ἄνδρας ἴσα (4) πεπονθότας ἡμῖν ἢ πικρότερα πάθη τὸν νοῦν ἀναφέροντες, οὕτως οἴσωμεν (5) ῥᾷον.

(1) Psellus opusculis, p. 164 : τὸν μὲν στρατιώτην ὁ πόλεμος δείκνυσιν, ἡ δὲ τρικυμία τὸν κυβερνήτην... Ibi similia apposui. Seneca Provid., 4, 5 : « gubernatorem in tempestate, in acie militem intelligas ». Idem huc apprime faciens Consol. ad Marc., 4, 5 : « cogita non esse magnum se rebus prosperis fortem gerere. Nec gubernatoris quidem artem tranquillum mare et obsequens ventus ostendit; adversi aliquid occurrat oportet, quod animum probet ». Ibi not. Chrysologus, Serm. 20, p. 56 : « Fratres, gubernatoris peritiam non probat temperies serena, sed procellosa tempestas ». Horatius : « ducis ingenium res Adversæ nudare solent, celare secundæ ». Agmen claudat Nilus Epist., 48 : λανθάνει καὶ ἵππου ὀξύτης, ἐὰν μὴ ᾖ ἅμιλλα, καὶ ἀθλητοῦ ἄδηλος ῥώμη, ἐὰν μὴ ᾖ ὁ ἀνταγωνιζόμενος.

(2) Achilles Tatius, 5, 8 : χρόνος γὰρ λύπης φάρμακον καὶ πεπαίνει τῆς ψυχῆς τὰ ἕλκη. Ibi Boden. et Jacobs. Euripides Alexandro, 2 : κάμπτειν τῷ χρόνῳ λύπας χρεών. Idem Alcest. 391 : χρόνος μαλάξει σε · ubi Monk. Julianus extrema Epistola 37, quæ est consolatoria : αἰσχύνη τοῦ λογισμοῦ γένοιτ' ἄν, εἰ μὴ ταυτὸν δύναιτο τῷ χρόνῳ. Inveni in codice γένοιτο, pro δύναιτο quod multo præstat. Ibi ex Lableterio Heyler. Seneca Cons. ad Marc. 1, 6 : « illud ipsum *naturale remedium temporis*, quod maximas ærumnas componit, in te una vim suam perdidit ». Rursus 8, 1 : « dolorem dies consumit... » P. Syrus : « Nil non aut lenit, aut domat diuturnitas ». Voltarius : « ils firent élever une belle statue au Temps, avec cette inscription : A CELUI QUI CONSOLE ». Homius Dugla : « Time that wears out the trace of deepest anguish ». Lillus Ardenio : « Sleep will suspend thy cares, And time will end them. — True, for time brings death, The only certain end of human woes ». Quæ ideo adduxi comparandi causa sententiam parilem in Alcestide, 1104 : Χρόνος μαλάξει... — Χρόνον λέγοις ἄν, εἰ χρόνος τὸ κατθανεῖν. Lillus, homo paucarum literarum, Euripidem non legebat; per se cogitabat.

(3) Ed., ἀνόνητον. AB, ἀνόνητα.

(4) A, ἴσα. B et Ed., ἴσα. Et sic infra p. 21, n. 9, etc.

(5) B et Ed., οἴσομεν. A, οἴσωμεν.

Ἅρπαγος τοίνυν ὁ Μῆδος, ἀνεῖλε μὲν Ἀστυάγης αὐτῷ τὸν παῖδα τὸν μόνον, καὶ, διακόψας τὸ σῶμα, παρατέθεικεν (¹) εὐωχίαν τῷ φύσαντι τὸν υἱόν· ὁ δὲ τὴν γνώμην οὐδαμῶς ἠλλοιώθη τῇ θέᾳ, πᾶν εἰρηκὼς ἀρεστὸν ὑπάρχειν αὐτῷ τὸ δοκοῦν βασιλεῖ. Εἰ τοίνυν ὃ ποιεῖ βασιλεὺς φορητὸν ἀνδρὶ λόγων ἀμοίρῳ, πολλῷ μᾶλλον παιδείαν ὑμῖν ἠσκημένοις ὅ τι ἂν πράττῃ θεός. Καὶ μὴν ἑκάστῳ δεινότερον πάθος υἱὸς τεθνηκὼς ἤπερ ἀδελφοῦ (²) τελευτή· φύσει γὰρ ἅπασιν ἥδιστον πάντων οἱ παῖδες(³). Ἐπεὶ δὲ καὶ τὴν (⁴) ἰδίαν ἐνίοτε συμφορὰν ἕκαστος οἴεται τὰ τοῦ πλησίον ὑπεραίρειν κακὰ, ὑμεῖς δὲ καὶ ἄλλως ἄπειροι τέκνων ὑπάρχετε, οὕτω τυχὸν ἔχετε δόξης, καὶ θάνατον ἀδελφοῦ χαλεπώτατον οἴεσθε πάθος, ὁμοίοις ὑμᾶς ἰάσομαι παραδείγμασιν (⁵).

Ἤνεγκεν ὁ Μενέλαος τὴν Ἀγαμέμνονος τελευτὴν ὑπὸ γυναικὸς τολμηθεῖσαν, καὶ ταῦτα συνοίκου · ἤνεγκεν Εὔφορβος, ἀδελφοῦ πεσόντος · αὐτοῦ πρῴην γεγονότος νυμφίου, μέμνηται τῶν ὑμεναίων, ἀμέλει καὶ συνάχθεται χηρευούσῃ τῇ νύμφῃ (⁶) · ἤνεγκε δ' οὖν ἰδὼν φονέα Μενέλαον καὶ μαλθακὸν αἰχμητήν (⁷).

Præcedens δρεψώμεθα poscebat οἴσωμεν.

(¹) Ed., παρατέθεικεν. Vide ad Anecd. Gr., t. 2, p. IX. Permutantur, ut solet, vocales η ει. Symeon Sethi Ichnel., p. 354 : τὰς γὰρ ὑμετέρας ψυχὰς ὑπὲρ ἐμοῦ προτεθήκατε. Leg. προτεθείκατε. Libanius, t. 4, p. 225 : ὁ δ' οὐκ οἰμώζει, φήσας καὶ τί τῶν ἐκείνου μέλει. Legendum e codice 3017 : ὁ δ' « οὐκ οἰμώξῃ »; φήσας· καὶ « τί δὲ μοι τῶν ἐκείνου μέλει »; conjecerat optime Reiskius οἰμώξει, attice pro οἰμώξῃ. Themistius Orat. 33, p. 441 : ὅταν γὰρ ἀφίκηται μέν τις ἐπὶ τὸν σύλλογον ὑψηλόφρων τε καὶ γεγανωμένος, ἐπειδὴ πολλὰς μὲν κέκτηται οἰκίας, πολλοὺς δὲ ἀγροὺς, πολλὰς δὲ ἀγέλας..., σιτῆται δὲ ἐκ τῆς γῆς καὶ τῆς θαλάττης καὶ τοῦ ἀέρος ἀγείρων τὴν εὐπάθειαν, ἡ πόλις δὲ αὐτὴ ἡ βασιλεύουσα περιβλέπῃ αὐτὸν.... Mendosum esse videtur σιτῆται et reformandum in σιτεῖται. Etenim σιτῆται non pendet ab ὅταν, sed ab ἐπειδή. Syntaxis est, ὅταν ἀφίκηται μὲν τις... ἡ πόλις δὲ περιβλέπῃ αὐτόν. Membra sunt incidentia, ἐπειδὴ μὲν κέκτηται... σιτεῖται δέ. Addam obiter verba τοῦ ἀέρος εὐπάθειαν scribentem Themistium meminisse Platonicorum τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι, De Rep. 10, p. 340 Mass.

(²) B, ἢ παρ' ἀδελφοῦ.

(³) B, Ed., sine οἱ.

(⁴) B dedit καί.

(⁵) A, χαλεπότατον οἴεσθαι....... παραδείγμασι. B, θάνατον αἰσχροῦ χαλ... ὁμοίοις ἰάσομαι.

(⁶) Vide Il. 14, 516; et orationem Menelai, initio libri 17.

(⁷) Ed., Μαιθακὸν αἰχμητήν. Wolfius nimis fidus interpres: « cum Menelaum cædis auctorem et Mæthecum armatum videret ». Exhibui scripturam codicum. Menelaus dictus est μαλθακὸς αἰχμητὴς Il. 17, 588. Correxeram ad Babrium F. 95, 11.

Τί ἂν ὑμῖν ἐγκράτειαν ἀνδρῶν διηγοίμην; Μέμνησθε δήπου τῆς ἱερείας ἐκείνης ἧς οἱ παῖδες, ἀπόντων αὐτῇ τῶν βοῶν, οἷς εἰώθει πρὸς τὸ τῆς Ἥρας ἄγεσθαι τέμενος (διηκόνει γὰρ τῇ (¹) θεῷ), παρούσης ἤδη τῆς ἑορτῆς, τὸν ζυγὸν ὑποδύντες, εἷλκον τὴν ἅμαξαν τῆς μητρὸς ὀχουμένης· μέμνησθε ταύτης, καὶ ὅτι τὴν Ἥραν ἱκέτευσε τοῦτο νεῖμαι τοῖς τέκνοις τὸ δῶρον ὅπερ ἄριστον ἀνθρώπῳ λαβεῖν. Ἤκουσεν ἡ θεὸς, καὶ πληροῖ τὴν εὐχὴν, καὶ θανάτῳ δωρεῖται τοὺς νεανίας. Ἤνεγκεν ἡ γυνὴ τὸ συμβὰν, ἡ μήτηρ (²) δύο παῖδας ὁμοῦ νεανίσκους ἀποβαλοῦσα καὶ δοκοῦσα τῆς τελευτῆς αἰτία γενέσθαι. Καὶ γέγονεν ἐναργὲς τῇ μαρτυρίᾳ τῆς Ἥρας ὡς ἄριστον ἀνθρώπῳ δῶρον ὁ θάνατος.

Ἔοικα δὲ τηνάλλως (³) ὑμῖν ἐνοχλεῖν οἴκοθεν ἐγνωκόσι τὸ δέον. Εἶδον γὰρ, εἶδον νικῶντας καρτερίᾳ τὸ πάθος· οὐκ ὀλίγοις (⁴) ὑμᾶς φιλοσοφοῦντας ὑπέδειξα παρὰ (⁵) τὸν μέγιστον τῶν δακρύων καιρόν. Καὶ μάλα προσήκων ὑμῖν οὗτος ὁ τρόπος. Ἄνευ γὰρ τῆς ἐγκρατείας, ἥ τις ὑμῖν ἐκ φύσεώς τε καὶ λόγων προσοῦσα τυγχάνει, τίς οὕτω φιλόψυχος ὅτῳ (⁶) βδελυρὸς ὁ βίος οὐ φαίνεται, πραγμάτων γέμων ἀεὶ ποιούντων ἡδεῖαν ἑκάστῳ τὴν τελευτὴν, ὅπερ ἔφη τις εὖ φρονῶν (⁷) τῷ Περσῶν βασιλεῖ. Ἰδὼν γὰρ τοῖς ἐπὶ γῆς (⁸) συναχθόμενον, ὅτι καὶ τὸ πλῆθος τῶν ἀνθρωπίνων ἐτῶν χρόνος ἐστὶ βραχὺς, λόγον ὁ βάρβαρος ἑλληνικὸν (⁹) ἀπεφθέγξατο· « Οὐ τὸ σύντομον, ὦ βασιλεῦ, τοῦ βίου δεινὸν, ἀλλ' ὅτι, « βραχὺς πεφυκὼς, ποικίλας ἔχει φροντίδας. Τὰ μὲν κακὰ τῇ παρου-

(¹) A, τῷ. Narratio videatur Herodoti 1, 31, de filiis sacerdotis Junonis, Cleobi et Bitone, cum nota Larcheri, collato Jacobsio Exercit. t. 2, p. 201. Memoratur nominis Κλέοβις genitivus Κλεόβιος. Flectitur et Κλέοβις Κλεόβιδος in lemmate epigrammatis Cyziceni de fratribus illis notis in matrem animi pii, Anth. 3, 18.

(²) Forsan, ἤνεγκεν ἡ μήτηρ. Male latina conversio : « tulit casum mulier mater. »

(³) A, ἔοικα δὲ τὴν ἄλλως. B, τηνάλως. Hic vitiosius; A syllabarum divisione originem adverbii monstravit. In Herodiani Epimerismis librarius pariter τηνάλως scripsit. Ibi mea nota poterit legi, p. 133, collato Sturz. ad Dion. Cass. 38, cap. 24.

(⁴) Ed., ὀλίγους.

(⁵) De sensu præpositionis παρὰ agam ad Choricii Fragm. ζ', ex Roseto Chrysocephalæ.

(⁶) Ed., ὅσῳ. AB, ὅτω. cf. p. 7, n. 8.

(⁷) Ed., εὐφρονῶν.

(⁸) B, ἐπὶ γοῖς. Corrupit Gregorii Naz. locum, t. 2, p. 217 C, permutatio illa vocalium η et οι : γέλως κεκλημένης. Bene legebat κεκλημένοις Billyus, qui vertit « accitis ». Deterior scriptura κεκλημένος in Spicilegio Rom., t. 2, p. 260.

(⁹) Wolfius λόγον ἑλληνικὸν interpretatur « orationem græco dignam

« σίᾳ τοὺς ἔχοντας ἀνιᾷ, τὰ δὲ χρηστὰ μή ποτε παύσηται θορυβεῖ ».

Καί μοι δοκῶ ([1]), εἴ τις θεῶν πάντας ἀνθρώπους εἰς ἕνα που χῶρον συναγαγὼν, ἕκαστον ἀπαιτήσει τὴν ἑαυτοῦ διηγήσασθαι τύχην, εἶτα, πάντων εἰπόντων, ἑκάστου πύθοιτο πάλιν ποίαν ἔχειν ἕλοιτο, πάντας ἂν ἀποροῦντας σιγῆσαι μηδένα ζηλωτὸν θεωμένους ([2]). Ἐντεῦθεν ἄρα τινές (Τραύσους([3]), οἶμαι, τὸ γένος προσαγορεύουσι), τικτομένου μέν τινος, ὠλοφύροντο, σκοποῦντες εἰς ὅσα ἦλθε κακὰ, ἀπιόντος δὲ, πανήγυριν ἦγον, ὅσων ἠλευθέρωται δυσχερῶν ἐννοούμενοι. Πάλαι ταῦτα βοῶσι καὶ ποιηταὶ καὶ φιλοσοφίαν ἀσκήσαντες ῥήτορές τε καὶ συγγραφεῖς, ὥσπερ εἰς ἓν συνελθόντες καὶ πρὸς ἀλλήλους ([4]) συνθέμενοι, μίαν ἅπαντες γνώμην περὶ τῶν ἀνθρωπείων κακῶν ἀπεφήναντο ([5]).

Πλὴν, ὅσον ἔνεστιν ἐπὶ γῆς ὄντα πράττειν καλῶς, πνέουσαν ἔσχεν ἐξ οὐρίας ([6]) τὴν τύχην· ὅσῳ γὰρ τῶν ἄλλων σοφώτερος ([7]), τοσούτῳ μᾶλλον εὐδαιμονέστερος ἦν, εἴπερ ἡ σοφία, κατὰ τὸν Πλάτωνος ὅρον ([8]), εὐδαιμονίας κεφάλαιον. Ἀλλὰ μὴν τοσαύτην βεβίωκεν ἡλικίαν, ὥστε μήτε γήρως ἄμοιρος εἶναι, μήτε τὴν ἑπομένην τοῖς σφόδρα πρεσβύταις ἀναμεῖναι ταλαιπωρίαν. Ἄνευ δὲ τούτων, ὅσων γέγονε παιδευτὴς, τοσούτων ὑπῆρχε πατὴρ, ἴσα καὶ τέκνων ([9]) τοὺς φοιτητὰς ἀγαπῶν. Εἰ δὲ δή τι κἀμοὶ λόγου πρόσεστιν ἄξιον κἂν παιδεύειν ἐπιχειρῶ, οὐ πατὴρ, ὡς ἔοικε, μόνον, ἀλλὰ καὶ πάππος ([10]) ἤδη γεγονὼς ἐτελεύτα.

auctore ». Exstat oratio quam respicit Choricius apud Herodotum 7, cap. 46.

([1]) Ed., καί μοι δοκεῖ. A, δοκῶ. De loquutione μοι δοκῶ dictum est ad Anecd. Græca, t. 4, p. 99. Adde Krabinger. ad Synes. Calv., p. 87. Demetrius Cydon. De cont. morte, p. 120 : ἱκανὰ δὲ δοκεῖ μοι τοὺς μὴ παντάπασι βραδεῖς καταπεῖσαι. Ibi revocanda vetus lectio δοκῶ μοι quam, et a me in duobus codicibus repertam, male mutavit editor.

([2]) A, ἀναπορεῦντας. Ad sententiam confer Horatii Satiram « Qui fit, Mæcenas... ».

([3]) Ex Herodoto 5, 4.

([4]) Ed., ἄλλους. AB, ἀλλήλους. Permutatio solita. Vide Buttmann. ad Alcib. 1, 18.

([5]) Ausonius, Idyll. 15 extr. : « ergo Optima Graiorum sententia; quippe homini aiunt Non nasci esse bonum, natum aut cito morte potiri ». Gregorius Nazianz. Orat. 45, p. 758 C : βίου ἔξοδος ἀμείνων γενέσεως.

([6]) A, ἐξουρίας.

([7]) B, σοφωτερα, et mox εὐδαιμονέ, fine incerto ob compendium.

([8]) Plato Epin., p. 977 : ὅτῳ δὲ σοφία μὴ προσείη πάσης ἀρετῆς τὸ μέγιστον μέρος, οὐκ ἂν ἔτι τελέως ἀγαθὸς γενόμενος, εὐδαίμων ποτὲ γένοιτο. Conf. Platonem Legg. 8, p. 829 A.

([9]) Ed., ἴσα καὶ τέκνων. AB, ἴσα καὶ τέκνω.

([10]) Adnotavit Wolfius : « ut Choricii, qui Procopium audivit

Καὶ μὴν ἀξίαν ἔσχε τοῦ βίου τὴν τελευτήν. Οὔτε γὰρ ἀπεμάρανε νόσου μῆκος τὸ σῶμα καὶ φερομένου τὴν ὑστάτην πορείαν (¹)· ἴδιόν τε τὸ πάθος ἕκαστος ἐλογίσατο, καὶ δακρύων ἀφῆκε πηγάς, ἥ τε ὁσία τοιούτοις αὐτῷ τετίμηται τρόποις οἷς νομίζεται θάνατον (²) ἱερέως τιμᾶσθαι. Κύρῳ φασὶ τῷ Καμβύσου καθεύδοντι δόξαι τινὰ προσελθόντα « Σκευάζου » λέγειν, « ὦ Κῦρε(³)· ἤδη γὰρ εἰς τοὺς κρείττονας ἄπει ». Ὁ μὲν εἶπεν· ὁ δὲ προέγνω τὴν τελευτήν, ἐκ τῶν βεβιωμένων αὐτῷ τὴν πρὸς τοὺς κρείττους πορείαν ἐνθυμηθείς. Πείθομαι τοῦτον εἰς τὴν ὁμοίαν τῷ Κύρῳ τάξιν ἐλθεῖν, εἴτε χωρίον ἐστὶ τερπνόν, ὃ δὴ Μακάρων Νήσους οἱ μῦθοι καλοῦσιν, εἴτε καὶ ἄλλη τις (⁴) ὥρισται τοῖς ἀγαθοῖς ἀμοιβή.

Τοιούτοις ἐγὼ λογισμοῖς ἐμαυτὸν ἰασάμην, καὶ τὴν μεγίστην οὔπω παραμυθίαν προσέθηκα. Ἀπῆλθε καὶ Δημοσθένης τὴν αὐτὴν τῷ τεθνεῶτι βεβιωκὼς ἡλικίαν (⁵), ὁ τὰς Ἀθήνας, ὁ τὴν Ἑλλάδα τῇ γλώττῃ φυλάττων, ὁ πρὸς τὸ Φιλίππου (⁶) χρυσίον πόλεμον ἀκήρυκτον πολεμῶν, ὃς οὐκ ἀπεῖπε πρὸς φάλαγγα προδοτῶν ἀνθιστάμενος, ὃν Ἑρμοῦ λογίου (⁷)

discipuli atque auditores fuerint veluti Procopianæ doctrinæ nepotes »; potius « Procopii in doctrina ac literis nepotes ». Quum fuerit Procopii quasi filius Choricius, Choricii discipuli fuerunt quasi Procopii nepotes. Mos fuit ut magistri discipulos filios vocarent, magistros discipuli patres. Monui nuper ad Babrium, p. 3.

(¹) Ed. fine πορείαν, quod adest in AB. Hanc mortis periphrasin tractavi, p. 26, n. 13. Confer similia statim.

(²) B et Ed,. θάνατον. A, θάνατος.

(³) A, κύριε. Res narratur Xenophonti Cyrop. 8, 7, 2. — De hoc Choricii loco vide Villoisoni judicium infra, p. 42, n. 9.

(⁴) A, ἄλλοι τίς, et mox ἀμοβή.

(⁵) Veteres de ætate Demosthenis non consentiunt, qui annos eum vixisse tradunt 62, 67, 70. Westermann. ad Plutarchi Vitas Oratt. p. 78, annum quartum et sexagesimum deductis rationibus stabilivit.

(⁶) Edit., πρὸς τοῦ Φιλ. AB, πρὸς τὸ Φ. Ad Anecd. Gr. t. 5, p. 25, cogitabam de recipiendo duplici articulo, τὸ τοῦ. Sed lectio edita est forsan lapsus calami.

(⁷) Synesius inter notas Possini ad Pachymerem, t. 1, p. 640 : πρὸς τηλικοῦτον ἄνδρα, Μούσαις, οὐκ οἶδ' εἴ τις (addiderim ἴσως), τετελεσμένον, ὃν ἂν ἰδὼν Δημοσθένης μεθ' ἡμῶν εἶπεν Ἑρμοῦ λογίου τύπον εἰς ἀνθρώπους ἥκειν. Thomas Magister Epist. 1, § 1 : πάντας γὰρ δή που νικᾷς καὶ παρὰ πάντων φέρῃ τὸ συγκεχωρηκός, Ἑρμοῦ λογίου τύπος, ὡς εἰπεῖν, καὶ ὢν καὶ καλούμενος. Quem vide et § 6, cum nota Normanni. Eunapius de Prohæresio, p. 84 : οἱ δὲ θεὸν ἔφασαν, οἱ δὲ Ἑρμοῦ λογίου τύπον. Ubi plurima apposui. Philes Carm. p. 60, Ἔμπνους ἐκεῖνος οὗτος ἀρετῆς τύπος · ubi Wernsd. Appendix Anthol., 247, 1: Πρῶτον μὲν τύπος ἦν αὐτῇ χρυσῆς Ἀφροδίτης. Scribendum pro αὐτῇ, lectione Jacobsiana, αὐτη cum Hagenbuchio. Locis auctorum

παράδειγμα τῶν σοφῶν τις (1) καλεῖ· ὅμως ἀπῆλθε καὶ προσέτι βιαίῳ θανάτῳ, καὶ τὴν Ἀθηναίων τύχην σαλευομένην καταλιπὼν, δίκην νεὼς περικλυζομένης ἀνέμων τε βίᾳ καὶ συγχύσει κυμάτων (2). Ὁ δὲ τὴν ἐνεγκοῦσαν ἀφῆκεν εἰς ἀσφαλῆ τε καὶ μέγαν ὁρμιζομένην λιμένα, τὸν ἱερέα (3)· οὕτως ὁ παλαιὸς λόγος (4) ἐστὶν ἀληθὴς, ὡς οὐδὲν ἄκρατόν ἐστι τῶν κακῶν, ἀεὶ δέ τι παραπέφυκεν ἀγαθόν. Ὅθεν παραψυχὴ τοῦ γεγονότος ὁ πάντα χρηστὸς (5) ἱερεὺς δέδοται τοῖς ἐνοικοῦσιν. Τὰς μὲν οὖν ἄλλας εὐεργεσίας αὐτοῦ πρώην ὁ πολὺς ἐκεῖνος ἐπεδείξατο σοφιστὴς (7), καὶ νικᾷν εἰωθὼς τοῖς λόγοις τὰ πράγματα, τότε πρῶτον ἐφάμιλλος ὤφθη τοῖς ἔργοις· ὡς ἔδει γε καὶ τὰς ἄρτι σοι πραχθείσας τῇ πόλει φιλοτιμίας τὴν ἐκείνου προλαβεῖν (6) τελευτὴν, ἵνα τοῦ πρὸς ἄξιαν ἔτυχον κόσμου, τοιαύτης ἀπολαύσασαι γλώττης.

Νῦν δὲ τίς οὐ κατόπιν χωρήσει (8) τῶν εἰργασμένων; ὧν τί παρεὶς, τίνος μνησθῶ; ἥ τε γὰρ πόλις τοσοῦτον προσείληφε μέγεθος τῶν στοῶν, ὡς ἐξεῖναι ποιητικῶς εὐρυάγυιαν (9) αὐτὴν ὀνομάζειν. Ἐντεῦθεν ἔστιν ἀβρόχους τὰς στοὰς διϊέναι, λελυμένων ὅσα τοῖς παριοῦσιν ἐμποδὼν ἐγεγόνει· τό τε λουτρὸν ἀνέῳκται διὰ σὲ τοῖς ἁπανταχοῦ (10) τῆς πόλεως ἀδεῶς φοιτᾷν δυναμένοις. Καὶ μαντεύομαί γε πλείονά τε καὶ μείζω γενήσεσθαι τῶν γεγονότων.

Ἑρμῆν λόγιον memorantium ducor ad Anonymum Laud. Comæ, cujus verba, p. 38, ἐροίμην οὖν σὲ, πρὸς τοῦ λογίου, vel Λογίου, nil habere videntur difficultatis, et sunt obtestantis Mercurium Λόγιον. De quo deo notatis a me ad Eunap., t. 1, p. 372, et t. 2, pag. 360, addesis Valcken. Schol. t. 1, p. 508; Willet. ad Galen, p. 71; Heyler. ad Julian., p. 319; Davis. ad Maxim. Tyr., 25, 1.

(1) τῶν σοφῶν τις, Aristides videlicet Orat. 46, p. 398: περὶ Δημοσθένους ὃν ἐγὼ φαίην ἂν Ερμοῦ τινος λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν. Imitationem indicavit Wyttenbachius ad Julianum, p. 255, ubi et de Ἑρμῇ λογίῳ.

(2) Ed., καμάτων, mendo typorum. Wolfius invenerat κυμάτων, qui « fluctuum impetu » interpretatus est.

(3) « Episcopum Gazæum, » monente Wolfio.

(4) Similia dicta congessit Duport. Gnomol. ad Od. 8, 63, de Musa quæ Demodoco δίδου δ' ἀγαθόν τε κακόν τε.

(5) Ed., ὁ πάνχρηστος. Vide n. ad Anecd. Gr. t. 5, p. 125.

(6) « Procopius, » monente Wolfio.

(7) A, πρὸς λαβεῖν. B, προσλαβεῖν.

(8) Confert Villoison., Diatr., p. 28, κατόπιν χωρεῖν cum verbis Procopii Gazæi, quibus et usus sum ad Anecd. Nova, p. 83. Vid., p. 29, n. 5; coll. p. 2, 9.

(9) Epitheto εὐρυάγυια sæpe urbes ornat Homerus quas laudat.

(10) B et Ed., οὐ πανταχοῦ. A, ἁπανταχοῦ.

Ἀλλὰ τούτων μὲν ἕκαστον ἰδίου πρὸς ἔπαινον ῥήτορος δεῖται· μίαν δέ σου πρᾶξιν ἐγὼ πρὸς τὴν παροῦσαν ὑπόθεσιν πρόσφορον διηγήσασθαι βούλομαι.

Ἔθηκε νόμον ὁ χρόνος ὀδυνηρὸν γυναιξί. Τίς οὖν οὗτος ἐστίν; Ἐπειδὰν ἄωρος γίνηται τελευτὴ, οὐ τῇ κινήσει τοῦ πάθους ἀρκοῦνται πρὸς ὀδυρμὸν, οὐ τῇ γυναικείᾳ φύσει ῥᾳδίως καταφερομένῃ πρὸς δάκρυα· ἀλλὰ μισθοῦνταί τινα θρήνους αὐταῖς ᾄδουσαν· ἡ δὲ τῇ συμφορᾷ φλεγομένας μᾶλλον ἐξάπτει, καθάπερ ἂν εἴ τις ἔλαιον ἐπιβάλλοι πυρί. Καὶ κρείττων αὕτη τὴν τέχνην, ἡ μείζους ἐπισταμένη κινεῖν οἰμωγὰς, καὶ τὰς ταλαιπώρους γυναῖκας δακρύων μισθοὺς ἀπαιτεῖ. Τοῦτο τοίνυν ἔσβεσας εὖ ποιῶν (1), ἐλεεινὸν ἡγησάμενος μηχανᾶσθαι προσθήκην ταῖς ἐμφύτοις ὀδύναις. Τοιοῦτον οὖν κηδεμόνα λαχόντες ἐπικουφίζεσθε τῆς ἀθυμίας (2), καὶ τῇ πατρίδι συνεύχεσθε τοῦδέ τε χρόνον ἀπολαῦσαι μακρὸν (3), καὶ παραπλησίους ἐνεγκεῖν τῷ τεθνεῶτι πολίτας.

Ταύτας, ὦ ποθεινοτάτη κεφαλὴ, τὰς χοὰς ὁ σὸς ἐπισπένδει σοι φοιτητής· ἔδει γὰρ καὶ μετὰ τῶν ἄλλων δακρῦσαι καὶ πλεῖόν τι τῶν ἄλλων εἰσαγαγεῖν τὸν πλείονος παρὰ σοὶ τυχόντα φιλοστοργίας.

(1) Ed., εὐποιῶν. A, εὖ ποιῶν.
(2) A, ἐπικουφίζεσθαι, superscripto ε syllabæ αι. B, τὰς ἀθ. Ed., τῆς ἀθ, et sic A.
(3) A, τοῦδέ τε χρόνου ἀπολαῦσαι μικρόν. B, μικρόν.
(4) Ed., παράσοι. A, παρασοί. B. παρὰ σοι.

ΧΟΡΙΚΙΟΥ ΣΟΦΙΣΤΟΥ

ΕΓΚΩΜΙΟΝ ΕΚ ΤΟΥ ΠΡΟΧΕΙΡΟΥ

ΕΙΣ ΣΟΥΜΜΟΝ

ΤΟΝ ΕΝΔΟΞΟΤΑΤΟΝ ΣΤΡΑΤΗΛΑΤΗΝ (1).

Ὁ λόγος βραχὺς μέν ἐστι καὶ ἄλλως· ἔτι δὲ δόξει βραχύτερος, εἴ τις αὐτὸν παραβάλλοι τῷ στρατηγῷ. Οὐ μὴν ἀπεικότως παῤῥησιάζεται τῇ τῶν προτρεψαμένων εὐνοίᾳ θαῤῥῶν (2).

Ἄτοπον μὲν (3) ἴσως ἐγχείρημα δόξει καὶ θράσους μεστὸν (4), εἰ νῦν, ὅτε κρείττους ἔδει μοι γενέσθαι τοὺς λόγους, οἷα δὴ μείζω τολμῶντας ἡγεμόνα κοσμεῖν, ἐλάττονα γλῶτταν ἥκω σοι φέρων, ὀλίγου καιροῦ τὴν εὐφημίαν ἐργασαμένην (5). Πλὴν, ἐπειδὴ κἂν (6) βραδέως ἐκτίσω τὸν

(1) Lemma exhibeo codicum 2967 =A, 3087=B, et Matritensis in Yriartæ Catalogo, p. 396. Brevius est lemma Fabricianæ in Bibl. Gr., t. 8, p. 863, edit. a. 1717 : Χορικίου τοῦ αὐτοῦ λόγος εἰς Σοῦμμον στρατηλάτην. B, σοῦμον. Sed tenet recte σοῦμμος, p. 30, 1. « In codice Matrit. inscripta est...; ubi vides ἐκ τοῦ προχείρου, quod extemporalem laudationem indicat et in Fabricii editione deest. Sic in eodem codice Matr., fol. 110 verso, et in ejusdem bibliothecæ cod. CXV, fol. 215 [Vid. Yriart. Catal., p. 399, 464], legitur : εἰς τὰ τοῦ βασιλέως Ἰουστινιανοῦ βρουμάλια · ἐκ τοῦ προχείρου ἡ διάλεξις ». VILLOISON, Diatr., p. 20. — Summi ducis meminit Procopius Cæsar. Hist. Pers. 2, 1.

(2) Verba ὁ λόγος — θαῤῥῶν absunt ab editione. In Anecdotis Gr., t. 2, p. 409, illud argumentum apponens male scripsi προτρεψάντων. Exstat et in Matritensi libro, quod tunc me fugiebat, sed cum mendis, ἐστὶ pro ἔτι, ἀπεικός, ni sint tribuenda Yriartæ, homini valde incurioso. Est ibi et παραβάλλει.

(3) B sine μέν.

(4) A, μεσθόν.

(5) Hertogii latina « celebraturam », quasi corrigere voluisset editum ἐργασαμένην et rescribere ἐργασομένην. De quo non cogitasset, si verba ἐκ προχείρου reperisset.

(6) Ed. sine κἂν. De hoc loco ad

ἔπαινον, νικῶμαι τῷ μεγέθει τῶν ἀρετῶν, ἄσμενος εἶξα (¹) τῇ συντομίᾳ τοῦ χρόνου, τὴν ἐκ τοῦ τάχους θηρεύων συγγνώμην. Ἤδη μὲν οὖν τις τὰ Μουσῶν ἐργαζόμενος εὖ μάλα (²) ποιητικῇ σειρῆνι τὸ θέατρον ἔθελξεν, ἐνιά σου (³) τῶν γνωρισμάτων ὑποτάξας τῷ μέτρῳ· οὐ μὴν ἐντεῦθεν ἡμῖν οἱ λόγοι στενοχωροῦνται· ἀλλ' ὥσπερ (⁴) μέγα πλέουσι πέλαγος ὁλκάδες πανταχόθεν πολλαὶ, καὶ φόβος οὐδεὶς μὴ λάθωσί πού τινες (⁵) ἀλλήλας πιέζουσαι, οὕτως ἡ τῶν σῶν ἔργων (⁶) εὐρυχωρία παντὶ δίδωσιν ἐπαινέτῃ τόπον ἀρκοῦντα.

Δεῖγμα δέ σου πρῶτον ἀρχικῆς ἐπιστήμης τὸ δὶς τὴν αὐτὴν λαχεῖν ἐξουσίαν. Οἱ γὰρ τοιαύτης ἀπαίδευτοι τέχνης ἢ τὸν ἅπαντα χρόνον εἰς ἰδιώτας τελοῦσιν (⁷) ἢ μιᾶς ἀπολαύουσι δυναστείας, ἐλεγχομένης αὐτῶν τῆς ἀμαθίας τῇ πείρᾳ. Σοῦ (⁸) δὲ τοῦ καλῶς ἄρξαι τὴν πρώτην ἡ δευτέρα τεκμήριον· τὸ δὲ βραβεῦσαι τὴν προτέραν ὀρθῶς τοῦ φθάσαντος βίου σημεῖον. Οὐ γὰρ ἐνῆν ἄνδρα (⁹) γενέσθαι τοιοῦτον, εἰ μὴ καλῶς ἐν παισὶ (¹⁰) καὶ μειρακίοις ἐτράφης.

Ἀλλὰ τί σου (¹¹) τὰς βραχυτέρας ἄγομεν ἡλικίας εἰς μέσον, μηδὲ τὰ τῆς παρούσης πλεονεκτήματα χωροῦντος τοῦ λόγου; ἤδη δὲ πρὸς ταῦτα πορεύσομαι.

Ἐγένετο καιρὸς τὴν Ἀντιόχου (τότε γὰρ Ἀντιόχου (¹²) προσηγορεύετο) σαλεύων τε καὶ κινῶν ἕως εἰς ἔδαφος ἔκλινεν. Οὗτος ὁ καιρὸς

An. Gr. l. l. Est κἂν et in codice Matritensi quem contulit Millerus vir d.

(¹) Matr., ἧξα.

(²) Matr., εὖ μάλα τὰ μουσῶν, Meminit et ejus poetæ, p. 31, 4.

(³) Matr., ἐνίας οὐ.

(⁴) Matr., ὥσπερ γάρ.

(⁵) B, λάθωσί του τινάς.

(⁶) Matr., σῶν λόγων.

(⁷) Vide not. 5 p. 13.

(⁸) Sic distinguunt ABM. Editio, ἀμαθίας. Τῇ πείρᾳ σου δέ. M, σοὶ pro σοῦ. Hertogius e malis græcis mala fecit latina.

(⁹) Ed., οὐ γὰρ ἐν τῷ ἄνδρα. De hoc loco agebam ad Anecd. Gr., t. 2 p. 311. ABM, ἐνῆν.

(¹⁰) A, ἐνμπαισί. Exhibet pronunciationem. Mox ἐτράφοις mendum editionis.

(¹¹) B, ἀλλὰ γάρ σου. A et Ed., ἀλλὰ τί σου, vividius.

(¹²) Ed. et A, Ἀντιόχου προσηγόρευτο. B, Ἀντ. προσηγορεύετο. Diruta terræ motu et incendio, Antiochia fuit a Justiniano instaurata novoque nomine dicta Θεούπολις. Vide Historiam Infimi Imperii, t. 8, p. 107. Theod. Balsamon in Monumentis Coterianis, t. 2, p. 494 : Ἀναστάσιος ἐκεῖνος ὁ Σιναΐτης καλούμενος καὶ πατριάρχης γεγονὼς τῆς καθ' ὑμᾶς Θεουπόλεως, μεγάλης Ἀντιοχείας. Idem titulus Theodoriti, patriarchæ Θεουπόλεως μεγάλης Ἀντιοχείας, in Bibl. Gr., t. 8, p. 308.

οὐδὲ τῶν Ἀπόλλωνος ἐφείσατο παιδικῶν, οὐ τὸ κάλλος (1) τῆς ἐρωμένης ἐλέησε τοῦ θεοῦ, οὐ τὸν Ζέφυρον ἠρυθρίασε πρᾴως ἀεὶ περιπνέοντα (2) τὸ χωρίον· οὐ τῶν ὀρνίθων ᾤκτειρε τὰς φωνὰς, ὅσοι τοῖς δένδρεσιν ἐφιζάνοντες ᾄδουσιν ἡδὺ καὶ τερπνὸν (3), τότε δὲ ἴσως ἐλεεινὸν, εἴ τις ἄρα κακῶν ὄρνισι πέφυκεν αἴσθησις.

Ἐν τούτοις μὲν ἦν ἡ πόλις καὶ τὸ ἄλσος αὐτῆς. Εἰ δὲ τότε Δελφοὺς ἔχων ἐτύγχανεν ὁ Ἀπόλλων, καί τις ἐπύθετο τοῦ θεοῦ τίνα τρόπον αὐτῷ τὴν πορθουμένην ἰάσονται (4) καὶ τὴν ἐκείνης ἄρχουσαν πόλιν, ἀνεῖλεν ἂν δυοῖν ἰατρῶν δεῖσθαι, τὴν ψυχὴν (5) ἀγαθοῦ βασιλέως καὶ στρατηγοῦ παραπλησίου τὴν γνώμην, τοῦ μὲν ὀρθοῦντος τὰ πεπτωκότα, τοῦ δὲ τὴν τῶν ἠτυχηκότων ἔνδειαν θεραπεύοντος. Ταῦτα ἔχρησεν ἂν, εἴγε μάντις ὑπῆρχεν ὁ Πύθιος. Ὁ μὲν γὰρ ὤρεξε (6) χεῖρα τῇ πόλει πλουσίαν, ὥστε μηδὲ εἴ ποτε πέπτωκε προσελθόντα τινὰ (7) ῥᾳδίως αἰσθέσθαι, καὶ τῷ ἄστει τὸ πρότερον ἀπένειμε κάλλος, οὐ συγχωρήσας τῇ γῇ καὶ ταύτην καλύψαι τὴν Δάφνην, ὥσπερ πάλαι τὴν ὁμώνυμον κόρην.

Καὶ τὰ μὲν αὐτοῦ τοῦ βασιλέως (8) τοιαῦτα· ὁ δὲ πάντα πολὺς οὑτοσὶ, ταῖς ἀκμαῖς τοῦ κινδύνου παρὼν, ἑκάστῳ (9) τὸ πρόσφορον συνεισέφερε, βίου μὲν ἀφορμὰς τοῖς δεομένοις, τοῖς δὲ κειμένοις τὰ νομιζόμενα, τοῖς δὲ μηδαμῶς δρωμένοις (πολλὰ γὰρ ἀφανῆ γέγονε σώματα), τούτοις (τί γὰρ ἕτερον ἦν;) ἐδωρήσατο δάκρυα (10).

(1) Ed., οὔτε κάλλος. ABM, οὐ τὸ κ. Periphrasi poetica significatur Daphne, Antiochiæ suburbium, de quo monui, p. 7; estque omnino τῆς ἐρωμένης τοῦ θεοῦ de Daphne intelligendum ab Apolline deo amata, etsi præcedat τῶν παιδικῶν de eadem dictum. Hertogius : « neque dilectæ DEO urbis decus respexit. » In quo eum erravisse reor. Sic tamen Villoisonus videtur intellexisse quem vide Diatr., p. 24, infra, p. 43. Non potuit Choricius, adeo ineptire ut Apollinem jungeret ac DEUM.

(2) Ed., B, οὐ τὸν ζέφ. A, οὐ διὰ τὸν ζ. M, περιπνέοντα, AB, Ed., πνέοντα. Cf. de ἐρυθριᾷν Ζέφ. p. 15, n. 3.

(3) A, Ed., τερπνόν. B, τερπόν. Ed., B, ὀρνίσιν. A, ὀρνίσι.

(4) Matr., ποιουμένην. — Ἰάσονται Antiocheni videlicet.

(5) Matr., τὴν τύχην.

(6) B, ἔρεξε.

(7) Ed., sine τινὰ, quod tenent AB, Matr..

(8) M, τὰ μὲν τοῦ βασ., e correctione.

(9) M, ἑκάστου.

(10) Gregorius Naz., t. 2, p. 34: Ἐκκλησίαις δὲ τί δώσομεν; τὸ δάκρυον. Εἰς τοῦτο γάρ με καὶ συνήγαγεν θεὸς, Πολλαῖς ἑλίσσων τὴν ἐμὴν ζωὴν στροφαῖς. Grayus loco nobili : « He gave to Mis'ry all he had, a tear ». Levisius : « Humble and

Τότε δὴ πάντα πόρον ἀναγκαίας (¹) τροφῆς τοῖς ἐν χρείᾳ χορηγῶν διετέλεις· τότε σε τὸ μέγεθος τῆς φιλοτιμίας ἀπέζωσε (²), καὶ τῆς ἀξίας τὸ σχῆμα παρεῖδες, ἵνα τὴν ἀξίαν αὐτὴν ἔργῳ σεμνύνῃς. Εἵλου γὰρ εὖ ποιῶν (³) ζωνῆς ὀφθῆναι μᾶλλον ἢ (⁴) φιλανθρωπίας γυμνὸς, καὶ τὸ σῶμα μᾶλλον ἢ τὴν ψυχὴν ἄκοσμον ἔχειν. Διὰ τοῦτό σοι (⁵) πλοῦτος γέγονεν ἀρετῆς ἡ τοιαύτη πενία.

Ἰδοὺ πάλιν ἐκείνους οἰκτείρεις τοὺς ἄνδρας, καὶ πρόσωπον ἐμφαίνεις συναχθομένου, κατὰ νοῦν ἐκ τῶν εἰρημένων τὸ πάθος λαβών. Καὶ τοῦτο ἄρα σε μόνον ἡ τότε φιλοτιμία (⁶) λυπεῖ, ὅτι τῇ μνήμῃ τῆς δωρεᾶς ἡ συμφορὰ συνεισέρχεται. Τοιγαροῦν συστέλλω τὸν ἔπαινον, ἵνα μὴ τὴν λύπην ἐκτείνω.

Ἐπειδὴ τοίνυν ἐν τούτοις ἠγγέλθης τῷ βασιλεῖ, λαβὼν ἐκεῖνος εἰς ἔννοιαν, ὅσην εἰκὸς τῆς ἰδίας σε χώρας ἐπιμέλειαν ἔχειν, τὸν τῆς οὐ προσηκούσης τοσαύτην θέμενον πρόνοιαν (⁷), ὑποτάττει σοῦ Παλαιστίνην (⁸) τῷ νεύματι. Σὺ δὲ περιχαρὴς (⁹) ἐδέξω τὸ γέρας, οὐ πρὸς ἀρχὰς ἔχων ἐρωτικῶς, ἀλλὰ τροφείων (¹⁰) τῇ χώρᾳ πρόφασιν ἐξευρών.

Αὕτη τῶν Παλαιστίνης ἐγένετο (¹¹) πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. Ἐντεῦθεν οἱ δυσμενεῖς ἠρεμεῖν ἠναγκάζοντο, ἄνδρες σοβαροὶ καὶ φιλοκίνδυνοι καὶ μισοῦντες τὴν ἡσυχίαν, καὶ προῆλθε ταῖς πόλεσιν ἐλευθερία σαφὴς ἐξ ἀφορήτου δουλείας, ἥτις ἐπενείματο μὲν τῶν ἀλλοφύλων τοὺς γείτονας, κατέβη δὲ πρὸς τοὺς τούτων (¹²) ὁμόρους, ἥψατο δὲ τῶν ὑπολοίπων χωρίων, ὁδῷ δὲ προϊοῦσα (¹³) καὶ πρὸς ἡμᾶς

---

poor, I nothing can bestow, Except these tears of pity for your woe: 'Tis all I have ».

(¹) M, ἀναγκαίου.

(²) Videtur zonam ipsam, dignitatis insigne, vendidisse Summum, ut pauperibus subveniret.

(³) Ed., εὐποιῶν. Syllabas separant AB. Conf. p. 24, n. 1.

(⁴) M, ἤπερ.

(⁵) A, διατοῦτο σοι. B et Ed., διὰ τοῦτο σοι. Mox B sine τούς.—Metaphoram quæ est in πλοῦτος ἀρετῆς illustrat nota ad Philostr. Epist. 44, p. 128. Symmachus 1, Ep. 24: « opulentia eruditionis ». Alfierius: « d'ogni alto Dovizia aver degg'io ».

(⁶) M, τότε, AB, Ed. sine τότε.

(⁷) B sine εἰς. Ed. sine σε, ac male θέμενος. M, οἰκείας. ABM, εἰς... σε... θέμενον.

(⁸) A, παλαιστήνην. Et A sic deinceps.

(⁹) M, περιχαρῶς,

(¹⁰) Ed., τροφαίων, quod mirifice reddit Hertogius, « trophæorum». De hoc loco egeram ad Anecd. Gr. t. 2, p. 485. ABM, τροφείων.

(¹¹) M, ἐγίνετο.

(¹²) B, οὕτων. Voluit scribere τούτων superscripto τ.

(¹³) B, προσιοῦσα.

ἧκε τῇ φήμῃ· σοῦ δὲ φανέντος, κατὰ μικρὸν ὑποστρέψασα γίνεται παρὰ τοῖς ἐναντίοις.

Οὕτω τὰ Παλαιστινῶν πράγματα παραδέδωκας τοῖς τὴν αὐτὴν μετὰ σὲ παρειληφόσιν ἀρχήν. Οἱ δὲ, τοιούτων αὐτοῖς ὑπαρχόντων παραδειγμάτων, ἕως μὲν τοῖς ὑμετέροις ἴχνεσιν εἵποντο (1), τῶν ὑπηκόων ἀμέμπτως ἐκράτουν· ἐπεὶ δὲ, τὰ πάντα (2) σε μιμεῖσθαι πειρώμενοι, λειπομένην εὗρον τῆς προθυμίας τὴν δύναμιν (κρείττω γὰρ ζήλου τὰ σά), τότε σοῦ (3) τῶν ἰχνῶν ἔξω πλανώμενοι, εἰκῇ τὰ τῶν ἀρχομένων ἴθυνον πράγματα, ὥστε δοκῶ μοι τὴν τύχην εὐνοίᾳ τῇ περὶ σὲ τῶν αὐτῶν ὑπηκόων ἑτέρους καταστῆσαι δεσπότας. Εἰ μὲν γὰρ ἄλλος οὐδεὶς ἐπὶ τὴν αὐτὴν μετὰ σὲ παρῆλθεν ἀξίαν, ἄδηλον ἦν εἰ μόνον τὸ σὸν ἴσχυε φρόνημα τοὺς ἐχθροὺς ἡμερῶσαι καὶ βιάσασθαι (4) σωφρονεῖν· νῦν δὲ μαρτυρία προῆλθεν ἐπὶ σὲ μόνον τὴν ὅλην ἀναφέρουσα πρόφασιν. Τοὺς μὲν οὖν πρὸ τῆς ὑμετέρας ἀρχῆς τῶν αὐτῶν ἡγησαμένους πραγμάτων οὐδὲν θαυμαστὸν κατόπιν σου γενέσθαι τῶν (5) ἀρετῶν· οὐ γὰρ εἶχον ὅντινα δέοι μιμήσασθαι· τὸ δὲ τοὺς ὕστερον ἄρξαντας ἀπολείπεσθαι δείκνυσιν εἰς πᾶσαν ὑμᾶς νικῶντας παράθεσιν, ὡς ἐξεῖναί σοι πανταχόθεν εἰκότως μέγα φρονεῖν, ἐκ μὲν τῶν προλαβόντων, ὅτι τούτους παρέδραμες οὐ μετρίως, ἐκ δὲ τῶν μετὰ σὲ τὴν ἀρχὴν εἰληφότων, ὅτι μιμήσεως κρείττων ἐφάνης.

Οἷον γὰρ, οἷον ἐκεῖνό σου τὸ θρυλλούμενον! ἐνόσει ποτὲ τῶν ἡμετέρων φυλῶν κεφάλαια, δυοῖν ἀνδρῶν ξυνωρὶς, καί τις ἀμφοτέροις ἄκριτος (6) ἦν ἔρις καὶ ταραχή· δειναὶ γὰρ ἀεὶ καὶ δυσίατοι τῶν φίλων αἱ πρὸς ἀλλήλους διαφοραί (7). Λελυμένων τοίνυν λαμπρῶς τῶν σπονδῶν καὶ πάντων ἐλπίδι μιᾷ κρατουμένων ἀπέραντον εἶναι τὴν στάσιν (πολλοὶ γὰρ διαλλάττειν ἐσπουδακότες προθυμίαν ἐπεδείξαντο μόνην), ἔδειξεν ἡ πεῖρα

(1) Ed., ἕποντο. Modo MA, ἡμετέροις. Statim eadem varietate Ed., B, ἡμετέρας, quum sit in A ὑμετέρας. Conf. n. ad. Anecd. Gr., t. 4, p. 431. Frequens pronomen ὑμέτερος pluralis significationis pro σὸς in recentioribus auctoribus, et ὑμεῖς pro σύ. Monui ad Simocattæ Epistolas, p. 364, memor loci Choriciani et aliorum. Sic statim ὑμᾶς pro σέ.

(2) M, δὲ πάντα.

(3) B et Ed., σου. A, σοῦ.

(4) Ed. ἱμερῶσαι. AM, ἡμερ. B, ἡμιῶσαι καὶ διάζασθαι.

(5) De κατόπιν γεν. p. 23, n. 8.

(6) ABM, τὸ θρυλλούμενον.... ἄκριτος· M, δυεῖν. Edit., τεθρυλλόμενον... ἀκρίτως. Monebam ad Anecd. Gr. t. 2, p. 270.

(7) Meminit Euripidis Medeæ, 507: Δεινή τις ὀργὴ καὶ δυσίατος

σαφῶς ὡς οὐδὲν ἄπρακτον ὅπου ἂν τύχῃ Σοῦμμος παρών. Ἀναμνήσας γὰρ ἀμφοτέρους τῶν συνθηκῶν, καὶ πικρῶς ἐπιπλήξας ὅτι καθάπερ ἐν νυκτομαχίᾳ πρὸς ἀλλήλους ὁπλίζονται (1), βεβαίας αὐτοῖς συνεστήσω διαλλαγάς. Ταύτην ἐγὼ τὴν διάλυσιν παντὸς εἶναί φημι τροπαίου τιμιωτέραν, Ἡροδότῳ (2) χρώμενος δικαστῇ · « ὅσῳ γὰρ εἰρήνη » φησὶ, « πρᾳοτέρα πολέμου, τοσούτῳ πόλεμος ἔφυ στάσεως ἡμερώτερος ». Ἔοικε δὲ τοῦτο καὶ Ὅμηρος μαρτυρεῖν · ποιήσας γὰρ πόλεμον Πάριδος, τὴν Ἀχιλλέως ᾔτησε μῆνιν ᾄδειν τὴν Μοῦσαν.

Ἔχοι δ' ἄν τις καὶ τρόπον ἕτερον ἄγασθαί σου τὴν πρᾶξιν, ὅτι τόξου καὶ πανοπλίας καὶ δόρατος καὶ βίας πολεμικῆς ἐστὶ ψιλή (3). Εἰ γὰρ ἀσπίδι πολλῇ καὶ βελῶν ἀφέσει πυκνῶν, ἱππέων τε καταλόγοις καὶ πᾶσι στρατοπέδου πληρώμασιν αἱ πρὸς ἀλλήλους αὐτοῖς διὰ σοῦ προῆλθον συνθῆκαι, καὶ μικρὰ πρόφασις καὶ τὸ τυχὸν ἐναντίωμα πάλιν ἀνέτρεπε τὰς σπονδάς · τὰ γὰρ εὐνοίας χωρὶς καὶ πόθου συνιστάμενα σαθρά τε καὶ σφαλερὰ, καὶ βραχὺν ἀνθήσαντα χρόνον ἀπομαραίνεται (4).

Ἕτερον τοίνυν κατόρθωμα τὸ λεχθὲν διαδέχεται. Νομάδων γὰρ ἀλλοφύλων τοὺς ἡμετέρους καταθεόντων καὶ ληϊσαμένων τὸ προστυχὸν, καὶ τὴν λείαν ἐν ὄρει θεμένων, ὥσπερ τῆς ἀδικίας, εἰ χωρίον ὑψηλὸν καταλάβοι, βεβαίως ἱδρυμένης τοῖς κεκτημένοις, οὕτω τούτων ἐν μετεώρῳ διατριβόντων (5), ἕτερος μὲν ἐτύγχανε στρατηγῶν (6) · οὐ γὰρ ἂν ἐπράχθη τὸ τολμηθέν · τοσαύτην δὲ τῇ χρείᾳ ῥοπὴν ἐχορήγησας, ὥστε τῶν εἰργασμένων τὴν εὔκλειαν, καταλιποῦσαν τὸν στρατηγὸν, ἐπὶ σὲ μεταστῆναι, καὶ ταῦτα φιλοῦσαν τοῖς ἡγουμένοις ἀκολουθεῖν.

πέλει, Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

(1) A, ὁπλίζοντας. B, ὁπλίζοντα. Mox Ed. sine εἶναι, quod tenent AB.

(2) B, Ἡροδότου. Herodoti verba sunt 8, 3 : στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι, ὅσῳ πόλεμος εἰρήνης. Pro edito ἱμερώτερος, scripsi ἡμερώτερος ex B, et ex A, ubi ἐφύστασε ἡμερώτερος. Qui legerat Fabricianæ lectionem ἱμερώτερος, Wesselingius, collata cum Herodotea sententia Choriciana, hanc illius esse παραδιόρθωσιν recte animadvertebat.

(3) A, ψεκτή. Ed. et B, ψιλή.

(4) B, ἀνοίας. Sequitur Demosthenem Ol. 2, § 9, 10 : ὅταν δ' ἐκ πονηρίας τις... ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν... Τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν. Ibi Vœmel., post Wyttenbachium ad Julian., p. 74, qui Choricii meminerat. Cf. et Ol. 2, § 21.

(5) B, τριβόντων.

(6) Hertogius : « alter ducum »; qui error notandus. Sensus est : « alius fungebatur ducis munere ».

Ἀλλὰ γὰρ ὁ Νεῖλος περιηχεῖ μου τὰς ἀκοάς, καί με ποιητικῶς « ἀμφὶ κτύπος οὔατα βάλλει (1) ». Εἰ δὲ καὶ παρ' ἡμῖν οἱ ποταμοὶ διελέγοντο, καθάπερ ὁ Σκάμανδρος ἐν τοῖς ἔπεσιν (2), καὶ ὥσπερ ὁ Νεῖλος αὐτὸς παρὰ τῷ πρώην ὑμᾶς ἀνυμνήσαντι (3), κατεβόησεν ἄν μου, φωνὴν ἀφιείς, ὅτι μὴ τὴν πρώτην δέδωκα μοῖραν τοῖς περὶ τοῦτόν σοι πεπραγμένοις τὸν ποταμόν. Ἐπιπεσόντων γὰρ πολεμίων τοῖς ἐν Αἰγύπτῳ (4) τὸν βίον ἐν σκηναῖς ποιουμένοις (5), ὡς ἔγνως, ὡς μαθὼν ἠγανάκτησας, ὡς θυμοῦ γέμων ἐχώρεις, πολλοὶ μὲν τῶν πολεμίων ὑπὸ σοῦ γεγονότες δοριάλωτοι, πολλοὶ δὲ πάλιν τῶν ὁμοφύλων αἰχμάλωτοι διὰ σὲ τῆς εἰρημένης προσηγορίας ἐπαύσαντο (6).

Οὐ τοίνυν μόνον τῆς τῶν πολέμων ἀπαλλαγῆς ἔχουσί σοι (7) χάριν αἱ πόλεις, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ τερπνῶν. Οὐ γάρ ἐστι γλυκεῖαν ἄγειν εἰρήνην ἐν ὑποψίᾳ πολέμου. Ἡ γὰρ ἐλπὶς εἰσιοῦσα τὸν λογισμόν, κἂν βούληταί τις αὐτὸς ἑαυτὸν ἀπατήσας ψυχαγωγεῖν, αὕτη παρακαθημένη καὶ στένουσα (8) καὶ φοβερὰς ἀναπλάττουσα (9) φαντασίας, γῆρας οὐδαμῶς ἐλεούμενον, κόρην ὑβριζομένην, ἑλκόμενον ἐς δουλείαν παιδίον, ἀγομένην ἐκ παστάδος γυναῖκα · τοιαῦτα τοίνυν ἐνεικονίζουσα τῇ ψυχῇ, στρέφει τε καὶ φοβεῖ καὶ πρὸς ἀθυμίαν ἀνθέλκει. Οὔκουν ἡ Λεσβίων πανήγυρις ἡδονὴν εἶχεν αὐτοῖς, ὅτε πόλεμος Ἀθήνηθεν ἠπειλεῖτο τῇ νήσῳ (10).

Εἶεν. Πόθεν δήπου τὸν λόγον ᾤχετο φέρων ὁ Νεῖλος; ἐκ Παλαιστίνης, οἶμαι, πρὸς ἣν βούλομαι πάλιν ἐπανελθεῖν, ὅπως ἐντεῦθεν ἐπὶ τὴν Ἀῤῥαβίων ἀφίξωμαι (11). Τί δέ μοι τῆς ἐπὶ ταύτην πορείας; ὥρμηταί

(1) Hom. Il. 10. 535.

(2) Scamander loquitur Il. 21, 308.

(3) A, ἡμᾶς ἀνυμν. Innuitur poeta, qui Summum jam carmine laudaverat. Conf. p 26, 3.

(4) A, ἐνεγύπτῳ.

(5) Significari puto Arabes scenitas in Ægypto degentes.

(6) Potuerunt αἰχμάλωτοι Ægyptii τῆς εἰρημένης προσηγορίας παύσασθαι, liberati scilicet a victore; sed minus capio qui et hostes δοριάλωτοι ἐπαύσαντο. An et illos Summus liberos abire permisit? An legendum ἐγένοντο, γεγόνασι ?

(7) Edit. sine σοι. Pronomen Hertogius invenit, vel conjecit addendum, qui reddit : « gratias *tibi* habent civitates ». Jam dictum ad Anecd Gr., t. 4, p. 329.

(8) A, στένουσα, pro θύουσα, quod est in B et Ed.

(9) B, ἀναπλήττουσα.

(10) A, οὔκουν. B et Ed., οὐκοῦν. — In eo erant Mytilenæi ut festum Apollinis Maloëntis celebrarent, quum nuncius ἀγγέλλει τὸν ἐπίπλουν (Atheniensium)· οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα... Vid. Thucyd. 3, 3.

(11) A, τὴν ἀρραβίων. Ed., τὴν Ἀῤῥαβίαν ἀφίξομαι. AB, ἀφίξωμαι.

τις ἐκεῖθεν ἐμὸς φοιτητής. Οἶσθα τὸν νέον ὃν ἔναγχός μοι συνέστησας, ᾧ γνώρισμα μέγιστον ὁ πατήρ. Οὗτος, ἐμοῦ διηγουμένου ὅπως διένειμας τοῖς αὐτοῦ πολίταις τοὺς φόρους, ἀνέμνησέ με τοῖς περὶ σοῦ λεγομένοις Ἀριστείδου τοῦ Λυσιμάχου. Ἐκεῖνος τοῖς νησιώταις τάξας (1) τὸ σύμμετρον, ἣν ἐπεδείξατο (2) τοῖς Ἕλλησιν ἀρετὴν, ταύτην ἔλαχεν ὄνομα (3). Καὶ σὺ τῶν Ἀῤῥαβίων ἑκάστῳ τὴν ἐπιβάλλουσαν (4) διώρισας οὕτω μοῖραν, ὥσπερ εἰς λόγους ἐλθών που τῇ Τύχῃ τῶν (5) οἰκητόρων καὶ παρ' ἐκείνης ἀκηκοὼς ὅσοις μὲν ἐδωρήσατο πλοῦτον, ὅσους δὲ περιορᾷ πενομένους, καὶ τίνες ἑκατέρου τῶν ἄκρων ἐν μέσῳ. Οὔτε γὰρ οἴκτῳ τῶν δεομένων ἠδίκησας τὴν πλούτου μερίδα, οὔτε χάριτι τῶν εὐπορούντων τοὺς ἐν ἐνδείᾳ προήχθης ὑπεριδεῖν, οὔτε τῶν μέσων τὸ πλῆθος αἰδούμενος ἐλυμήνω τοὺς ἑκατέρωθεν τεταγμένους.

Ὅσον δὲ τοῖς πράγμασιν ὄφελος ἡ συμμετρία τῶν φόρων ἐκεῖθεν ἄν τις ἴδοι σαφῶς, εἰ τὴν ἐκ τῆς ἀμετρίας διασκέψεται (6) βλάβην· ἐπεὶ καὶ σωμάτων ὑγεία ἡλίκον ἐστὶ τοῖς ἔχουσιν ἀγαθὸν ἡ νόσος ἐμφαίνει. Ἐλαυνομένης (7) τοίνυν ἐκ τῆς Ἀῤῥαβίων τῆς ἀμετρίας τῶν εἰσφορῶν, οὐδεμία τις περὶ σοῦ τοῖς αὐτόθι πλουτοῦσι δωροδοκίας ἀφορμή (8). Ἀλλ' ἡδέως μὲν ἂν προσεδόκων· ἤχθοντο δὲ, προσδοκᾶν οὐ δυνάμενοι·

(1) Est verbum τάττειν φόρους solenne in hac de Aristidis æquitate narratione. Procopius Choricii magister in Villoisoni Diatriba, p. 39 : Πρώην μὲν οὖν Ἀριστείδης οὐκ εἰωθότας φόρους τάξας τοῖς Ἕλλησι, ὥς τι μέγα κατορθώσας, τὴν τοῦ δικαίου προσηγορίαν ἠνέγκατο, καὶ τὸν Ἀριστείδην τις εἰπὼν πάντως προσετίθει τὸν δίκαιον. Gregorius Naz., t. 2, p. 209 D : Τάξας δὲ τοῖς Ἕλλησι τοὺς φόρους ποτὲ Ὁ Λυσιμάχου κτλ. Diogenes epistola in Notit. Mann., t. 10, p. 250 : Ἀριστείδου γέ τοί που τοὺς φόρους τάξαντος οὐδεὶς κατεφρόνει πένητος ὄντος. Ibi nota editoris.

(2) B, ἐπεδέξατο..

(3) Corn. Nepos Arist. 1 : « adeo excellebat Aristides abstinentia, ut unus post hominum memoriam, quod quidem nos audierimus, cognomine justus sit appellatus ». Gregorius Nazianzenus de eodem, loco eodem : Δίκαιος ὤν τε καὶ καλούμενος εἰς ἔτι.

(4) B, περιβάλλουσαν. Unice verum est ἐπιβάλλουσαν. Diodorus Sic. 35, t. 10, p. 95 : οὐδὲν πλέον ἀπεφέρετο τῆς τοῖς ἰδιώταις ἐπιβαλλούσης μοίρας. Idem, 1, 1 : τὸ ἐπιβάλλον ἑκάστοις ἐκ τῆς πεπρωμένης μερίζουσα. Ibi Wessel. Notissima verba apud Lucam 15, 12, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, bene illustrat Raphelius.

(5) Edit. sine τῶν. Conf. n. ad Anecd. Gr., t. 4, p. 249.

(6) AB et Ed., διασκέψηται.

(7) AB, Ed., ἐλαυνομένων. Scripsi ἐλαυνομένης, quod et suadebant Hertogii latina : « profligata igitur per te in Arabum terra tributorum inæqualitate ».

(8) B, ἀφορμήν.

αἱ γὰρ ἐλπίδες οὐ παραγίνονται πράγμασιν ἐναργῶς ἀμηχάνοις. Ἀττικὸς μὲν οὖν ῥήτωρ μέγα φρονείτω, ὅτι, νόμῳ τὰς λειτουργίας πρὸς τὴν ἑκάστου μετρήσας οὐσίαν, πολλὰ τῶν εὐπόρων αὐτῷ δώσειν ὑποσχομένων μὴ τιθέντι τὸν νόμον, ὀπίσω τοῦ δικαίου τὰς ἐκείνων ἔθετο δωρεάς (1)· οὗτος μὲν ἐπὶ τούτοις μέγα φρονείτω· σοὶ δὲ μείζων ἐκ τῆς Ἀῤῥαβίων ἔρχεται κόσμος. Τὸ γὰρ μὴ δοῦναι τολμῆσαι τοῦ δεδωκότας (2) ἀποτυχεῖν τιμιώτερον· νίκη γὰρ (3) ἀθλητοῦ λαμπροτέρα, πρὸς ὃν οὐδεὶς ἀποδύεται.

Ἀλλὰ ταῦτα μὲν αἱ φῆμαί σου (4) πανταχοῦ φοιτῶσαι βοῶσιν· ἐφώρασα δέ σου κεχρυμμένην εὐεργεσίαν, ᾗ τοῖς ἀποροῦσιν ἐπικουφίζεις τὴν ἔνδειαν. Καὶ λυπήσω μὲν ἴσως ἄγων εἰς φῶς ἣν κρύπτειν ἐθέλεις· πλὴν τοῦτό με (5) μᾶλλον ἐρεθίζει πρὸς ἔπαινον, ὅτι μετρίῳ φρονήματι βούλει καλύπτειν.

Ἐν τόπῳ τοίνυν ἔνθα τῶν ἱερέων τὸν κορυφαῖον ἱδρύσθαι νομίζεται, πλήθους χρημάτων ἀγροὺς ὠνησάμενος τοῖς πένησι γεωργεῖς (6), καί μοι δοκεῖς, φιλανθρωπίᾳ μείζονι χρώμενος, ἀγροὺς ποιῆσαι τὰ χρήματα, ὅπως ἀθάνατος εἴη τοῖς πενομένοις ἡ χορηγία, διηνεκεῖ προσόδῳ φυλαττομένη.

Μέλλων δὲ λήγειν ἤδη τῆς εὐφημίας, τὰς ἄλλας ὑμῶν φαντάζομαι πράξεις προσμειδιώσας τῷ λόγῳ. Ταῦτα τοίνυν, αὐτὰς συγγνώμην αἰτήσας, βραχέα προσθεὶς, καταβήσομαι.

Ἤδη τινὲς (7) δεινοὶ τὰ πολέμια καὶ στρατηγεῖν ἀγαθοὶ, σκαιοί πως εἰσὶ τά γε ἄλλα καὶ δύσκολοι (8). Σὺ δὲ καὶ τὰ (9) τῶν πολέμων πρυτα-

(1) Ἀττικὸς ῥήτωρ est Demosthenes, cujus respicitur oratio De Cor., § 84 : πόσα χρήματα τοὺς ἡγεμόνας τῶν συμμοριῶν ἢ τοὺς δευτέρους καὶ τρίτους οἴεσθέ μοι διδόναι, ὥστε μάλιστα μὲν μὴ θεῖναι τὸν νόμον τοῦτον, εἰ δὲ μὴ, καταβαλόντα ἐᾶν ἐν ὑπωμοσίᾳ; τοσαῦτα, ὦ ἄ. Ἀθ., ὅσα ἀποκνήσαιμ' ἂν ἐγὼ πρὸς ὑμᾶς εἰπεῖν.

(2) A, τοῦ δεδωκότος. B et Ed., τοῦ δεδωκότας.

(3) B, τιμιώτερον οικη γάρ. Omisso posteriore ν, ίκη abiit in οικη. Mendum fuisse videtur librarii, qui scripserit ex auditu. Verbum ἀποδύεται, illustratum est p. 8, n. 1.

(4) Edit., φῆμαι σε. AB, φῆμαι σου.

(5) B, τοῦτο μέν.

(6) B et Ed., τοῖς πένησι γεωργοῖς. Hertogius : « Pro pauperibus agricolis emisti ». A, γεωργεῖς. Hoc prætuli; videlicet, « pauperibus colis », coli curas. Vide n. ad Anecd. Gr., t. 2, p. 362. Quæ sequuntur καί μοι δοκεῖς monstrant et verbum præcessisse. Nec causa fuit cur pauperes agricolæ præcipue eligerentur.

(7) A, τινός.

(8) Ed., ἄλλα δύσκολοι. Monebam ad Anecd. Gr., t. 2, p. 314.

(9) B, οὐδὲ καὶ τά.

νεύεις ἐπιμεγῶς καὶ πρὸς εὐθυμίας (1) ἐπαφρόδιτος εἶ δημοτελεῖς. Τί δ' ἄν τις οὐ θαυμάσειέ σου τῶν γνωρισμάτων; οὐ πόνων τινὶ συμφερόντων ἔχεις ἀπλήστως; οὐ τὴν ἡμέραν καὶ νύκτα πρὸς ἔργα καὶ βουλὰς ἐμετρήσω, τῇ μὲν τὸ πρακτέον σκοπῶν, τῇ δὲ τὰ δόξαντα νύκτωρ ἄγων εἰς πέρας; οὐ δεξιά σοι πρόσεστι φύσις καὶ χρηστὰ νουθετοῦσιν εὔκολος πειθαρχεῖν; ἐκεῖθεν ἀμέλει σύμβουλον ἔχεις ἄνδρα παντοδαπῆς σοφίας μεστὸν, ὃν εἶπεν ἂν εἰκότως ἡ ποίησις λιγὺν Ἀῤῥαβίων ἀγορητήν (2).

Ἀλλὰ γὰρ τῶν παρόντων ἐνίους αἰσθάνομαι πυνθανομένους (3) ἀλλήλων· « Πότε τοῦ στρατηγοῦντος ἀνυμνήσει (4) τὸν ἀδελφόν; Ἤδη τοῦ « λόγου τὸ πέρας δρᾶται. Ἐπιλέλησται παρόντος, ὡς ἔοικεν, ὃν καὶ « ἀπόντα μνήμης ἐπαινουμένης τυχεῖν ἔδει, ὡς ἀγαθός ἐστι μισθοδότης « τῶν ὑπ' αὐτῷ τεταγμένων, ὡς εὐβουλία (5) τῶν ἔργων αὐτοῦ προηγεῖ« ται, ὡς ἄρχειν πολλάκις λαχὼν οὐδὲ συκοφαντίᾳ (6) ἔδωκε λαβὴν οὐ« δαμοῦ ». Τοιαῦτα πρὸς ἀλλήλους οἷον εἰκὸς ἀποφθέγγονται. Ἐμοὶ δὲ λίαν ἄτοπον ἔδοξεν ἀνδρὸς ἀρετὰς, ὅλην πληρούσας ὑπόθεσιν (7), ἐγκωμίου πάρεργον εἶναι. Ὅθεν, τὰ τοῦδε σιγῇ παραδοὺς, πάλιν ἐπὶ σὲ μεταβήσομαι.

Σὺ τὰ δαπάνης δεόμενα μόνος πληροῖς· σὺ τῶν πολεμίων τὰ λάφυρα μόνος οὐ κέκτησαι, πάντα δὲ διανέμεις τοῖς ἀρχομένοις, οὐδὲν οἴκαδε φέρων· τροπαίου γὰρ ἆθλον οὐ χρυσίον, ἀλλὰ τῆς νίκης ὁρίζῃ τὴν εὔκλειαν. Αὕτη παρὰ τοῖς Ἕλλησιν ἡ γνώμη πάλαι κρατοῦσα πολὺν ἔδωκε φόβον τοῖς Πέρσαις (8). Ἤγετο μὲν τὰ Ὀλύμπια· ἤρετο δέ τις τῶν Περσων ὅ τι τυγχάνοιεν πράττοντες Ἕλληνες· ἤκουσε ταύτην (9) αὐτοὺς τελεῖν τὴν πανήγυριν ἥνπερ ἐτέλουν. Τί δὲ τῆς νίκης εἴη τὸ

(1) AB, εὐθυμίας. Ed., εὐθυμίαν. Statim B, εὐ τόνων.

(2) A, σύμβολον... ἀρράβων. Ed. ἀγορευτήν. AB, ἀγορητήν. Innuitur ἡ ποίησις Homerica Il. 4, 293 : Ἔνθ' ὅγε Νέστορ' ἔτετμε, λιγὺν Πυλίων ἀγορητήν.

(3) Ed., πυνθαμένους. B, πυνθανομίους. A, πυνθανομένους.

(4) Ed., ἀνυμνήσω. A, ἀνυμνήσει. B, ἀνυμνήσοι. Statim Ed., ἤδη λόγου.

(5) Ed, ἐπαινομένης... εὐβουλίας. B, ἐπαινουμένης... εὐβουλίας. A, ἐπαινουμ... εὐβουλία.

(6) AB et Ed., συκοφαντίας. Scripsi συκοφαντίᾳ. Forsan, συκοφαντίαις.

(7) Ed., πληρώσας ἀπόθεσιν. B, πληρώσας ὑπόθ. A, πληρούσας ὑπόθ.

(8) AB, ἐπὶ τοῖς Πέρσαις.

(9) B, ἤκουσαν ταῦτα. Narratio petita est ex Herodoto, 8, 26.

ἆθλον πάλιν ἐπύθετο. Ὡς δὲ χρυσίῳ μὲν οὐδαμῶς, κοτίνῳ δὲ τιμᾶσθαι τοὺς νικῶντας ἀκήκοε, δεινὸν ἀνοιμώξας καὶ πρὸς τὸν βασιλέως σατράπην ἰδών, « Οὐ καλῶς » ἔφη, « Μαρδόνιε, τούτους ἡμῖν προυξένησας « ἀντιπάλους, οἷς οὐ περὶ χρημάτων, ἀλλ' ἀρετῆς ἀγωνίσασθαι πά« τριον ».

Εἰ μὲν οὖν ἄχρι Παλαιστίνης (¹) τὰ τοῦ στρατηγοῦντος εἱστήκει πλεονεκτήματα, ἑτέρωσε δέ που τῆς γῆς οὐκ ἐφοίτα, ἴσως ἂν ὑποψία τις ἦν (²) τοῖς οὐ λίαν αὐτὸν βουλομένοις θαυμάζειν ὡς ἐμπειρίᾳ πραγμάτων ἐπιχωρίων τοὺς ἄλλους ἀπέκρυψε στρατηγούς, οὐ πλείονι συνέσει καὶ προθυμίᾳ καὶ τῷ βέλτιον ἄρχειν εἰδέναι· ἐπεὶ δὲ σαυτῷ παραπλήσιος ὤφθης, ἀπεῖπεν ἡ λοιδορία ζητοῦσα προφάσεις. Οὐχ οὕτω Λύσανδρος ἐκεῖνος ὁ Λάκων· ἀλλ' οἴκοι μὲν ἦν ἀνὴρ ἀγαθὸς καὶ αὐτὸς σπαρτιάτης (³), Ἰωνικοῖς δὲ πράγμασιν ἐγχειρῶν οὐδαμῶς ἐλακώνιζεν, οὐδὲ διετέλει βιοτεύων ἐν τῷ καθεστῶτι τρόπῳ (⁴)· ὥστε καὶ ἐπέσκωψέ τις ἄγαν ἀστείως, ὅτι τῆς Σπάρτης οἱ λέοντες ἔξω τῆς ἐνεγκούσης ἀλώπεκες γίνονται (⁵). Ἀλλὰ καὶ Παυσανίας ἕτερος Λάκων οἴκοθεν ἐξιὼν εἰς Μηδικὴν πολυτέλειαν καὶ τρυφὴν ἐξ εὐκοσμίας Λακωνικῆς ἀπηνέχθη (⁶), καὶ τὴν ἐπιχώριον ἐσθῆτα ῥίψας, τῇ βαρβάρων ἐχρῆτο, καὶ τυραννίδος μίμησις ἦν ἡ στρατηγία.

Τὰ μὲν οὖν κατὰ Λύσανδρον καὶ Παυσανίαν τοὺς Λακεδαιμονίων (⁷)

(¹) Ed., μέχρι Παλ.

(²) B, ἑτέρης δήπου. B et Ed. sine, ἴσως ἄν. Hunc locum correxi olim in Anecd. Gr., t. 2, p. 303, verbum ἀποκρύπτω illustrans. Cf. et supra, p. 3, n. 3.

(³) Ed., sine ἀνήρ, quod est in AB, et fuit Hertogio lectum, ut videtur. Forsan junctim scribendum : αὐτοσπαρτιάτης. Menippi edidi epistolam in Notit. Mann., t. 11, 2, p. 53, inscriptam : Μένιππος αὐτοπυρήταις· vernacule : « aux vrais portebesaces ». Harpocrationi αὐτολήκυθοι sunt πένητες καὶ μηδὲν ἄλλο κεκτημένοι ἢ ληκύθους. Ibi sunt et interpretationes aliæ. Simonidi turpis mulier ἄπυγος αὐτόκωλος esse dicitur, vertente Grotio, « inclunis, crus tota ». Ad Lucianeum αὐτοβορέας, Tim. 54, vide interpretes, collato Berglero ad Alciphr. 3, 43.

(⁴) De Lysandro quem corrupit ionica mollities vide AElian. H. V. 13, 8.— Ed. et B, βιοτεύων. A, βιωτεύων.

(⁵) Lamiæ meretrici tribuit id dictum AElianus V. H. 13, 9; ubi Perizon. Addesis de antithesi leonis ac vulpis Meursium Miscell. Lacon. 3, c. 2; et Fixium Thes. Gr. V. ἀλώπηξ.

(⁶) A sine οἴκοθεν. Ed., ἀπενέχθη, de quo monui ad Anecd. Gr. t. 3, p. 476. Athenæus 12, 61 : Παυσανίαν δὲ καὶ Λύσανδρον ἐπὶ τρυφῇ διαβοήτους γενέσθαι σχεδὸν πάντες ἱστοροῦσι · κτλ.

(⁷) A, Λακεδαιμόνων hic et infra. B et Ed. bis Λακεδαιμονίων.

ἡγεμόνας τοιαῦτα, τὰ μὲν γέλωτος ἄξια, τὰ δὲ κατηγορίας ὑπεύθυνα καὶ ψόγου καὶ σκώμματος (¹).

Ἐπεὶ δὲ Λακεδαιμονίων ἐμνήσθην, νόμος ἐστὶν ἐκείνοις ἀρχαῖος τὸν ἤδη πολλαῖς ἁβρυνόμενον ἀριστείαις, κἂν μέγα τι διαπράξηται, βραχέος ἐπαίνου τυχεῖν, ὅτι, φησὶν ὁ νόμος, σύνηθες τούτῳ πράττειν μεγάλα. Ἕπομαι (²) τῷ νόμῳ τῆς Σπάρτης· καταλύω τὸν λόγον. Οὐ δεῖται μήκους εὐφημίας ὁ στρατηγὸς μεγάλα ποιεῖν εἰωθώς.

(¹) B, σκωμμάτων.

(²) Ed., ἐπὶ τὸν ἤδη π. ἁβρ. ἀριστείαις βραχυλογεῖν, κἂν μ. τι διαπράξηται. Ἕπομαι... Codices sum sequutus, quorum et scripturam ante oculos habuit Hertogius, ut videatur casu corruptus esse textus Fabricianæ. Lacunam impleveram ad Anecd. Gr. t. 4, p. 346. Conferenda Choricii sententia infra, p. 40 : κηρυττομένων γὰρ ἔργων περιττόν ἐστι μακρολογία.

ΧΟΡΙΚΙΟΥ

ΣΟΦΙΣΤΟΥ ΓΑΖΗΣ, ΜΑΘΗΤΟΥ ΠΡΟΚΟΠΙΟΥ

ΕΠΙΤΑΦΙΟΣ ΕΠΙ ΜΑΡΙΑ

ΜΗΤΡΙ ΜΑΡΚΙΑΝΟΥ ΓΑΖΗΣ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙ ΑΝΑΣΤΑΣΙΟΥ ΕΛΕΥΘΕΡΟΥΠΟΛΕΩΣ ΕΠΙΣΚΟΠΟΥ (1).

Οἱ μὲν πολλοὶ τῶν εἰωθότων τοιαύτας μελετᾷν ὑποθέσεις ἐλεεινοὺς ᾄδουσι λόγους, καὶ τοῖς ὀδυρμοῖς οἴονται τῶν ἀκουόντων εὐδοκιμεῖν· ἐμοὶ δὲ τοῦτον ἀσκῆσαι τὸν τύπον (2) οὔτε τὸ σχῆμα τῆς οἰχομένης ἐπιτρέπει, πάρεργον ἀεὶ θεμένης τὸν βίον, οὔτε τὸ γῆρας, οὐδὲ (3) τὸ πρὸ τέκνων ἀπογενέσθαι μητέρα (4), κοινὴν γονέων εὐχήν (5).

Εἰ μὲν ἔλειπέ τι πρὸς κόσμον ἢ πρὸς εὐδαιμονίαν ἐκείνῃ, ἴσως ἂν ἐδεῖτο πλείονος χρόνου τὸ λεῖπον ἀναπληροῦντος· ἐπεὶ δὲ πρὸς ἄκρον μὲν ἀρετῆς, πρὸς ἄκρον δὲ τύχης ἀνέβη, καὶ τοιούτων ἔτυχεν ἀμοιβῶν οἵας οἱ ποιηταί φασι (6) τοῖς ὁσίοις ὑπάρχειν, παίδων καταλείψασα παῖ-

(1) Exstat hæc oratio in Villoisoni Diatriba, p. 24, in usum editoris descripta a Joanne *Lefebure de Villebrune* e codice Bibliothecæ Regiæ Parisinæ 2967, sed parum diligenter. Qui codex mihi in notis designabitur litera A. Lemma sumsi ex catalogo Yriartæ, p. 461, qui ex codice Matritensi primos orationis versus et ultimos exhibuit. Codex Paris. incipit in nomine ἐπιτάφιος. Et sic alius codex Matritensis Catalogi, p. 395, ἐπιτάφιος ἐπὶ Μαρίᾳ μητρὶ Μαρκιανοῦ Γάζης ἐπισκόπου. Urbs Palæstinæ Ἐλευθερούπολις alias dicta fuit Ἐλευθερόπολις, et Villoison. inaccurate edidit, a codice discedens, Ἐλευθεροπόλεως. Inveni in codice 39, f. 164 hancce notam : Χεβρὼν, ἡ Ἐλευθερόπολις νυνί.

(2) Sic codex. Potest cogitari de rescribendo τόπον.

(3) Ed., οὐδὲ τὸ γ. οὐδέ. A, οὔτε τὸ γ. οὐδέ.

(4) Si quidem οὕτως ἥδιστον ἀπελθεῖν ἑκάστῃ γυναικὶ σωφρονούσῃ, quod ipsa dicet p. 45.

(5) Ed., ἀρχήν. A, εὐχήν.

(6) Orator christianus non debe-

δας, ὥραν ἦγε (¹) θανάτου, ταλαιπώρου τε πολιᾶς αὐτὴν ἐλευθεροῦντος καὶ πολλῆς, ὡς εἰκὸς, ἀγωνίας. Ταράττειν γὰρ αἱ μεγάλαι πεφύκασιν εὐπραγίαι, κἂν πρὸς τὴν ἀξίαν συμβαίνωσι τοῖς κεκτημένοις. Ὥστε νοσοῦσαν ἐκείνην οὐδὲν εἰσῄει δεινὸν, οὐδὲ λογισμὸς ἔστρεφεν (²) αὐτῇ τὴν ψυχὴν, μή τινά που λελύπηκεν, οὐδὲ ὕπνον, ὥσπερ οἱ παῖδες, πυκνῶς ἐπήδα νυττομένη τῷ συνειδότι· ἀλλὰ γλυκεῖα παρῆν ἀπὸ τῶν ἔργων ἐλπὶς, καὶ ἡγεμὼν ἀγαθὴ πρὸς τὴν ὡρισμένην πᾶσιν ἀποδημίαν (³). Μετὰ ταύτης ἐτελεύτα τῆς προσδοκίας πανταχόθεν ὀφειλομένης.

Ἕκαστον μὲν οὖν αὐτῆς πλεονέκτημα πρὸς ἀφορμὴν ἐπαίνου τελεῖ, μάλιστα δὲ τὸ μὴ χαίρειν ἐπαίνῳ· ἐβούλετο γὰρ οὐ δοκεῖν, ἀλλ' εἶναι χρηστή (⁴). Λέγεται τοίνυν κόρην μὲν οὖσαν, ἀνδρὸς ἄπειρον ἔτι, μάλα

bat poetarum meminisse, sed Patrum potius ecclesiæ, vel Scripturarum. At is est Choricii mos, ut quod sit decens non curet. Vide n. 9, p. 42.

(¹) Locutio non frequens ὥραν ἦγε. Conferatur cum verbis Philostrati V. A. 2, 14, p. 65 de leænis parturientibus : τῆς δὲ γαστρὸς ὥραν ἀγούσης. Cuncta Mariæ erant ad mortem tempestiva. Choricius Tyrannicida p. 53, 4 : μειράκιον ἦν αὐτό που τῆς ἡλικίας ἄγον τὸ ἄνθος.

(²) « Male in cod. ἔτρεφεν. Lege ἔστρεφεν, ut apud Platonem De Rep. 4, p. 330 Serr., quem hic imitando expressit Noster ». VILL. Mendoso utebatur apographo. Est ἔστρεφεν in cod. Idem mendum notabitur infra non semel. Plutarchus Alcibiade c. 6 meminit Socratis λόγων, αὐτοῦ ἁπτομένων καὶ τὴν καρδίαν στρεφόντων καὶ δάκρυα ἐκχεόντων. Ibi Bæhr.

(³) Ed. παῖδες, ἐπηδανυττομένη. Exhibui quod nitide habet codex. Vide Bast. Epist. Crit. p. 65. Ad ὕπνον subaudiatur καθ'; ni placeat quod proposui ad Anecd. Gr. t. 2, p. 290, legere ἐξ ὕπνων. Villoisonus deceptus apographo Villebruniano : « Lege, ἐγειρομένη καὶ διανυττομένη. Plato loco citato [p. 12 Mass.] : εὖ γὰρ ἴσθι... ὅτι, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει. Οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν ᾅδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, καταγελώμενοι τέως, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν μὴ ἀληθεῖς ὦσι... Ἀναλογίζεται ἤδη καὶ σκοπεῖ εἴ τινά τι ἠδίκηκεν. Ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος, δειμαίνει, καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος. Quæ verba a Choricio descripta facile agnoscuntur ». Inest remota Pindarici loci recordatio de ἐλπίδι γηροτρόφῳ. Vide Pindari Fragm. 233, cum nota Bœckhii eruditissima, qui ne Choricium quidem neglexit.

(⁴) « Respexit celeberrimum illum Æschyli de Amphiarao versum, deinde ab Atheniensibus de Aristide usurpatum ». VILL. Æschyli versus est Theb. 378 : Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει. Antithesin solennem τοῦ δοκεῖν καὶ τοῦ εἶναι multis illustravi exemplis ad Æschylum. Ibi videnda et nota Blomfieldi, qui Choricium etiam laudavit. Socrates Epist. 6, p. 10 : εὔηθες, ἀφέντας τὸ ὂν ἀγαθὸν, τὸ δο-

κοσμίως βιῶναι, βραχέα τε φθεγγομένην, καὶ ταῦτα βλέπουσαν κάτω καὶ μετὰ φωνῆς ἠρεμαίας, ἐρυθήματος αὐτῇ τῶν ῥημάτων προηγουμένου (¹)· οὕτω τὴν Σοφοκλέους ἐγίνωσκε συμβουλὴν, ἐκ Σοφοκλέους μὲν οὐδαμῶς, ἐκ δὲ τῆς οἰκείας φύσεως ταύτην μαθοῦσα· πασαῖς μὲν γυναιξὶ, παρθένοις δὲ μάλιστα πρέπειν τὴν σιωπήν (²)· ἐπιβᾶσαν δὲ παστάδος, οἰκονόμον τε χρηστὴν πεφυκέναι καὶ φειδωλὸν ἀγαθὴν, ἐκ παντὸς θεραπεύουσαν τρόπου τὸν ἄνδρα, θεραπείαις ἡδόμενον ὅσαι τὴν γυναικείαν ἐμφαίνουσιν (³) ἀρετὴν, ὥστε τῶν γυναικῶν τὰς μὲν πειρωμένας εἰς ἔπαινον, τὰς δὲ πυνθανομένας εἰς ἔρωτα πείρας ἐκίνει.

Τίνες οὖν ἐκ τῶν τοιούτων πράξεων ἀμοιβαί; παῖδες πολλοὶ κἀγαθοὶ, καὶ δεικνύντες ἐν ἑαυτοῖς τὴν τεκοῦσαν (⁴)· ὅσοι μὲν ἄῤῥενες, τοσαῦται καὶ θυγατέρες, ὀκτὼ δὲ πάντες τὸν ἀριθμόν. Ὥσπερ οὖν, εἰ τῶν παίδων ἐγκώμιον ἔγραφον, ἔδει κατὰ νόμον ῥητορικὸν ἐκ τῶν γονέων αὐτοὺς ὡραΐσαι, οὕτως οἶμαι προσήκειν ἐκ τοῦ τόκου (⁵) τὴν μητέρα σεμνῦναι· καὶ δικαιότερος ἐπαινέτης ὁ τὴν εὐκοσμίαν τῶν παίδων εἰς τοὺς

κοῦν μεταδιώκειν. Codicem tractavi, qui male ὂν omittit. Democrates, p. 630 : πολλοὶ δοκέοντες φίλοι οὐκ εἰσὶ, καὶ οὐ δοκέοντες εἰσίν. Plato Rep. 2, p. 94 Mass. : ἐσχάτη γὰρ ἀδικία δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

(¹) Sic Melissarium pingebat Aristænetus, 1, 19 : πάρεστιν θαυμάζειν ἐκείνης βλέμμα προσηνὲς..., βραχυλογίαν ἐν ἠρεμαίᾳ φωνῇ. Seneca Ep. 11 : « hoc indicio imitantur verecundiam : dejiciunt vultum, verba submittunt, figunt in terram oculos et deprimunt ». Chæreas pseudoeunuchus in Terentii fabula : « annuo, terram intuens modeste ». Vide notas ad Aristæn., p. 307.

(²) A sic. Ed. τοῦ Σ. ἐγ. τὴν συμβ. Sophocles Aj. 291 : Γυναὶ, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Ibi videsis quæ notavi, præcipue quæ adscripsi ad Manassem fragm. 6, 2, p. 424, Ὦ γύναι, κόσμος γυναιξὶ καὶ μᾶλλον ταῖς παρθένοις Μὴ γλωσσαλγεῖν..., et ad Anecd. Gr. t. 1, p. 154. Villoisonus : « Eruditi cujusdam albo, ut vocant, inscripsit celeberrima illa Anna Daceria Sophoclis verba de [imo *in*] Acrisio dicentis : [Ἄλλως τε καὶ κόρη τε κἀργεία γένος,] Αἷς κόσμος ἡ σιγή τε καὶ τὰ παῦρ' ἔπη. Euripides etiam in Heracl. v. 477 : Γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν Κάλλιστον, εἴσω δ' ἥσυχον μένειν δόμων ». Daceriæ nomine excitatam in memoriam redeunt versiculi, quos olim reperire memini scriptos in pagina pura exemplaris Apologiæ Homeri Boivinianæ : « La Motte et la Dacier, avec un zèle égal, se battent pour Homère, et n'y gagneront rien : L'une l'entend trop bien pour en dire du mal ; l'autre l'entend trop mal pour en dire du bien ». Addebat anonymus, notato etiam die decimo jan. a. 1717, se id epigramma vidisse scipionibus exaratum in œci janua quo Academiæ Gallicæ XLviri convenire solebant.

(³) Forsan ἡδομένην. Ed. et A, γυναικεῖαν. Ed. ἐκφαίνουσιν.

(⁴) A, τεκούσαν. Ed., τέκουσαν.

(⁵) A et Ed., τόπου. Recepi τόκου, conjecturam Villoisoni, « ex liberis ». Addebat male : « vel ἐκ τού-

τεκόντας ἀνάγων τοῦ καλλωπίζοντος ἀρεταῖς πατέρων τοὺς παῖδας. Τέκνων μὲν γὰρ ἀγαθῶν αἴτιοι πολλάκις γονεῖς, παιδεύσει τε καὶ τροφῇ πρὸς τὰ βελτίω ῥυθμίζοντες· οὐ μὴν πέφυκε (¹) τέκνα γονέας παιδαγωγεῖν. Οὔκουν ἔξω μέλους (²), φασὶν, ἑκατέραν ἐκείνης ἐξετάσαι γονήν· φανήσονται γὰρ οἱ μὲν τὴν ἀνδρῶν, αἱ δὲ τὴν γυναικῶν (³) ὑπερβαίνουσαι φύσιν.

Οἱ μὲν οὖν τῶν ἀῤῥένων, ἑκάτερος τῆς ἡλικίας ἔχοντες ἄκρον, ἴσοι τε ταῖς πράξεσιν ὄντες, ἴσοι δικαίως εἰσὶ καὶ ταῖς ἀμοιβαῖς, ἄμφω τῷ καλλίστῳ τῶν ὄντων, ἱερωσύνῃ, τετιμημένοι, τῶν μὲν πρὸ τοῦ σχήματος ἔργων ταύτην προξενησάντων αὐτοῖς τὴν τιμὴν, τῶν δὲ μετ' αὐτὴν, ἐπεὶ μεῖζον οὐκ ἦν, ἐπὶ τοῖς αὐτοῖς (⁴) φυλαττόντων.

Τοιαύτη μὲν ἡ μία συζυγία τῶν παίδων· ἡ δὲ λοιπὴ ξυνωρὶς, ὁ μὲν ἐν ἐξουσίᾳ πλεονεξίας δικαιοσύνην ἀσκεῖ, πρᾶγμα παρὰ Πλάτωνι κριτῇ χαλεπόν (⁵)· ὁ δὲ, καλῶς (⁶) ἐν λόγοις ἅμα καὶ νόμοις τραφεὶς, τῆς γλώττης αὐτῷ τὴν ἐφ' ἑκάτερα χορηγούσης ὁδὸν, τὴν ὀρθὴν (⁷) μόνον οἶδε βαδίζειν.

Περὶ μὲν οὖν τῶν ἀῤῥένων τοσαῦτα λεκτέον· κηρυττομένων γὰρ ἔργων, περιττόν ἐστι μακρολογία, καὶ τὸ τοῦ λόγου μῆκος εἰς ἀδοξίαν τείνει τῶν ἀρετῶν, ὡς οὐχ ἱκανὸν αὐτὰς ἀρκούντως μηνῦσαι. Τὸ δὲ θῆλυ τῶν τέκνων, αἱ μὲν τὴν αὐτὴν εὐπραγμοσύνην (⁸) εἵλοντο τῇ μη-

του τοῦ τόπου, vel ἐκ τοῦ τῶν τέκνων τόπου ».

(¹) Ed., οὐ μὲν πέφυκε. « Sic et in Macario [Chrysocephala qui Rhodoniæ suæ sententias inseruit e Choricio collectas]. Male in cod Reg. πέφηκε, et τὴν μητέρα σεμνῆναι pro σεμνῦναι, et paullo supra γιναιξὶ pro γυνιξί ». VILL. Scripsi μὴν e codice, quam lectionem olim memoravi ad Theoph. Simoc., p. 292. Scripsi et σεμνῦναι.

(²) Ed., βέλους. Codex nitidissime μέλους, quod tacite mutavit Villebrunius, memor, ut videtur quidem, proverbii notissimi ἔξω βέλους, de quo monui ad Anecd. Nova, p. 22. Sed est proverbium etiam παρὰ μέλος, cujus non rara exempla. Rarior est forma, ἔξω μέλους, id est inconcinne.

(³) Ed., φαινήσονται γὰρ οἱ μὲν τῶν ἀ. αἱ δὲ τῶν γυν. A, φανήσ. γ. οἱ μ. τὴν ἀ. αἱ δὲ τῶν γυν. Scripsi bis τήν. Forsan, τὴν τῶν ἀ., αἱ δὲ τῶν γυν. Statim Ed., ἑκάτερον. Scripsi ἑκάτερος. A, ἑκατέρων et εἴσοι, mox ἴσοι. Hoc passim, non deinceps notandum. Cf. p. 18, n. 4.

(⁴) « An μείζων »? VILL. Servetur μεῖζον, scilicet ἄλλο τι. Velim ἐπὶ τῆς αὐτῆς, scilicet τιμῆς, αὐτοὺς φυλ.

(⁵) Plato Rep. 2, p. 102 Mass. : πάντες γὰρ ἐξ ἑνὸς στόματος ὑμνοῦσιν, ὡς καλὸν μὲν ἡ σωφροσύνη τε καὶ δικαιοσύνη, χαλεπὸν μέντοι καὶ ἐπίπονον.

(⁶) A et Ed., καλός.

(⁷) Conf. p. 10, 4.

(⁸) Ed., ἀπραγμοσύνην, proponente Villoisono εὐπραγμ. quod habet codex, aut habere videtur,

τρί (¹)· πᾶσαι μὲν τῆς τεκούσης μιμοῦνται τὸν βίον, πλὴν ὅσον ἡ μὲν ἐν ἄστει τὴν μίμησιν, αἱ δὲ τῆς πόλεως ἔξω τὸν ζῆλον ποιοῦνται (²).

Θαυμάζεις τὴν τῆς τύχης περιουσίαν (³); ἐγὼ δὲ τὸ μηδὲν κοῦφον γυναῖκα παθεῖν, εὐπαιδίας ἅμα καὶ πολυπαιδίας τυχοῦσαν· μᾶλλον δὲ τῶν εἰρημένων οὐδέτερον θαυμαστὸν, οὔτε τὸ πρὸς ἀξίαν εὖ πράττειν, οὔτε τὸ μέτρια φρονεῖν ἐν εὐτυχίαις εὐλόγοις. Οὔκουν ὠγκώθη (⁴) τῇ φορᾷ τῶν ἀγαθῶν, ἥτις οὐδὲ φωνὴν ἀφῆκέ ποτε σοβαρὰν, οἵαν ἱστορεῖται φθέγξασθαι γυνὴ πρεσβῦτις εὐδαίμων. Ἐπειδὴ γὰρ Ὀλύμπια ἦν (Ὀλυμπίων δὲ ἄρα τελουμένων νενόμισται (⁵) μὴ παρεῖναι γυναῖκα), παρελθοῦσά τις εἰς τὸ στάδιον γραῦς, ὡς ἐπέπληξέ τις ἑλλανοδίκης αὐτῇ, καί « Τί ταῦτα ποιεῖς, ὦ γύναι, παρὰ τὸν νόμον »; ἐπύθετο, ἡ δὲ λίαν φορτικῶς, « Τίνι γάρ » ἔφη, « μᾶλλον ὀφείλεται τῆς ἑορτῆς ἀπολαύειν (⁶), ἢ τῇ παῖδα μὲν ἀθλητὴν ἀγούσῃ πρὸς τὴν πανήγυριν, ἀδελφοὺς δὲ νενικηκότας Ὀλύμπια κεκτημένῃ (⁷) »; Τοιοῦτον οὐδὲν εἶπεν ἐκείνη· πᾶν μὲν οὖν τοὐναντίον (⁸), ὅσον ἐπὶ μεῖζον αὐτῇ τὰ τῆς εὐπραγίας ἐχώρει, τοσοῦτον ἐχάλα (⁹) τὸ φρόνημα· ὅπερ αὐτὴν καὶ βεβαίως εὐδαίμονα διετήρησε.

prima quidem syllaba ad formam literæ alpha accedente ; sed ita passim.

(¹) Ed., μητέρι. A, μρὶ. Villoisonus sic passim edidit, v. c. in lemmate μητέρι Μαρκιανοῦ, ubi cod. μρὶ. Vide n. ad Babr. F. 13, 8.

(²) « Male in cod. ποιοῦντα ». VILL.

(³) « Male in cod. περουσίαν ». VILL., qui edidit περιουσίαν.

(⁴) « Male in cod. ὀγκώθη ». VILL., qui edidit ὠγκώθη. Est ὠγκώθη in codice nitidissime exaratum. Mox πρεσβῦτις in A et Ed., ut etiam oratione extrema.

(⁵) Forsan νενόμιστο. Mox Ed. γυναῖκας. A, γυναῖκα. Historiola narratur non sine varietate ab Æliano H. V. 10, 1.

(⁶) « Male in cod. εὐπολαύειν ». VILL. Male modo edidit τίνι δ', quum sit τίνι γὰρ in A.

(⁷) Ed., κεκτημένῃ. « Male in cod. κατημένῃ [cod. κετημένῃ]. Hæc ἱστορία alieno loco posita in memoriam revocat hoc Photii de nostro Choricio judicium : ἔστι δὲ καὶ τῆς εὐσεβείας ἐραστὴς, τὰ χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν, οὐκ οἶδ' ὅπως, ὀλιγώρως καὶ λόγῳ σὺν οὐδένι μύθους καὶ ἱστορίας ἑλληνικὰς, ὧν οὐ δέον, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ γράμμασιν, ἔστιν ὅτε καὶ ἱερολογῶν ». VILL.

(⁸) « Sic idem Choricius in oratione funebri in Procopium Gazæum, apud Fabricium Bibl. Gr., t. 8, p. 849, [supra p. 9] postquam superbum Periclis dictum alieno sane loco retulit, eadem subjicit : τοιαύτην ἐκεῖνος ἀφῆκε φωνὴν οὐδαμοῦ · πᾶν μὲν οὖν τοὐναντίον ». VILL.

(⁹) « Restitui ἐχάλα, pro ἐχαία, quod in codice ». VILL. Est id ipsum ἐχάλα in codice, litera λ eo modo facta ut ad ἰῶτα prolixius

Ταῦτα τοὺς ἐν λαμπροῖς ἀξιώμασιν ἄλλους ἀλλαχόθεν ἐπὶ τὴν ταφὴν συνεκάλεσε, ταῦτα τῶν ἀστυγειτόνων ἐκίνησε τὰ τέλη, ταῦτα τὴν ἡμετέραν ἐκένωσε πόλιν πρὸς τὸ τῆς ἡσυχίας αὐτῆς ἐνδιαίτημα. Τοσούτων δὲ ὅμως εἰς τοῦτο συνιόντων οὐχ οἱ μὲν ἐπαινέται (¹) τῶν ἔργων, οἱ δὲ τῶν λεγομένων ἦσαν ἀκροαταὶ, ἀλλ' ἅπας ἤθελε τοὺς ἀκούοντας ἔχειν, ἵνα τὰς ἐκείνης ἀρετὰς διηγήσηται (²).

Τοιγαροῦν εἰωθὸς ὂν τοῖς εὐφημεῖν τινα βουλομένοις τὰς ἐκείνου περιεργάζεσθαι πράξεις (³), ἐναντίον ἐγὼ πέπονθα πάθος. Αἰσθόμενος γὰρ (⁴) τὰ περὶ ταύτης θρυλλούμενα μὴ χωρούσης μου τῆς διανοίας, ἐπιμελῶς μὲν ἐθέμην ἐκκλῖναι τοὺς ταῦτα διηγουμένους (⁵), ἡδέως ἐμαυτὸν ἀπατῶν τῷ δοκεῖν μηδὲν ἀγνοεῖν τῶν ἐκείνῃ προσόντων· οὐ μὴν οὔτε σιωπῶντας οὔτε ταυτὰ (⁶) λέγοντας ὑπῆρχεν εὑρεῖν.

Ποῦ τοίνυν τὴν τοιαύτην ψυχὴν εἰκάζειν χρὴ καταλύειν; ἢ δῆλον ὡς ἐν λειμῶνι τερπνῷ (⁷), ψυχαγωγίας γέμοντι καὶ ῥᾳστώνης, ἔνθα μετρίας τε πνεῖν αὔρας εἰκὸς, καὶ πηγὰς καθαρὰς καὶ διαφανῆ νάματα ῥεῖν (⁸), καὶ πᾶσαν ἁπλῶς ἡδονὴν, ὅση λειμώνων ἐστὶν εὐφροσύνη (⁹)·

accedat, quod solenne. Villebrunius alibi se melius gessit.

(¹) Ed., ἐπαινεταί. Et sic A, deleto accentu, qui prius fuit penultimæ impositus. Vide Arcad. p. 26, 15.

(²) A, διηγήσηται. Ed., διηγήσεται.

(³) De verbo περιεργάζεσθαι vide n. ad Anecd. Nova, p. 399. Scholiastes Nubium, 226 : περιεργάζομαι τὸν τοῦ ἡλίου δρόμον.

(⁴) Ed., sine γάρ.

(⁵) Ed., διηγημένους. A, διηγουμένους.

(⁶) « Male in cod. ταῦτα ». VILL., qui edidit ταὐτά. Est ταυτὰ in codice. Themistius Orat. 21, p. 296, 15 : τό γε ἀληθὲς οὐ ταύτῃ ἔχει. Sic edidit Dindorfius, e conjectura H. Stephani, pro vulgata lectione ταὐτά. Reperi nitide ταύτῃ in Ambrosiani apographo; quam scripturam alibi memorare memini, sed locum non teneo.

(⁷) In A syllaba η duplicem fert accentum, gravem et flexum, dubitante librario utrum ἢ an ῆ scribendum. A, περπνῶ.

(⁸) A, ῥέειν. Ambigebat librarius de scribendo ῥέειν vel ῥεῖν. Scripsi ῥεῖν ob præcedens πνεῖν, et sic est in edito.

(⁹) A et Ed., ἐστὶ σωφροσύνη. « Suspecta vox; an καλλόνη vel potius ἡδονή »? VILL. Hoc vix potest admitti, quum præcedat. Illud etiam pejus. Poterat cogitare melius de καλλοσύνη. Sed et melius conjecit Jacobs. ad Athen., p. 45, εὐφροσύνη, quod recepi. — « Recte Photius hoc de Nostro judicium tulit : ἔσθ' ὅτε εἰς ψυχρολογίαν ἐμπίπτει καὶ πρὸς τὸ ποιητικώτερον παρασύρεται. Hic enim non oratorem christianum, sed ethnicum poetam, Elysios Campos pindarico more describentem legere tibi videaris. Sic idem in oratione funebri in Procopium, p. 860 et 861 Bibliothecæ Gr. Fabricii : Κύρῳ φασὶ τῷ Καμβύσου [κτλ. supra, p. 22]. Cujus quidem κακοζηλίας aliud putidius

τά τε οὖν ἄλλα καλή (¹) γε ἡ καταγωγὴ, καὶ ὅτι πονηροῖς ἀοίκητον τὸ χωρίον. Οὕτως εἰς ἱερὸν ἐφοίτησε χῶρον. Ἡγοῦνται δὲ τῆς πορείας αἱ περὶ τὸν βίον αὐτῆς ἀρεταί. Καὶ δεικνῦσι μὲν ἐκείνῃ τὸν ἄνδρα, , δεικνῦσι (²) δὲ τοὺς γόνεις· ἄγουσι δὲ παρὰ χῶρον εὐσεϐῆ τῶν, ἵνα ῥύσωνται τὰς ψυχὰς, προδεδωκότων τὰ σώματα. Οἱ δὲ μάλα φιλοφρόνως αὐτὴν ὑποδέξονται, ἀντὶ τῆς περὶ αὐτοὺς θεραπείας, ἀντὶ τῆς (³) περὶ γονέας αἰδοῦς, ἀντὶ τῆς περὶ τέκνα παιδείας, ἀντὶ πολυτελοῦς χορηγίας ᾗ τὴν ἀπορίαν (⁴) ἐπεκούφιζε τοῖς δεομένοις. Πόσων οἴεσθε (⁵) θυγατέρας πρὸς γάμον ὡραίας ἐξέδωκεν, οἴκοθεν προῖκα προσθεῖσα; πόσους ἔθρεψε νέους ἐν ὀρφανίᾳ καταλειφθέντας (⁶); πόσαι γυναῖκες χηρεύουσαι τὰς ἐκείνης ὑμνοῦσι φιλοτιμίας (⁷); πόσαι παρὰ ταύτης ἐφοίτων ἐπιστολαὶ, ἄλλη πρὸς ἄλλον παῖδα, πᾶσαι πρὸς ἕνα γεγραμμέναι σκοπὸν, τὰς τῶν ἱκετευόντων δεήσεις εἰς ἔργον ἐλθεῖν (⁸); Καὶ πρὸς τοσούτους αὐτῇ τῆς φιλανθρωπίας μεριζομένης, εἴ τις τὴν μεγίστην ἐκείνης εὐεργεσίαν ἐπιθυμήσας μαθεῖν, εἰς ἕν τι τῶν χωρίων τοὺς εὖ παθόντας συναγαγὼν (⁹), ἕκαστον ἔροιτο τίνα διὰ πλείονος ἦγαγε μᾶλλον (¹⁰) εὐνοίας,

exemplum occurrit in oratione in Summum ducem ibid., p. 865 [supra, p. 27, n. 4] ». VILL.

(¹) « Male in cod. καλλη ». VILL., qui edidit καλή. Est in cod. καλή.

(²) A et Ed., δείκνυσι μ. ἐκείνη τ. ἄ. δείκνυσι. Quod caret sensu. Virtutes, quæ mox ducunt ἄγουσι, nunc monstrant illi, non δείκνυσι ἐκείνη, sed δεικνῦσι ἐκείνῃ. Mutavi accentum et in ἐκείνη subscripsi ἰῶτα, quod ubique librarius omisit.

(³) Editio sine τῆς.

(⁴) « Male εὐπορίαν in cod. ». VILL. Sed librarius α et ευ eodem ferme modo exarabat, de quo monebam p. 40. Similis fuit locus supra, p. 15, 7.

(⁵) Ed., οἴεσθε. A, οἴεσθαι.

(⁶) A et Ed., καταλιφθέντας. Frequens, ob pronunciationem similem, confusio vocalium ι et ει. Libanius Jac. Morellii, p. 252 : μὴ λαλείτω, φησὶ, μηδ' ἀκροαταὶ πάρεισι. Ibi editor : « f. πάρισι. » Id lectionis non potuit a viro eruditissimo proponi. Proposuisse opinor παρίωσι. Potest et παρῶσι scribi; sed, ob accentum corrupti vocabuli, placet magis παρίωσι.

(⁷) « Male in cod. φιλότιμίαις ». VILL., qui correxit. Terminatio αις nominis τύχαις Tzetzæ nocet Chil. 4, 726 : Κἂν γὰρ μὴ μεταπέσῃ τις ταῖς τύχαις παλιῤῥοίας, Ἀλλ' οὖν ὁ πανδοχεὺς αὐτὰ θάνατος πάντα φθείρει. Legendum, ταῖς τύχης παλιῤῥοίαις.

(⁸) Ed., σκοπόν; τὰς τῶν ἱκ. δεήσεις ἔργον διελθεῖν. Et adscripsit editor : « sic restitui pro ἐλθεῖν ». Male si quid video. Codex σκοπὸν, τὰς... ἔργον ἐλθεῖν. Ac verba τὰς... ἐλθεῖν, quid sit σκοπὸν explicant. Restituere videbar mihi et ego locum, addito εἰς.

(⁹) « Sic fere idem in oratione funebri in Procopium, p. 859, t. 8, Bibl. Gr. Fabricii [supra p. 24]: καί μοι δοκεῖ εἴ τις θεῶν πάντας ἀνθρώπους εἰς ἕνα που χῶρον συναγαγὼν, ἕκαστον ἀπαιτήσει κ. τ. λ. ». VILL.

(¹⁰) Adverbii μᾶλλον cum comparativo adjectivo juncti frequentiss:-

ἑαυτὸν ἅπας ἐρεῖ· ἑκάστου δὲ τὸ πλέον ἔχειν δοκοῦντος, τὸ τῆς ἰσότητος μέτρον δηλοῦται, καὶ τὸ προσφόρως ἁπάντων αὐτὴν προεστάναι (¹).

Ἐπεὶ δὲ τῶν ἐκείνης ἐμνήσθην γραμμάτων, βούλομαί τι καὶ διηγήσασθαι (²). Ὄψεσθε (³) γὰρ ἐντεῦθεν ἁπλῆν ὄντως γυναῖκα καὶ πρᾳότητος γέμουσαν, καὶ πᾶσιν ἀλύπως προσφερομένην. Δυοῖν γὰρ περί του (⁴) φιλονεικούντων ἀλλήλοις, κατ' ὀλίγον τε αὐτοῖς, οἷα φιλεῖ, τῆς ἐρίδος αὐξανομένης, ἀνέβη τὰ τῆς φιλονεικίας μέχρι τοῦ δεηθῆναι κρίσεως ἀρχικῆς. Ἡ δὲ γράμμασιν ἀμφοτέρους πρὸς τὸν παῖδα συνέστησεν, ἑκατέρῳ νίκην αἰτοῦσα. Οὕτω χρηστὸν εἶχε καὶ ἄκακον καὶ πραγμάτων ἄπειρον ἦθος.

Πείθομαι τὴν οὕτως ἐμφύτῳ φιλανθρωπίᾳ χρωμένην καὶ τοῖς ὄναρ αὐτὴν θεωμένοις (⁵) νοσημάτων ἰάσεις διδόναι· οἷον ἀμέλει συμβῆναι τῷ τὴν ἡμετέραν λαχόντι πρυτανεύειν ἀρχήν.

Χρεία τις αὐτὸν ἀνῆγεν ὡς βασιλέα τάχος ἀπαιτοῦσα πολύ. Ταύτην ὡς

mus est pleonasmus. Vide n. ad Theophylactum Simoc. Epist. 42, p. 277. Rufinus Anth. 5, 35 : μᾶλλον ἐρυθροτέρη· ibi Jacobs. Rufini id epigramma est ἀναίσχυντον καὶ σαπρὸν, narrante poeta spectavisse se et judicavisse πυγὰς τριῶν πορνῶν. Gallico sermone conversum fuit a Larchero ad Charitonem, p. 153; cujus petulantiæ quum serius optimum virum pœniteret, noluit notam paulo proterviorem in altera editione repeti, quæ lucem vidit a. 1797, et scripsit misitque commentationis aliquid novæ. Sed qui illam curabat Chardo Rochettius, homo librorum « ab omni obscœnitate expurgatorum » osor, pudorem senecionis risit meticulosioris, et posteriorem notæ recensionem, quam dixit ad se delatam serius, appendici inseruit; qua quidem appendice exemplaria carent plurima.

(¹) Verba καὶ τὸ πρ... προεστάναι absunt ab editione, forte tunc oscitante Villebrunio.

(²) Ed., βούλομαι καὶ διηγήσασθαι, cum Villoisoni nota : « forte καί τι διηγήσασθαι ». Scripsi quod est in A. Sic τι καὶ p. 47, 10.

(³) Ed., ὄψεσθε. A, ὄψεσθαι, syllaba mendosa αι punctis subnotata. Theodorus Hyrt. Epist 10 : ἐπαγγέλλῃ μὲν τῷ διδασκάλῳ πολλὰ, πράττεις δὲ οὐδ' ὀλίγα, δέον πράξει τὴν ἐπαγγελίαν νικᾶν. Codex, δέον ὂν, syllaba ὂν punctis superius notata, quæ delendam esse significant; sed non statim parendum opinor.

(⁴) « Sic restitui περί του, « de quadam re », pro περὶ τοῦ quod in cod. ». VILL. Est περί του in codice.

(⁵) « Sic restitui pro θεωμένης, quod in cod. De hisce superstitionibus Cl. Lefevre [Villebrunius] videndum monet Vink. Amœnit. philolog. med., p. 61, c. 5, Traj. ad Rhen. 1730 in-8°. Hic vides æquum æstimatorem Photium recte de Choricio dixisse : ἔσθ' ὅτε εἰς ψυχρολογίαν ἐμπίπτει. Sic paullo supra Mariæ factum prædicat, quod simplicem illam mulierculam judicio caruisse arguit ». VILL.

ἐδούλετο διαθεὶς, μετὰ τῆς αὐτῆς ἀνῄει σπουδῆς, ἐν ἴσῃ ποιούμενος τάξει τὰ προσάντη (1) χωρία τοῖς εὐηλάτοις. Κατὰ μέσον οὖν τῆς πορείας αὐτῷ βουδῶνος ἐπαρθέντος ἐξαίφνης, ἐπειδὴ νὺξ ἐγεγόνει (2), μόλις μὲν, τῆς ὀδύνης ἀπωθουμένης (3) τὸν ὕπνον, ἐκάθευδε δ' οὖν ὅσον βραχύτατον ὄναρ ἰδεῖν. Τὸ δὲ ἐνύπνιον ἡ μήτηρ (4) ἦν ἐρωτῶσα τῆς ἀναβολῆς τὴν αἰτίαν. Ὁ μὲν τὸ πάθος δεικνὺς, ἡ δὲ τὴν χεῖρα προσάγουσα, τοῦ θείου πάθους χρωμένη συμβόλῳ (5), ἔδοξε νύκτωρ ἀπηλλάχθαι τῆς νόσου· καὶ μεθ' ἡμέραν ἀπήλλακτο. Εἰκότως, ὡς ἔοικε, τὸν εἰρημένον ἐκείνῃ νέμουσιν ἔρανον αἱ τῶν πράξεων ἀρεταὶ, καὶ διὰ τῆς πείρας αὐτῆς παριστῶσιν ὡς μάτην αὐτὰς ἀνονήτους (6) εἶναι νομίζουσιν οἱ πολλοί.

Ὦ πολυυμνήτου ζηλωτὴ ἐκφορᾶς (7), παίδων, θυγατέρων, ἐγγόνων (8) ἀκολουθούντων ἐπὶ τὸ μνῆμα! ὦ θανάτου δακρύων μὴ δεομένου! Τοιοῦτον ἔπρεπε τέλος ἐκείνῃ· τοιοῦτον ηὔξατο πέρας λαχεῖν, πρότερόν τε πολλάκις καὶ παρὰ τὴν νόσον αὐτήν. Τοῦ γὰρ πρεσβυτέρου τῶν παίδων παθόντος τι καὶ δακρύσαντος, « Ἔτυχον, ὦ τέκνον » φησίν, « ὧν ἐγλιχόμην (9). Οὕτως ἥδιστον ἀπελθεῖν ἑκάστῃ γυναικὶ σωφρονούσῃ. Μὴ γὰρ παιδίον ὀλοφύροιτο μήτηρ, ἀλλὰ τελευτῶσαν μητέρα θεάσαιτο

(1) A, τὰ πρὸς αὐτη. Ed., τὰ πρὸς αὐτῇ, vitium augens. Correxi facile ac vere, τὰ προσάντη, recte opposita τοῖς εὐηλάτοις. Sic apud Xenophontem Hell. 5, 4, 54, opposita ἄναντες et εὐήλατον. Memini viri docti προσαντῶς restituentis Diodoro Sic. 4, 52, ubi : προσηνῶς δὲ τῶν παρθένων [Πηλιάδων] δεξαμένων τὸν λόγον. Nam aversabantur Peliades Medeæ sermonem; et adverbio προσαντῶς nonnusquam usus est Diodorus. Vide Wesseling. ad 14, 1. Sed non facilis vocabulorum προσάντως ac προσηνῶς permutatio. Vir alius doctus nuper ἀπηνῶς proposuit. Legendum mihi videtur, οὐ προσηνῶς. Præcedunt enim verba τὸ σῶμα τοῦ Πελίου, et fuit omissa, quod evenit sæpius, altera syllaba priori similis.

(2) A, ἐγεγόνη. Quod præcedit, βουδῶνος ἐπαρθέντος, bene illustrat Meinek. vir doct. ad Menandrea verba βουβὼν ἐπήρθη τῷ γέροντι, pag. 37.

(3) A et Ed., ἀπαθουμένης. « Legendum credo ἀπωθουμένης ». VILL.

(4) Forsan nomen παιδὶ deest sententiæ τῷ λαχόντι πρυτανεύειν superius p. 44, v. pen.

(5) Forsan, τῷ τοῦ θ. πάθ. χρωμένη συμβόλῳ. Sensus est, manu signum crucis Mariam facere.

(6) A, Ed., ἀνοήτους. Recepi emendationem Villoisoni, ἀνονήτους. Frequens permutatio, quam tractavi ad Anecd. Gr., t. 4, p. 115. Adde Schæfer. ad Phocyl. 32.

(7) A, ὦ πολυ ὑμνήτου ζηλωτῇ ἐκφορᾶς Ed., ζηλωτῇ ἐκφ. « Forte, καὶ ζηλωτοῦ ἐκφορᾶς ». VILLOIS. Scripsi ζηλωτή, id est μακαρία.

(8) Ed., ἐκγόνων. A, ἐγγόνων. Vide p. 48, n. 5.

(9) Villoisonus male claudit matris verba in ἐγλιχόμην, quorum finis est θεάσαιτο παῖς.

παῖς (1) ». Ταῦτα διελέχθη (2) γυνὴ μικρὸν ἀπέχουσα τελευτῆς, οὐδὲν παραπλήσιον τοῖς ἄλλοις παθοῦσα πρεσβύταις, οἳ τέως μὲν σχηματίζονται βούλεσθαι τελευτᾷν καὶ φασὶν ἱκανῶς ἀπολαῦσαι τοῦ βίου· ἐπειδὰν δέ τις αὐτῶν νόσῳ περιπεσὼν αἴσθηται πλησίον οὖσαν τὴν τελευτὴν, τότε ἤδη τὴν οἰκείαν ἀποκαλύπτει διάνοιαν, καὶ βραχὺν μὲν ἡγεῖται τὸν χρόνον ὃν ἔλαχον ἄνθρωποι ζῆν, ἀναλογίζεται δὲ καὶ σκοπεῖ τὰς περὶ τὸν βίον ἡδυπαθείας (3).

Σωκράτης μὲν οὖν παρόντων αὐτῷ τῶν γνωρίμων μέλλοντι τελευτᾷν, ὡς ᾔσθετο (4) δακρυόντων, τοῖς μὲν μικροψυχίαν ὠνείδισε, τὰς δὲ θρηνούσας ἐξέπεμψε γυναῖκας, « ἵνα μὴ τοιαῦτα » φησὶ « πλημμελοῖεν »(5). Οὕτως ἡγεῖτο πλημμέλημα τὸ δακρύειν· ἡμῖν δὲ προσήκει κρατοῦσι τῶν ἄλλων τῆς ψυχῆς νοσημάτων, ἡδονῆς, κέρδους, ὀργῆς, καὶ τοῦ λοιποῦ πάθους ἐπικρατῆσαι, τῆς λύπης (6)· ὡς ἅπαν μὲν πάθος φευκτέον τοῖς εὖ φρονοῦσι, τοσοῦτον δὲ μάλιστα λύπην, ὅσον ἡδονὴ μὲν καὶ χρήματα καὶ θυμὸς ἔχει τινὰ συγγνώμην τοῖς ἁμαρτάνουσιν, ἡ μὲν τὸ τερπνὸν προξενοῦσα, τὰ δὲ παρέχοντα κέρδος, ὁ δὲ σωφρονίζων ἐχθρούς (7), τῇ δὲ λύπῃ, πλὴν τοῦ μαρᾶναι τὸν ἀνιώμενον (8), οὐδὲν πρόσεστιν ἕτερον.

Τεκμαίρομαι δὴ καὶ τὰς ἀμέμπτους ὑμῶν ἀδελφὰς, καὶ ταῦτα τῆς γυναικείας φύσεως εὐκόλως καμπτομένης ταῖς λύπαις, φέρειν ἐγκρατῶς τὸ συμβάν· εἰ μή τῳ (9) δοκεῖ ψεύδεσθαι Πλάτων (10) οὐ μόνον ἀνδράσιν εἰπὼν, ἀλλὰ καὶ γυναιξὶ σπουδαίαις τοὺς θρήνους μὴ πρέπειν.

Ἴσως εἰσέρχεταί τις ὑμῖν ἀθυμία λογιζομένοις ὡς ἔτεκεν, ὡς ἔφερε

(1) « Sensus est : ne mortem filii mater, sed matris filius conspiciat ». VILL. Conf. p. 37.

(2) Ed., διελέχθη. A, διηλέχθη. Unde perverse faciebam aliud agens διειλέχθη ad An. Gr. t. 2, p. 374. Mox Ed. sine τοῖς ἄλλοις.

(3) Euripides in Alcestide v. 678 : Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν, Γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου· Ἢν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται Θνήσκειν· τὸ γῆρας δ' οὐκέτ' ἐσθ' αὐτοῖς βαρύ ». VILL.

(4) A, ᾔσθετο. Ed., ᾔσθητο.

(5) Socrates discipulis, in Platonis Phædone § 154, plorantibus et ejulantibus, οἷα ποιεῖτε, inquit, ὦ θαυμάσιοι! ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμέλοιεν.

(6) Ed., καὶ τῆς λύπης. Mox Ed., ἁμαρτάνουσι.

(7) « Sic restitui e Macario [Rhodonia]. Male in cod. ἐχθρός ». VILL.

(8) « Male in cod. τὸ ἀνιώμενον ». VILL. Scripsi μαρᾶναι pro μαράναι.

(9) Ed., μή τῳ. A, μὴ τῷ.

(10) In Menexeno, p. 247 et 248 Ed. Serrani ». VILL.

ταῖς ἀγκάλαις, ὡς προήγαγεν ἐνταῦθα τῆς ἡλικίας, ὡς συνήδετο τιμωμένοις (1), ὡς τοσαύτῃ περὶ ὑμᾶς ἐχρῆτο τῇ θεραπείᾳ, ὥστε παρ' αὐτὴν τοῦ νοσήματος τὴν (2) ἀκμὴν ὑποκλέψαι τὸν κίνδυνον, καὶ τῶν Ἀσκληπιαδῶν (3) δεηθῆναι, πυνθανομένων ὑμῶν, ὡς εἰκὸς, ὅπως ἔχοι τανῦν, ἀποκρίνασθαι (4) ῥᾷον αὐτὴν διακεῖσθαι.

Ταῦτα, πόθον εἰκότως ὑμῖν ἐργαζόμενα, λύπην ἐκ τοῦ πόθου κινεῖ. Πλὴν ἐξ ὧν ἐκείνης θαυμάζετε τρόπον, ἐκ τούτων ἐστὶ παραμυθίαν λαβεῖν, εὔδηλον ὂν ὡς τὴν μὲν ὑμῶν φυλάξει φιλοστοργίαν, ὠφελείας δὲ μείζονος αἰτία γενήσεται.

Εἰ γὰρ δεῖ τι καὶ φιλοσοφεῖν (δεῖ δὲ περὶ τοιαύτης λέγοντα γυναικός), φασὶν οἱ ταῦτα συγγράφειν δεινοὶ, καὶ πείθουσι λέγοντες, τὰς τῶν ὁσίως βεβιωκότων ψυχὰς, ἀποθεμένας (5) τὰ σώματα, μείζονα δύνασθαι δρᾷν, ὥστε πλείονα νῦν τὴν ἐξ ἐκείνης ὠφέλειαν καρπώσεσθαι. Ὅλως δὲ,

(1) « Forte τιμωμέναις· nisi hoc pariter et de masculis et de fœminis dicatur ». VILL.

(2) Ed. sine τήν. In transitu reddatur articulus poetastro in Anecd. Paris., t. 4, p. 267, 31 : οὔπω γὰρ ἦν παῖς καὶ φρενῶν εὐανδρίᾳ ἤστραπτον ὅπλοις ἐν μέσῃ γῇ βαρβάρων· Οὔπω μὲν ἱππεὺς, ἀλλ' ἀριστεὺς ἦν ἅμα. Sic mutavit editor repertum in codice ἐν μέσῃ τῇ. Sed reponendus articulus, quum perpetua sit nominis γῇ ellipsis ; atque pro ἅμα poscit antithesis rescribi ὅμως. Idem poeta, vel alius, dixit p. 271, 3 : Ἐπὶ ξένης γῆς ἐκκόπτεται βίου, versu claudicante. Correctio paulum incerta est. Propono : Ἐπὶ ξένης γῆς ἐκκέκοπται τοῦ βίου. Facilius emendabitur corruptus ejusdem paginæ locus : Ἀλλ' ὦ κάτοικοι τοῦδε τοῦ λαμπροῦ δόμου, Χορὸς φιλάγνων πανθέων σεμνοτρόπων. Monet editor « dubie scriptam esse hanc vocem ». Legendum haud dubie παρθένων.

(3) « Male hic Ἀσκληπιαδῶν in oratoris christiani ore positum. Scilicet, ut recte monuit Photius, nostri sophistæ quamvis elegantissimi λέξις οὐκ αεὶ τὸ γνήσιον διώκει..., sed interdum πρὸς τὸ ποιητικώτερον παρασύρεται. Nec sic tamen sua laude defraudandus est Choricius, minus quidem bonus orator quam elegans et disertus scriptor, sed qui felicissime eximia veterum auctorum loca passim expressit, eosque in succum ac sanguinem suum ita convertit, ut sæpissime in illius dicendi genere veneres, inaffectatam simplicitatem, candorem, perspicuitatem, puri sermonis castitatem et atticismum. ac egregias sententias, et ἦθος καὶ ἀλήθειαν, ut ait Photius, ideo magis mireris, qnod Justiniani sæculo scripserit. Nullus dubito quin omnes linguæ Græcæ studiosi vehementer mecum exoptent, ut cæteræ illius declamationes e Matritensi codice in lucem proferantur. Sed alia multo majoris pretii opera in omnium opulentissima Escurialensi Bibliotheca, quæ cum Matritensi confundenda non est, delitescunt ». Cf. p. 60. VILL.

(4) A et Ed., ἔχοι, τανῦν ἀποκρ. Mutare visum est distinctionem.

(5) « In cod. ἀποθεμήνους ». VILL. Erravit Villebrunius. Est in codice ἀποθεμένας, ut edidit Villoisonus.

λογιστέον ὡς εἰ μὴ θέμις ἀνθρώποις ἀθάνατοι ζῆν, ἓν αὐτοῖς (¹) εὐτυχὲς ὑπολείπεται, τὸ τελευτῆσαι τὸν βίον ἀγαθῷ « ἐπὶ γήραος οὐδῷ (²)».

Σόλων μὲν Τέλλον Ἀθηναῖον παρὰ Κροίσῳ τῷ Λυδῷ (³) μακαρίζει, ὅτι πατὴρ ἤδη καὶ πάππος εὐδαίμων γεγονὼς ἐτελεύτα· ἡ δὲ τασούτῳ παρῆλθεν εὐπραξίᾳ (⁴) τὸν Τέλλον, ὥστε καὶ παῖδας ἐγγόνων (⁵) ἐκτήσατο. Ἐκείνην ὀλβίαν προσεῖπεν ἂν εἰκότως ἡ τραγῳδία, ἥπερ εὐτυχῶς τὴν τελευταίαν ἐπέρασεν ἡμέραν (⁶). Ποιητὴς μὲν οὖν ἐπῶν ἐπιγράμματι τὸν τάφον ἐτίμησεν ἄν· ἐγὼ δὲ μέτρου χωρὶς, οὐ γάρ εἰμι ποιητικός· « Μὴ δάκρυε τόνδε τὸν τάφον ὁρῶν· ἐνταῦθα γυνὴ κεῖται πρεσβῦ-
« τις, ἄξιον ἔχουσα δακρύων οὐδέν· σεμνὸν ἔζησε βίον, τέκνων κατα-
« λέλοιπε τέκνα καὶ τούτων παιδία ».

(¹) « Male in cod. ἐν αὐτοῖς, pro ἓν αὐτοῖς ». VILL. Et hic recte ac nitide codex, ἓν αὐτοῖς.

(²) « Homerica dicendi formula, quam usurpat Plato De republica, l. 1, p. 328, Homerum laudans ». VILL. Non citat Homerum Plato, l. l. p. 8, Mass. : ἐπειδὴ ἐνταῦθα ἤδη εἶ τῆς ἡλικίας, ὃ δὴ « ἐπὶ γήραος οὐδῷ » φασὶν εἶναι οἱ ποιηταί. Citat poetas; nam præter Homerum Il. 22, 60 et alibi, Hesiodus Ě. 329 ea loquutione est usus; alii etiam poetæ post Platonem. Vide quæ notavi ad Æneæ Gazæi verba Theophr. p. 35 : εἶτ' οὐκ ἀνώμαλον τὸν μὲν παρὰ τὴν γένεσιν τεθνάναι, τὸν δὲ ἐπὶ γήραος οὐδῷ;

(³) Narratio exstat apud Herodotum 1, 30.

(⁴) A et Ed., εὐταξίᾳ. « Forte εὐτεκνίᾳ », Villoisonus ait. Conjeci et scripsi εὐπραξίᾳ, propius vocabulo correcto.

(⁵) A, ἐγκόνων. Ed., ἐκγόνων. Scripsi ἐγγόνων ut p. 45. Cf. p. 16, 9. Infra p. 65, et ἐγγόνων et mendum ἐγκόνων redibit.

(⁶) A, πρόσυπεν... ἥπερ. Ed., εἴπερ. « Scilicet respexit tragœdiam Euripidis Troadas dictam, ubi v. 509 : τῶνδ' εὐδαιμόνων Μηδένα νομίζετ' εὐτυχεῖν, πρὶν ἂν θάνῃ· aut Andromachen v. 100 et seqq. ». VILL. Poterat allegare vir d. nobilius Trachiniarum initium, ubi interpretes; et OEdipi T. finem, ubi Erfurdt. Sed debebat potius apponere Andromachæ versus quos unice respexit Choricius : Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν'. ὄλβιον βροτῶν, Πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς Ὅπως περάσας ἡμέραν ἥξει κάτω. Ibi Kœrner. Adde Baumg. Crusium ad Ovid. M. 3, 135; Davies. ad Cic. Fin. 2, 27; Blomf. Agam. Gl. 902. J. B. Russavius Oda in mortem principis Contiacænorum : « Au faîte des honneurs un vainqueur indomptable Voit souvent ses lauriers se flétrir dans ses mains; La mort, la seule mort met le sceau véritable Aux grandeurs des humains ». Racinius epistola 13 : « cela m'apprend que cette maxime est bien vraie : *la vita al fin, il di loda la sera* ». Voltairius severe ac vere Dictionario Philos. V. *Bien*, de Solonis dicto apud Herodotum 1, 32 : « ce grand mot, qui a fait tant de fortune : *il ne faut appeler personne heureux avant sa mort;* cet axiome n'est au fond qu'une puérilité, comme tant d'apophthegmes consacrés dans l'antiquité »; et cetera quæ in ipso libro quærantur. Redeo ad Choricium, qui, quod oratorem christianum decuit, pro tragœdia ethnici poetæ melius Sapientiam Sirach laudasset 11, 28 : πρὸ τελευτῆς μὴ μακάριζε μηδένα.

ΧΟΡΙΚΙΟΥ ΜΕΛΕΤΗ

ΤΥΡΑΝΝΟΚΤΟΝΟΣ (¹).

Νόμος (²) τὸν ἀποκτείναντα τύραννον ὅ τι βούλεται γέρας αἰτεῖν. Ἀνέβη τις εἰς ἀκρόπολιν ἐγχειρίδιον φέρων, ὡς ἀναιρήσων τὸν τύραννον. Ἔτυχε καὶ παρών. Ἀνεῖλεν ἐκείνου τὸν παῖδα, μόνον ὄντα τῷ φύσαντι. Ὁ πατὴρ, τὸ συμβὰν θεασάμενος, ἡττήθη τοῦ πάθους ὅσον ἑαυτὸν ἀποσφάξαι. Ἐντεῦθεν ὁ κτείνας τὸν νέον, οἷα δὴ τῷ τυράννῳ σφαγῆς αἴτιος γεγονὼς, τυχεῖν ἀξιοῖ δωρεᾶς. Ἑτέρου τινὸς ἀντιλέγοντος, μελετῶμεν τὸν αἰτοῦντα τὴν δωρεὰν (³).

ΠΡΟΘΕΩΡΙΑ.

Οὐ λείπουσιν ἄρα τοῖς φιλονεικεῖν βουλομένοις ἔριδος ἀφορμαί. Ἀνὴρ ὅλην πατρίδα τυραννίδος ἐλευθερώσας τὴν ἐκ τῶν νόμων ἀπολαβεῖν κωλύεται δωρεάν. Καί τοι διχόθεν καλλωπίζειν ἔχει τὴν αἴτησιν, τῇ μὲν

(¹) Ex codice parisino 2967 descripsit Villebrunius hanc declamationem in Villoisoni gratiam, a quo fuit edita in Diatriba p. 52. Præstitæ operæ meminit Villebrunius, loco infra mihi memorando p. 60, n. 4. In lemmate nomen τυραννοκτόνος accessit e codice Matritensi apud Yriarten, p. 395, 402.

(²) A, νόμοι. Ed., νόμος. Infra mox τὴν ἐκ τῶν νόμων δωρεάν. Atque pariter in aliis locis. Sed pluralis numerus habet aliquid oratoriæ emphaseos. Una fuit lex, quæ inferius recitabitur. In argumento singularis numerus ob simplicitatem et veritatem magis proprius esse videbatur. Nec desunt exempla parilia.

(³) Yriartes p. 397 sub numero 72, adduxit verba, τυχεῖν ἀξιοῖ... δωρεὰν, quasi ad aliam pertinentia Choricii orationem. Tum memorat repertam a se protheoriam, cujus allegat prima et ultima verba, et hæc quidem hocce modo, inaccurate: ὅσον ἐφέλκεσθαι πρὸς ἰδίαν σφρα-

προαιρήσει τὸν τύραννον, τῇ δὲ πράξει τὴν ἐκείνου διαφθείρας γονήν. Ὅθεν αὐτῷ συνελθούσης ἀρετῆς ἅμα καὶ τύχης (1), οὐ μέτρια φρονεῖν καρτερεῖ. Εἰ γὰρ Περικλῆς ὁ Ξανθίππου, ψιλὴν ἀποκρουόμενος λοιδορίαν, πάντας διαβαδίζει τῆς εὐφημίας (2) τοὺς τρόπους ἑαυτὸν αὐτὸς ἐπαινῶν, τίς ἂν ἐγκαλέσειε (3) τούτῳ τοῖς αὐτοῖς ἐγχειρήμασιν αἰτιολογίαν ἀπωθουμένῳ (4), πειρωμένην αὐτὸν τὴν προσήκουσαν ἀμοιβὴν ζημιῶσαι; Οὕτω καὶ Δημοσθένης, τὸν Ἀτρομήτου (5) ̓νενικηκώς, τὴν πρέπουσαν (6) δωρεάν, τὸν στέφανον, ἐκομίζετο. Ποιεῖ μὲν οὖν πρᾶγμα τοῖς ἀκούουσιν ἐπαχθές· φύσει γὰρ ἄνθρωποι πρὸς τοὺς ἑαυτοὺς ἐγκωμιάζοντας δάκνονται· ἀλλὰ τὸ βαρὺ τοῦτο καὶ φορτικὸν ἀλύπως ὁ δῆμος ἐξ εὐθυμίας ἀνέχεται. Ὅσῳ γὰρ ἑαυτὸν οὗτος ἀποσεμνύνει, τοσούτῳ (7) ἐπαύξει τῷ δήμῳ τὴν εὐφροσύνην, δεικνὺς ἐξ οἵας (8) αὐτὸν

γην. De formula sophistarum μελετῶμεν egi ad Anecd. Gr. t. 2, p. 274. Choricius Yriartæ, p. 398, 399, 400 : μελετῶμεν τὸν φιλάργυρον· μελετῶμεν τοὺς Λυδούς· μελετῶμεν τὸν Σπαρτιάτην.

(1) Virgilius AEn. 12, 714 : «fors et virtus miscentur in unum». Servius : « fors, id est casus in Turno, virtus in AEnea ». Imo uterque et Turnus et AEneas fortuna utuntur ac virtute. Tacitus eadem cum antithesi Germ. 30 : « fortunam inter dubia, virtutem inter certa numerare ».

(2) « Male in cod. ἀφημίας ». VILL. Esse quidem ibi ἀφημίας videtur. Sed jam monui, p. 43, librarium α et ευ simili ferme modo expressisse. Respicit Choricius, ut videtur, Periclis orationem dicentis ap. Thucyd. 2, 60 : ἐμοὶ τοιούτῳ ἀνδρὶ ὀργίζεσθε, ὃς οὐδενὸς ἥσσων οἴομαι εἶναι γνῶναί τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολίς τε καὶ χρημάτων κρείσσων. Vide supra pag. 9, n. 5.

(3) « Male in cod. ἐγκάλεσις, ut infra ἐγχειρίμασι et Διμοσθένης pro ἐγχειρήμασι et Δημοσθένης ». VILL. Potuit addere et proximum νομήζοιτο. Est revera in cod. ἐγκαλέσιε ει ἐγκειρίμασιν. Illud sonat idem τῷ ἐγκαλέσειε, quod editor exhiberi voluit, sed exhibuerunt operæ ἐγκάλεσειε. Exhibitum recte ἐγχειρήμασιν.

(4) A, ἀπολογίαν ἀποθουμένω. Ed., ἀπολογίαν ἀπωθουμένῳ. « Forte ἀντιλογίαν », Villoisonus ait, probabiliter; probabilior mihi visa est lectio αἰτιολογίαν.

(5) AEschinem scilicet.

(6) « Sic restitui pro τρέπουσαν, quod in cod. ». VILL.

(7) « Lege τοσοῦτον, et supra ὅσον, vel ὅσῳ γὰρ μᾶλλον ». VILL. Non facienda emendatio loci non corrupti.

(8) « Male in cod. δεινύς ». VILL. Juncturam adjectivorum ἐξ οἵας εἰς οἵαν illustravi ad Babrii verba F. 29 : ἐκ δρόμων οἵων Καμπτῆρας οἵους ἀλφιτεῦσι γυρεύω, emendante feliciter vulgatum ἀλφίτοισι Meinekio viro doct. in Lachmanniana. Libanius, t. 1, p. 574, 12 : διαλεχθεὶς ἐν ἅπασιν οἷος ἐξ οἵου δι' ἐκεῖνον γένοιτο. Est ὁ διαλεχθεὶς Julianus, princeps vere magnus, modeste declarans quanta fuerant in se magistri beneficia. Idem, p. 678 : οἷος ἡμῖν ἐν οἵῳ καιρῷ γεγένησαι. Aristides Or. 11, p. 130 : Οἷος ἐφ'

πολιτείας εἰς οἵαν μετήνεγκεν (1)· ἔνθα καὶ τῆς ὑπαρχούσης τῷ τυράννῳ μνημονεύσει κακίας, τῇ πονηρίᾳ τοῦ τελευτήσαντος τὸν αἴτιον τοῦ φόνου κοσμῶν. Πείσεται δὲ τοῖς λεγομένοις ἀσμένως τὸ πλῆθος· ἥδιστα μὲν οὖν καὶ πλείονα τῶν ἐκείνῳ προσόντων ἀκούσεται. Οὐ γὰρ ἐξαρκεῖ τοῖς ἠδικημένοις τὰς ἀληθεῖς μόνον κατηγορίας ἀκοῦσαι τῶν δυσμενῶν. Ὅθεν εἰ καὶ ψευδεῖς τὰς κατ' ἐκείνων ἴσμεν διαβολάς, οὐδὲ τούτων χωρὶς ἡδονῆς ἀκροώμεθα. Ἵνα δὲ μὴ (2) τύχης ἔργον ἁπλῶς ὁ τοῦ τυράννου δόξειε θάνατος, ἀλλὰ τοῦ παιδὸς ἡ σφαγὴ νομίζοιτο πρόφασις, παντοδαποῖς παραστήσομεν τρόποις ἐκ τῆς περὶ τοῦτον φιλοστοργίας ἀβίωτον ἐκείνῳ γεγονότα τὸν βίον, περιάπτοντες τῷ παιδὶ τά τε ἄλλα δι' ὧν μάλιστα τέκνοις εὐνοοῦσι (3) γονεῖς, καὶ τὴν ἀκμάζουσαν ἡλικίαν· ἀπίθανον γὰρ παιδίον βραχὺ τεθνηκὸς οὕτω πατέρα λυπεῖν ὅσον ἐφέλκεσθαι πρὸς ἰδίαν σφαγήν.

Η ΜΕΛΕΤΗ.

Ἀπείληφεν εὖ ποιοῦσα βεβαίαν ἡ πόλις ἐλευθερίαν οὐδὲ κληρονόμον (4) ὑφορωμένη τυράννου· καὶ μία πρᾶξις δύο (5) τοιούτους ὑμῖν καθεῖλε δεσπότας, ξίφει μὲν τοῦ τυράννου μειράκιον (6), αὐτὸν δὲ τῇ σφαγῇ τοῦ παιδός. Ὅσῳ τοίνυν τεθνάναι (7) δεινότερον πικρᾶς βασάνου προηγουμένης, ἢ χωρὶς ὀδύνης τοῦτο παθεῖν, τοσούτῳ χαλεπωτέραν αὐτῷ περιέστησα (8) τὴν τελευτήν, φονῷ παιδὸς βασανίσας (9).

Ἑκατέρα (10) μὲν οὖν τυραννὶς οὐ μέτριον ἦν τῇ πόλει φορτίον· το-

οἴῳ τῷ νέῳ κεῖσαι. De Choricii loco adde n. ad Anecd. Nova, p. 409.

(1) « Sic restitui pro αὐτοῦ, et μετήνεγκεν pro μετήνεγμεν ». VILL.

(2) Ed., ἵνα μὴ δή. « Sic restitui pro ἵνα μὲν δή ». VILL. Sed est in codice, ἵνα μηδὲ τύχης. Scripsi inverso ordine, ἵνα δὲ μή. De quo jam monueram ad Psellum, Opp. pag. 276.

(3) A, εὐνοῦσι. Ed., εὐνοοῦσι.

(4) « Male in cod. κληρονόμος ». VILL.

(5) « Male in cod. διὸ pro δύο ». VILL. Est δύο in codice.

(6) « Lege, τὸ τοῦ τυρ. μειρ. ». VILL.

(7) Ed., τεθνᾶναι. A, τεθνάναι.

(8) Ed., περιέδησα. A, περιέστησα. Inde περιδέω θάνατον inseruit ex Wakefieldii schedis Thesauro Londinensi Barkerus, homo impigerrimus, valde eruditus, ac meliore dignus fortuna, quo vivo usus amico fui, quem mortuum desidero.

(9) « Male in cod. βασανίας ». VILL.

(10) « Forte ἑκατέρου ». VILL. Mox Ed., φόρτιον. A, φορτίον.

σούτῳ δὲ τοῦ τεκόντος ἐφύετο χείρων ὁ παῖς, ὅσον ὁ μὲν πατρὸς ὑπῆρχε δημοτικοῦ, ὁ δὲ σπέρμα καθειστήκει τυράννου. Εἰ δὲ πονηρὰ φύσις ἄνευ δυνάστου πατρὸς ἀπειργάσατο τύραννον, τί ἂν ἔδρασε πατρικὴν προσλαβοῦσα πλεονεξίαν; καὶ τό γε σφόδρα δεινὸν, ὅτι καὶ δικαίως ἡμῶν ὁ παῖς ἡγεῖτο κρατεῖν, οἷα δὴ κτῆμα πατρῷον τὴν ἀξίαν παραλαβών. Ὅταν δε συγγνώμην τις ἔχειν οἴωται (¹) τῆς ἀδικίας, ἀνίατον γίνεται τοῖς ἀδικουμένοις κακὸν, μεταμελείας ἀνῃρημένης. Δυοῖν ἄρα τῇ πόλει δεινῶν τὸ μέγα μὲν ὑπ' ἐμοῦ καταλέλυται, τὸ δὲ βραχὺ δι' ἐμοῦ.

Εἰ μὲν οὖν ἄμοιρος ἔτι παίδων ἐστὶν ὁ διαβάλλων τὴν αἴτησιν, εἰκότως ἐκ τῆς ἀπειρίας ἡγεῖται κοῦφον ἀτύχημα παίδων ἀποβολήν· εἰ δὲ τυγχάνων πατὴρ οὕτω λογίζεται καὶ φρονεῖ, παραβαίνει φύσεως νόμον, ὃν ἐφύλαξε μόνον (²) ὁ τύραννος, οὐδὲ ζῆν ἄνευ τοῦ παιδὸς καρτερήσας, πολλαῖς ἀφορμαῖς εἰς τοσοῦτο εὐνοίας ἐλθών. Λέγεται γὰρ νέος μὲν γῆμαι, πλεῖστον δὲ χρόνον ἄπαις ὑπάρχειν, ὀψὲ δὲ κυούσης αὐτῷ τῆς γυναικὸς, δεδοικέναι τε καὶ φυλάττειν· σφαλερὸν γὰρ κύουσα γυνὴ καὶ βραχυτάτης εἰς κίνδυνον δεομένη προφάσεως. Ἐπεθύμει ὠδίνουσάν τε καὶ τεκοῦσαν ἰδεῖν. Ἦν οὖν οὐκ ἀπεικότως περιπόθητον αὐτῷ τὸ παιδίον (³), ὡς ἄῤῥεν, ὡς μόνον, ὡς παρ' ἐλπίδα τεχθὲν, ὡς δευτέρας γονῆς οὐδαμῶς ἐσομένης, ἤδη τῆς παιδοποιίας ἐξιόντι τοὺς ὅρους, ὡς τὴν πατρῴαν κεκτημένον ἰδέαν (⁴). Φιλεῖ δὲ ἄρα καὶ τοῦτο τῶν γονέων ἐρεθίζειν τὴν εὔνοιαν (⁵). Ἐτρέφετο τοίνυν ἐπὶ διαδοχῇ τῆς ἀρχῆς καὶ τυραννεῖν κατὰ μικρὸν (⁶) ἐδιδάσκετο. Ἤδη τε μειράκιον ἦν, αὐτό που

(¹) Ed., οἴεται. A, οἴωται.

(²) A et Ed., μόνος Mox Ed., νέος γῆμαι. A, ν. μὲν γ. Reddam obiter particulam μὲν Proclo in Remp. Platonis, p. 351 : ἀπὸ πολιτείας οὖν ἐπὶ πολιτείαν ἡ μετάβασις, ἀπὸ τῆς ἐν ἑνὶ θεωρουμένης ἐπὶ τὴν ἐν πολλοῖς, καὶ ἀπὸ δικαιοσύνης ἐπὶ δικαιοσύνην, ἀπὸ τῆς συνῃρημένης ἐπὶ τὴν φανωτέραν· καὶ οὐκ ἔστι τὸ προηγούμενον ζήτημα, τὸ δὲ ἐμπίπτον. Ex codicibus duobus enotavit anonymi manus in meo exemplari τὸ μὲν προηγ., et συνῃρ., etiam εἰς τὴν ἐν πολλοῖς. Et malius φανοτ.

(³) « Male in cod. τῷ παιδίον ». VILL. Est in codice, qui caret iota subscripto vel adscripto, τῶ π.

(⁴) Meminerat Choricius Aristæneti 1, 19 : ὑπερηγάπα δὲ τὸ βρέφος, στέργουσα διαφόρως, ὡς υἱὸν, ὡς εὐπρεπὲς, ὡς ποθούμενον παιδίον, καὶ λίαν ἐμφερὲς ὡραιοτάτῳ πατρί. De liberis qui paterno vultui respondent similitudine non pauca interpretes ad Aristæn., l. 1. p. 497; ego ad Theocr. 17, 44, ed. sec.; Duport. Gnomol., p. 148.

(⁵) Apuleius Apol., p. 16 : « Equidem scio et filiorum cariores esse qui similes videntur ».

(⁶) Ed., κατὰ μικρόν. A sine

τῆς ἡλικίας ἄγον τὸ ἄνθος (1), ὅτε γονεῦσιν ἀνιαρότατον (2) θάνατος παίδων.

Δύο δὴ τυράννων, τοῦ μὲν ὑπάρχοντος, τοῦ δὲ γινομένου, οἱ μὲν ἄλλοι πάντες ἐσχετλίαζον μόνον, οὐδὲ τοῦτο πράττοντες ἀδεῶς· ἐγὼ δὲ μεθ' ἡμέραν μὲν κατάλυσιν ἐμελέτων, νύκτωρ δὲ ταύτην ὠνειροπόλουν. Ὁπλίσας οὖν τὴν ψυχὴν δημοτικοῖς λογισμοῖς, ἀνέβην ἐπὶ τὸ τῆς δυναστείας χωρίον, ὅσον ἦν ἀποκρύψαι ξιφίδιον φέρων. Καὶ τῷ προσώπῳ συσκιάσας τὴν γνώμην, καὶ τοὺς ἐκείνου δορυφόρους καραδοκήσας ἑτέρωσέ πη (3) τὴν διάνοιαν ἔχοντας, οὐδαμοῦ τὴν θήραν (4) ἑώρων, κύκλῳ περιάγων τὸ βλέμμα. Εἶτα κατανοήσας τὸν νέον, πολλαχόθεν ὀργῆς ἐνεπλήσθην, δυνάστου (5) θεασάμενος παῖδα καὶ προσφερῆ τὴν ὄψιν ἐκείνῳ, καὶ τοῦτον ἐν ἀκροπόλει, χωρίῳ τυραννικῷ (6). Ἐν οἷς γὰρ ἀδικούμεθα τόποις, ἐν τούτοις πλέον ἀμύνασθαι τοὺς ἀδικήσαντας ὀρεγόμεθα. Ἐγένετο δέ μοι προσθήκη θυμοῦ καὶ τὸ τοῦ (7) τυράννου διαμαρτεῖν. Τοσαύταις ἐγὼ κινηθεὶς ἀφορμαῖς, καιρίαν ἐπιφέρω πληγήν. Οὐχ ἤνεγκα τοσαύτης ἡδονῆς ἀνήκοον ἐᾶσαι τὴν πόλιν, ἔσπευδόν τε μηνῦσαι τὸ πεπραγμένον, μή με φθάσας τις ἕτερος εὐφράνῃ τῷ πλήθει τὰς ἀκοάς. Ὁ γάρ τι μέγα πράξας, τὴν ἰδίαν ἐπείγεται πρῶτος κηρύτ-

divisione. Et sic mox μεθημέραν.

(1) Sic ἄγειν ὥραν θανάτου, p. 38, ubi n. 1.

(2) A et Ed., ἀνιαρώτατον. Et sic infra ἀνιαρώτεροι. p. 55, 4.

(3) Ed., ἑτέρωσέ που. A, ἑτ. πη.

(4) « Prædam quam venando sequebatur, scilicet tyrannum. Forte quis conjiciat θύραν, portam cubiculi in quo stabat tyrannus ».VILL.

(5) A, δυνάστου. Ed., δυναστοῦ. Sic sæpe in scribendo peccant hodierni librarii, qui male græca pronunciant. Sic p. 55, 2, Ed., οἰκετήν.

(6) « Forte quis hæc, χωρίῳ τυραννικῷ, ut glossam τοῦ ἀκροπόλει, dolenda censebit; sed retinenda credo ». VILL.

(7) Ed. sine τοῦ. Themistius Orat. 2, p. 34, 23 : τῷ λόγῳ τῷ βασιλέως. Reperi in codice : τῷ λόγῳ τοῦ βασιλέως. Scribam libens, recepto articulo utroque, τῷ τοῦ βασ. Nocet articulus Tzetzæ, cui fuit e conjectura datus, Chil. 4, 558 : σὺ πλέον ἐπαυχῶν τῇ λαχανωνυμίᾳ Καὶ τῷ προσκυρωθῆναι τῇ τάξει τοῦ ζαβαρείου. Legebatur olim προσκ. σοι τάξει. Editor substituit pessimo consilio τῇ. Articulus in clausula hemistichii repudiandus est. Lego, τῷ προσκυρωθῆναι σοὶ τάξιν τ. ζ., vel, τῷ πρ. σὲ τάξει. Displicet similis articuli positio, ibid. 8, 34 : Περὶ ἑσπέρας μόλις ὁ νῆστις πεσὼν ἐλείφθη. Propono π. ἑσπ. μόλις δὲ νῆστ.... Qui Chiliadas legunt non ignorant sic sæpissime particulam δὲ hemistichia claudere. Respicit hic loci Tzetzes Libanii declamationem t. 4, p. 150, e cujus argumento excidit articulus, in verbis ἵππον λαβὼν ἐξ ἱπποδρόμου. Esse in Morelliana, λαβὼν τὸν ἐξ ἱπποδρο-

τειν (1) ἀνδραγαθίαν, ὡς ἂν διπλῆν κομίσαιτο χάριν, τήν τε τῶν κατωρθωμένων (2), τήν τε τῶν εὐαγγελίων.

Καταβὰς τοίνυν, ἐμήνυσα τὸ πραχθὲν, δεικνύων ἅμα τὸ ξίφος αἵματος γέμον δικαίου (3). Εἶτα πρὸς τὸν δεύτερον ἆθλον ηὐτρεπιζόμην (4)· οὐ γὰρ ἀνάλωσεν ὅλον μοι τὸν θυμὸν ἡ τοῦ μειρακίου σφαγή. Ἤλπιζον μὲν οὖν τοῦτο ποιήσειν τὸν τύραννον ὅπερ ἔφθη ποιήσας· ἐκέκριτο δέ μοι καὶ τοῦτον (5), εἰ καὶ περιόντα καταλήψομαι, κτείνειν.

Ἧκεν εὐθὺς ἡ φήμη πολλὴ βοῶσα τὸ προσδοκώμενον, καὶ πάντα διηγουμένη, ὡς ἡ μὲν τεκοῦσα τὸν νέον, κοπτομένη τὰς παρειὰς, ἐπὶ γῆς καθημένη, καὶ τοῦ παιδὸς τὸ σῶμα περιχυθεῖσα, τὰ γυναικῶν ὁμοῦ καὶ μητέρων ἐφθέγγετο, « Οὐκέτι σε », λέγουσα « τέκνον, συμπροϊόντα τῷ φύσαντι, οὐκέτι θεραπεύοντα τὴν τεκοῦσαν, οὐκέτι δορυφορούμενον ὄψομαι. Ὤμην σοι δᾷδα γαμήλιον ἅπτειν· ᾤμην σοι (6) τὸν ὑμέναιον ᾄδειν ». Οὕτως ὑπὸ τοῦ πάθους ὡς πρὸς ἔτι ζῶντα διελέγετο τὸν υἱόν. Τοιοῦτον γὰρ μάλιστα πεφύκασιν αἱ γυναῖκες· ἀσθενείᾳ τε γνώμης καὶ πένθους ἀφορήτοις ὀδύναις, οἷα πρὸς αἰσθανομένους λαλοῦσι τοὺς τεθνεῶτας, ὡς ἀκούοντας τῶν λεγομένων, ὡς ἀποκρίνεσθαι μέλλοντας.

Ἐν τούτοις μὲν ἦν ἡ τοῦ τυράννου γυνή (7)· τῶν δὲ δορυφόρων οἱ μὲν δέει τοῦ κρατοῦντος φεύγοντες ᾤχοντο, οἱ δὲ περιειστήκεσαν, ἐῤῥιμμένον τὸν νεανίσκον ἐκπεπληγμένοι τε καὶ δακρύοντες. Πολλὴ δὲ τούτοις γέγονεν ἔρις τοῦ τίνα δέοι μηνῦσαι τὸ πεπραγμένον, ὀκνοῦντος ἑκάστου καὶ δεδιότος τοσοῦτον ἀγγεῖλαι τῷ δεσπότῃ κακόν. Ἑνὸς δ' οὖν εἴξαντος, μόλις ἤκουσε πικρὰν ὁ πατὴρ ἀγγελίαν, υἱὸν ἐσφαγμένον· μᾶλλον δὲ πρὸ τῆς ἀκοῆς, ὡς οἱ τότε αὐτῷ συμπαρόντες ἀπήγγειλαν, ἔτι τοῦ θεράποντος (8) προσιόντος, « Ὁ παῖς ἔπαθέ τι δεινόν »! ἀνεβόη-

μίου (et τὸν reperi in codice 3017) notat Reiskius, in Bavarico autem τῶν ἐξ ἱπποδρόμου. Atque ex ipsa notulæ forma videtur Reiskius Bavaricam scripturam recipere voluisse, quam invenit et Tzetzes, sententiam Libanianam verbis repræsentans hisce : Ἵππον ζητήσας ἔλαβε τῶν ἁμιλλητηρίων.

(1) « Male in cod. ἐπήγηται ». VILL. Est in cod. ἐπήγεται. A, κηρύτειν.

(2) Ed., κατορθωμένων. A, κατωρθωμένων. Est in A, p. 64, 8, κατόρθωσας.

(3) « δικαίου, juste effusi sanguinis ». VILL.

(4) A, ηὐτρεπιζόμην. Ed,, εὐτρ. Mox Ed., ἤλπιζον οὖν, A, ἤλπ. μὲν οὖν. Vide p. 9, n. 2.

(5) A et Ed., τοῦτο. « Forte τοῦτον ». VILL. Hoc recepi.

(6) Ed. bis, ᾤμην σοὶ, ac supra οὐκέτι σέ.

(7) A, γυνή. Ed., μήτηρ.

(8) A, θεάποντος.

σεν. Ὑπὸ γὰρ ἀμέτρου φιλοστοργίας, ὡς ἔοικεν, ἀεὶ τῷ λογισμῷ περιφέρων τὸν παῖδα, κατηφῆ τὸν οἰκέτην ἰδὼν ἐστοχάσατο. Ἔπειτα θέαν εἶδε χαλεπωτέραν ὧν τε ἤκουσεν, ὧν τε διενοήθη. Ὀφθαλμοὶ γὰρ ὅσον πιθανώτεροι ([1]), τοσοῦτον ἀνιαρότεροι τοῖς ἀτυχοῦσιν. Ἐμίσησεν οὖν τυραννίδα ([2]) δι' ἣν γέγονεν ἄπαις· οὐ γὰρ ἦν ἑτέρου πατήρ. Καὶ δίκην αὐτὸς ἑαυτῷ θάνατον ὥρισεν, ἡγησάμενος τῷ παιδὶ ταύτην ὀφείλειν ὑπὲρ τοῦ φύσαντος ἐσφαγμένῳ. Συνέπραξε δὲ πρὸς τὴν τόλμαν αὐτῷ πάθη δύο, ψυχῆς ἀθυμία καὶ δέος, ὀδυρομένῳ τε τὸν υἱὸν καὶ τὴν ἐμὴν εἰκότως προθυμίαν εὐλαβουμένῳ. Εἰ γὰρ πρὶν κατορθῶσαί τι τοσοῦτον ἐτόλμων, τί ἂν ἐποίησα, τὸ θαῤῥεῖν ἐκ τῆς πείρας λαβών;

Ἀλλά, δύο τυράννων λαμπρῶς οὕτω καθῃρημένων, εὕρηται καὶ τρίτος, ὡς ἔοικε, διαστρέφων τοὺς νόμους. «Ἐμοί» γάρ φησιν, «ὁ νόμος συμφθέγγεται, δωρεὰν ἀπονέμων τῷ κτείναντι τύραννον, οὐ δυνάστου παιδίον ([3])».

Οὐκ ᾤμην ἐκ τῶν νόμων σε μάχεσθαι τῷ σεσωκότι τοὺς νόμους. Τοιγαροῦν, εἴ ποθεν λάβοιεν οὗτοι φωνήν, φαῖεν ἄν σοι δικαίως τοιαῦτα, καταβοῶντες ([4])· «Ἄνθρωπε, μόλις γεγόναμεν κύριοι· μόλις ἥκομεν δεῦρο, φυγάδες πάλαι γεγενημένοι. Ἐποθοῦμεν ([5]) δῆμον ἰδεῖν, ὠρεγόμεθά τι προστάξαι πάλιν καὶ πεῖσαι. Σὺ δὲ τὸ πρῶτον ἡμῶν ἀνατρέπεις ([6]) ἐπίταγμα, καὶ δεῖξαι φιλονεικεῖς ἀχαρίστους τῷ καθελόντι τοὺς ἐπαναστάντας ἡμῖν».

([1]) Respectu ad Herodoti locum nobilem 1, 8 : ὦτα τυγχάνει ἀνθρώποις ἐόντα ἀπιστότερα ὀφθαλμῶν. De quo loco Jacobs. ad Mæcii Epigr. 5; Walz. ad Arseniana, p. 490 : ὠτίων πιστότεροι ὀφθαλμοί· Heyler. ad Julianea Epist. 22 : ὁ λογοποιὸς ὁ Θούριος ὦτα εἶπεν ἀνθρώποις ἀπιστότερα..... Hermann. ad Luc. De histor. conscr. c. 29, p. 183, qui de consulendo Wesselingio Dissert. Herod. p. 20, non meminit; Tollius ad Ciceronis verba Pro Archia, p. 20 : « Lucullus, qui non opinari, sed scire, non audisse, sed vidisse, non interfuisse, sed egisse dicit »; Bergmann. ad Wyttenb. Vita Ruhnk., p. 120. Dio Chrys. Or. 12, p. 411, = p. 35 Geelianæ : καὶ δὴ τὸ λεγόμενον, ὡς ἔστιν ἀκοῆς πιστότερα ὄμματα, ἀληθὲς ἴσως. Philo V. Mos. 1, § 49 : εἰ μὴ ἄρα ὀφθαλμῶν ὦτα πιστότερα καὶ πραγμάτων ῥήματα. Et iterum hac sententia utetur Choricius Oratione de templo S. Sergii. Conf. et Phœnicis Declamationem infra.

([2]) Ed., τὴν τυραννίδα.

([3]) Ed., τύραννον · οὐκ ᾤμην, mediis omissis.

([4]) Imitatur sophista Legum loquentium prosopopœiam in Critone Platonis; nec ineleganter.

([5]) Ed., ἠποθοῦμεν. A, ἐποθοῦμεν.

([6]) Ed., σὺ δὲ τὸ.. ἀνάτρεπε. «Male in cod. ἀνατρέπεις». VILL. Sed

Ταύτην ἐγὼ τοῖς νόμοις ἔχρησα τὴν φωνήν. Τί οὖν θρασύνῃ κατὰ τοῦ δεδωκότος σοι τὴν ἐξουσίαν τοῦ λέγειν; οὔτε τῆς εὐεργεσίας τὸ μέγεθος αἰσχυνθεὶς, οὔτε τοὺς νόμους αἰδούμενος, οὔτε τοῦ δήμου τὸν τρόπον ἐρυθριάσας (1), ἀμείβεσθαι τοὺς εὖ ποιοῦντας (2) εἰδότος, οὔτε τὸ πᾶσι γνώριμον ἐννοῶν (3), ὡς ἐν εὐτυχήμασιν ἄνθρωποι φιλόδωροί τε καὶ πρὸς αἴτησιν εὐκολώτεροι (4) γίνονται, καὶ πολὺ μᾶλλον ὅταν εὔλογα τὰ τῆς αἰτήσεως (5) ᾖ. Τούτων οὐδὲν ἐλογίσω· μᾶλλον δὲ, λογισάμενος, ἀναιδῶς ὑπερεῖδες. Βούλει δίκαιός μοι γενέσθαι κριτής; Μὴ τὸ συμβὰν ἐξέταζε μόνον (6), τὴν ὅθεν ἐγένετο πρόφασιν κρύπτων· μηδὲ τῶν φύντων μνημόνευε, παρατρέχων τὸ σπέρμα (7)· μηδὲ τὸ δίκαιον (8) εἴπῃς, τὸν δικαστὴν σιωπῶν.

Ἐγὼ μὲν ἐκείνῳ ζημίαν ἐψηφισάμην τὸν θάνατον, ὁ δὲ διηκόνησέ μου τῇ ψήφῳ, δήμιος αὐτὸς ἑαυτῷ γεγονώς. Καί μοι δοκῶ (9) τὴν Δίκην αὐτὴν τοῦτο βραβεῦσαι τὸ χρῆμα· πολλοὺς γὰρ ἐκεῖνος ἀκρίτως διαφθείρας τῶν πολιτῶν, ἐπειδὴ λίαν πάσχειν ἐλάττω ἔμελλεν ὧν διεπράξατο, μιᾶς αὐτὸς ἀντὶ πολλῶν ψυχῆς ζημιούμενος, ἕτερον αὐτῷ σωφρονισμὸν δι' ἐμοῦ, τοῦ παιδὸς ἐξεῦρε τὴν τελευτήν.

Εἰ μὲν οὖν μόνον ἢ πρῶτον ἀνεῖλον τὸν τύραννον, ἀπῆλθεν ἂν θέαμα λυπηρὸν, τὸν τοῦ παιδὸς θάνατον, ἐκφυγών· εἰ δὲ ἀμφοτέρων αὐτόχειρ ἐγενόμην ἐγὼ, τοῦ νεανίου (10) μὲν πρῶτον, εἶτα τοῦ φύσαντος, τὴν μὲν ἐλεεινὴν οὐ διέφυγε θέαν, ἀλλοτρίᾳ δὲ χειρὶ περιπίπτων (11), ὁμοίαν ἐκέρδαινε τὴν τελευτὴν οἷς ἔδρασε φόνοις. Ἔδει δὲ ἄρα καὶ τοῦ βίου τὸ πέρας ἀνοσίως αὐτῷ τετολμῆσθαι, ὅπως ἐν αὐτῷ τῷ δίκαια πάσχειν

cum imperativo non οὐδὲ scribendum fuit, sed μηδέ. A recte, σὺ δὲ, priore syllaba, non omnino nitida, sed tamen indubia omnino. Conf. p. 35, n. 9.

(1) De syntaxi verbi ἐρυθριᾷν, p. 15, n. 5.

(2) A et Ed., εὐποιοῦντας. Cf. p. 24.

(3) « Male in cod. ἐνοῶν ». VILL.

(4) « Male in cod. εὐκολότεροι ». VILL.

(5) « Illud τὰ, quod ante τῆς αἰτήσεως e codice male exciderat, e Macario [Rhodonia] revocavi ». VILL.

(6) Sententiam illustrat Vœmel. ad Demosth. Ol. 1, § 16.

(7) Sic Demosthenes De Corona: ὁ τὸ σπέρμα παρασχὼν, οὗτος τῶν φύντων κακῶν αἴτιος ». VILL. Abest κακῶν a bonis libris. Vide edit. Wund., § 128.

(8) A, τὸν δίκαιον. Ed., τὸ δίκαιον.

(9) « Sic restitui pro καί σοι δοκῶ, quod in cod. » VILL. Cf. p. 21.

(10) Ed., νεανίσκου. A, νεανίου.

(11) « Male in cod. περιπίπτον, ut infra δυσσεβὸς pro δυσσεβές ». VILL.

ἄδικα δράσειε, μηδὲ τὸν ὑπὲρ τῆς αὑτοῦ (¹) σωτηρίας νόμον φυλάττων. Τὸ γὰρ ἐξάγειν αὑτὸν δυσσεβὲς εἶναι νομίζεται.

Οὕτως ἐγώ φημι πρυτανεῦσαι τὴν Δίκην, πρὸς ἔλεγχον ἐναργῆ τῆς ἐκείνου κακίας καὶ παντελῆ καθαίρεσιν (²) τῆς ἀρχῆς. Σκοπεῖτε γάρ· τοῦ τυράννου μὲν τεθνεῶτος, τὸ μειράκιον ἑαυτὸν οὐκ ἦν εἰκὸς ἀποκτεῖναι, μακροῦ τῇ (³) νεότητι βίου προσδοκωμένου καὶ φιλοψυχεῖν ἐντεῦθεν παρασκευάζοντος (⁴), καὶ ἅμα τῶν παίδων ὡς τὰ πολλὰ μὴ τοσαύτην νεμόντων τοῖς τίκτουσιν εὔνοιαν, ὅσης αὐτοὶ παρ' ἐκείνων μετέχουσιν. Ἦν δ' ἂν οὕτως ὑμῖν τὰ τῆς ἐλευθερίας ἐπισφαλῆ, μή πω προῤῥίζου (⁵) τῆς τυραννίδος ἐκκεκομμένης· ἀνῃρημένου δὲ τοῦ παιδὸς, οὐ ῥᾴδιον ἦν τὸν πατέρα φέρειν, οὐδὲ μιᾶς αὐτῷ φαινομένης ἔτι παραμυθίας, ἕτερόν τε μὴ κεκτημένῳ, καὶ παραδραμόντι τὴν γόνιμον ἡλικίαν.

Ἡ μὲν οὖν Δίκη τοιαύτην ἔταξεν αὐτῷ τιμωρίαν· ἐπλήρουν δὲ τὸν ἐκείνης σκοπὸν (⁶) διάφοροι λῦπαι περιϊστάμεναί τε τὸν ἄνδρα καὶ πρὸς φόνον ὠθοῦσαι· ἡ μὲν ὑποδεικνύουσα (⁷) τοὺς τελοῦντας εἰς δῆμον (⁸) ἐπεγγελῶντας αὐτοῦ τοῖς κακοῖς, ἡ δὲ ταράττουσα φόβῳ τῆς ἐμῆς δεξιᾶς·

(¹) A, αὑτοῦ. Ed., αὐτοῦ. Et mox A, αὑτὸν, Ed., αὐτόν.

(²) « Male in cod. καθέρεσιν ». VILL.

(³) Ed., μακροῦ μὲν τῇ.

(⁴) Male in cod. παρασκευάζοντες ». VILL.

(⁵) A, πορρίζου. Ed., πρόῤῥιζον. Ubivis permutantur vocabulorum fines ου et ον, propter literarum similitudinem. Themistius Orat. 2, p. 29, 27 : νῦν δὲ χρυσίον μὲν, εἴπερ τι ἐγὼ ἐδεόμην. Convertit Petavius : « Jam vero quod ad aurum attinet, si quid indigerem ». Reperi, quod malim equidem, χρυσίου μὲν εἴπερ τι.

(⁶) De locutione πληροῦν τὸν σκοπὸν egi ad Anecd. Gr., t. 5, p. 328. Potest comparari Seneca Ep. 45 : « Nisi mature te finem officii sperarem impleturum ». Dixit Aristides Or. 17, p. 403 : ἐκτελέσας τὸν σκοπόν. Libanius infra, p. 59, n. 3, σκ. φυλάττει. Qui vernacule dicunt « remplir un but », non se grammaticis probant severis. Sunt tamen bonorum auctorum exempla. Prevostus abbas præfatione Decani : « Soit que j'aie manqué le but, soit que je l'aie rempli ». Racinius melius Præfatione Litigatorum : « Si le but de ma comédie était de faire rire, jamais comédie n'a mieux attrapé son but ». Molierius Censura Scholæ mulierum, sc. 7 : « Je voudrais bien savoir si une pièce de théâtre, qui a attrapé son but, n'a pas suivi un bon chemin ».

(⁷) « Male in cod. ὑποδεικνείουσα ». VILL.

(⁸) Ed., conspirante A, τελευτῶντας. « Forte τοὺς τελοῦντας, ut idem in Oratione fun. in Procopium, p. 852, t. 8, Bibl. Gr. Fabricii, [supra p. 13] εἰς δῆμον τελῶν, et ibid. p. 864, in Oratione in Summum ducem [supra p. 26], εἰς ἰδιώτας τελοῦσιν ». VILL. Addatur nota p. 13.

ἑτέρα διεξιοῦσα τὴν τοῦ γήρως ἀσθένειαν, ἄλλη τοὺς ἀποδράντας (¹) τῶν ἀρχομένων, ἄλλη τοὺς μακαρίζοντας τὴν ἐκείνων φυγήν.

Ἔστι τοίνυν ἡμῖν νόμος ἀρχαῖος, τὸν αἴτιον ἀδίκου σφαγῆς τὴν αὐτὴν ἀπαιτῶν τῷ δράσαντι δίκην.

ΝΟΜΟΣ.

Ἀκούεις (²) τοῦ νόμου; σοὶ διαλέγεται (³). « Τοὺς αἴτιους » φησί « φόνων ἀδίκων ὁμοίως κολάζω τοῖς εἰργασμένοις ». Οὐκοῦν καὶ φόνου δικαίου τὸν αἴτιον ὁμοίως τιμᾷ τῷ δεδρακότι. Οὐ γὰρ δὴ τὴν μὲν κακίαν οἴονται δεῖν σωφρονίζειν οἱ νόμοι, ἄμισθον δὲ περιορῶσι τὴν ἀρετήν· ὅσης γὰρ ἄξιοι δίκης οἱ πονηρίαν τινὰ μετιόντες, τοσαύτης, οἶμαι, τιμῆς οἱ τὴν ἀντικειμένην ἀρετὴν ἠσκημένοι· κἂν πλείονος εἴπῃς, ὀρθῶς ἐρῶ σε δικάζειν. Τῆς γὰρ φύσεως ἑτοιμότερον πρὸς τὰ χείρω καθελκομένης, τοῖς μὲν ἁμαρτάνουσι γίνεται τοῦτο συγγνώμη, μείζων δὲ (⁴) τοῖς ἀγαθοῖς εὐφημία· καὶ τιμωρία μὲν ἐλαττουμένη φιλανθρωπίας εὔκλειαν ἤνεγκεν, ἀμοιβὴ (⁵) δὲ συστελλομένη ψόγον ἀχαριστίας.

Φέρε δὴ καὶ τοῦτο σκεψώμεθα· εἴ τις ἐκ γένους ἐκείνῳ προσήκων διεδέξατο τὴν ἀρχήν, οὐκ ἂν ὑπὸ τούτῳ δίκην ἔφευγον φόνου; οὐδεὶς ἀντερεῖ. Μὴ τοίνυν τῆς τελευτῆς ἀποστέρει με τὴν αἰτίαν. Ἦ, πρὸς θεῶν, εἰ μὲν τῷ τυράννῳ προσήκων τις ἔκρινεν, ἀνεῖλον ἐκεῖνον; εἰ δὲ ὁ δῆμος ἐκκλησιάζει, τὸ γεγονὸς οὐκέτι μοι πέπρακται (⁶); εὔηθες (⁷) μάλα καὶ γελοῖον.

Οὐ τοίνυν μόνον ἐκ τῆς τοῦ παιδὸς τελευτῆς ἐμοὶ λογιστέον τὴν τοῦ κρατοῦντος ἀναίρεσιν, ἀλλὰ καὶ τρόπον ἕτερον. Φονέα με καλοῦσιν οἱ νόμοι (⁸)· φονέα γὰρ ἐκεῖνοι καλοῦσι τὸν ἀποκτείναντα τῇ προαιρέσει, καὶ τὴν χεῖρα πρὸς φόνον ὁπλίσαντα, κἂν τὸ ἔργον ἀπῇ. Οὐ γὰρ αἱ

(¹) « Male in cod. εὐποδράντας ». VILL. Est in cod. ἀποδρ.

(²) Inter δίκην et ἀκούεις inserui lemma ΝΟΜΟΣ.

(³) A, σοι διαλ. Ed., σοὶ δ.

(⁴) « Illud δὲ, quod post μείζων exciderat, revocavi ». VILL. A, μείζων δέ.

(⁵) A, ἀμοϐή. Idem mendum supra p. 22, n. 4, et p.

(⁶) A et Ed., ἢ... ἐκεῖνον... πέπρακται. Scripsi ἦ cum interrogatione.

(⁷) A, εὔηθες, nitidissime. Ed., ἄηθες.

(⁸) Ed., τρόπον ἕτερον, φονέα...

πράξεις, αἱ γνῶμαι δὲ μᾶλλον τὰς ἐκ τῶν πραγμάτων ποιοῦσιν ἐπωνυμίας· οἷον, ὁ δεῖνα τὸν πλησίον ἀνεῖλεν, οὐ τοῦτο βεβουλευμένος· οὗτος ἀνδροφόνου προσηγορίαν ἐκκλίνει· ἕτερος, ἄλλω (1) τοῦτο μελετήσας, διήμαρτεν· ἐνέχεται τῷ προσρήματι. Ὁ γὰρ, οἷς ἂν ἐγὼ (2) τεθναίην, ταῦτα ποιεῖν ἐγχειρῶν, οὗτος ἀνεῖλεν ἐμὲ, κἂν ἡ τόλμα πέρας μὴ λάβῃ (3).

Βούλομαι δὴ καὶ διὰ πλειόνων παραδειγμάτων τοῦτό σοι παραστῆσαι σαφῶς, ὡς τοῦ κρατοῦντος τὸν φόνον ἡμῖν ἐπιγράφεσθαι χρή.

Εἰ μεμηνότι καὶ πρὸς ἰδίαν ἐπειγομένῳ πληγὴν ξίφος ἐπιδώσω φέρων, ἐγὼ τὸν θάνατον εἴργασμαι· εἰ φιλοχρήματον ἄνδρα, χωρὶς ἀργυρίου πολλοῦ ζῆν οὐ δυνάμενον, ὅλον συλήσω τὸν πλοῦτον, αὐτὴν ἀπεσύλησα τὴν ψυχήν· οὐκοῦν καὶ φιλόστοργον ἀνεῖλον πατέρα, παιδὸς οὗ μὴ φέρει (4) τὴν τελευτὴν ἀποστερήσας·

Καὶ τί μοι δεῖ παραδειγμάτων ἑτέρων; τῶν πολιτῶν ἄλλος ἄλλο τι πεπονθὼς ὑπ' ἐκείνου δεινὸν, ὁ μὲν γενόμενος ἄπαις, ὁ δὲ στερηθεὶς ἀδελφῶν, ἕτερος γύναιον ἀφαιρεθεὶς εὐπρεπὲς, τὴν ἐκ τῆς ἐπιβουλῆς ἀθυμίαν οὐ φέροντες σφᾶς αὐτοὺς διεχρήσαντο. Τίς οὖν ὁ τὴν πρόφασιν δεδωκώς; ὁ κακοπραγίαις περιβαλὼν βιῶναι μὴ συγχωρούσαις. Οὕτως ἡμέτερον ἔργον τῶν τυράννων οἱ φόνοι. Κἂν ἀμφοτέρους μὴ δίδως, ἀρ-

νόμοι. A distinguit plene post ἕτερον.

(1) « Forte ἄλλου, scilicet ἄλλου διήμαρτεν, nisi referatur ad μελετήσας ». VILL.

(2) Ed., ὁ γὰρ ἂν οἷς ἂν ἐγώ.

(3) « Ad marginem hujusce loci legitur in Ῥοδωνιᾷ [Macarii Chrysocephalæ], fol. 102 verso, Δημοσθένι, scilicet Δημοσθενικὸν [ob accentum corrupti vocabuli Δημοσθένι, putaverim voluisse librarium scribere Δημοσθένους], sententia e Demosthene imitatione expressa, nempe e tertia Philippica [§ 17]: ὁ γὰρ οἷς ἂν ἐγὼ φθαρείην [est ληφθείην editum, idque, ut videtur, sine varietate] ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ. Sic in eadem Ῥοδωνιᾷ, f. 81 verso, in hanc Libanii sententiam, excerptam ex τῆς μελέτης ἐν ᾗ τις, τοῦ νόμου μὴ διδόντος, ὅμως ἐπὶ λυσιτελείᾳ δημηγορήσας, εἶτα, τινὸς κατηγορήσαντος, ἀπολογεῖται, quæ sic habet: ὁ γὰρ οἷς ὁ νόμος ἐθέλει τοῖς ἔργοις ὑπηρετῶν, οὗτος ἀκριβῶς τὸν σκοπὸν τοῦ νομοθέτου φυλάττει, κἂν μὴ συμφωνεῖν δοκοίη τοῖς πράγμασιν· in hanc, inquam, sententiam ad marginem videbis: ὅρα κατὰ ζῆλον Δημοσθενικόν ». VILL. In loco Libanii pro πράγμασιν malim γράμμασιν, permutationis memor frequentis.

(4) Legendum φέροι proposui ad An. Græca, t. 4, p. 30.

(5) Ed., ὁ κακοπραγίας περιβαλὼν β. μὴ συγχωρούσας, cum notula Villoisoni: « Male in cod. συγχωρούσαις ». Imo bene in cod. κακοπραγίαις.... συγχωρούσαις.

κεῖ μοι πρὸς δωρεὰν ὁ νέος ἀπολωλώς. Τῆς γὰρ αὐτῆς ἄξιος ἀμοιβῆς τῷ διαφθείραντι τύραννον ὁ μέλλοντα γίνεσθαι κτείνας. Εἰ δὲ μὴ (1) σοβαρώτερον λέγειν, μείζων τούτῳ προσήκει (2) μισθός· ἐπεὶ καὶ τοῖς Ἀσκληπιάδαις (3) μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι (4) νόσον, ἢ παραπεσοῦσαν ἰασαμένοις (5)· τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ παθεῖν αἱρετώτερον. Ἀνέκοψα τοίνυν ἐπιοῦσαν νόσον τῇ πόλει, μακροτέραν, οἶμαι, τῆς προλαβούσης· μακροτέρα γὰρ ἐλπίζεται τυραννὶς, παῖς ἔφηβος, μᾶλλον ἢ πατὴρ ἤδη γεγηρακὼς, τῆς νεότητος πλείονα δυναμένης βίον ἀρκέσαι· δουλεία δὲ πᾶσα (6), χαλεπὸν μὲν ἑκάστῳ, πικρότερον δὲ τῷ σὺν ἐλευθερίᾳ τραφέντι, δυσκολώτατον δὲ τῷ βαρὺν κεκτημένῳ δεσπότην. Ἂν δὲ καὶ πρόσηβος ᾖ, τοῦτο ποῦ θήσομεν ἀδικίας (7);

(1) Ed., εἰ δὲ δεῖ μή. A sine δεῖ, quo non indiget sententia.

(2) Ed., πρόσκειται. A, προσήκει.

(3) « Sic semper vocat medicos post Euripidem in Alcestide v. 970, et alibi passim ». VILL. In Mariæ Laudatione id nomen minus apte adhibuit p. 47, n. 3.

(4) A et Ed., ἀναστέλλουσι. « Medicis morbum instantem arcentibus, aiebat ex Demade Choricius, major gratia debetur quam præsentem quidem sanantibus. Hæc verba Demadis, in Stobæo Serm. 245, usurpat Choricius in Oratione de Tyrannicida, quam nuper mea manu scriptam misi Venetias Cl. *de Villoison*, opera quæ supersunt Choricii brevi edituro ». VILLEBRUNIUS Præf. ad Hippocr. Aphor. Verba sunt Demadis, non in Stobæo, quod quidem noverim, sed in Antonii Sylloge Serm. 146, p. 233 : τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον, ἢ παραπεσοῦσαν ἰασαμένοις · τοῦ γὰρ ἀπηλλάχθαι κακοῦ τὸ μὴ πάσχειν αἱρετώτερον. Mendosum opinor esse Demadis nomen; quæ menda in lemmatibus Stobæi et Antonii sunt frequentia, et Antonium ipsum sententiæ adscripsisse vel Choricii nomen vel nullum. Prorsus enim est incredibile Choricium ipsissima, ne minima quidem facta immutatione, sibi sumsisse Demadis verba. Sophistæ erant imitatores, non sine pudore plagiarii. Vir doctus, qui ante hosce decem annos laboriosum de Demade scripsit libellum, Antonii locum neglexit.

(5) Ed., παραπίπτουσαν, cum hac Villoisoni nota : « Sic edidi e Macario, pro παρήκουσαν ἰασμένοις, quod in cod. Regio. Sic infra restitui αἱρετώτερον pro αἰετώτερον, et μακρότεραν, οἶμαι, pro μακρότεραν οἶμοις ». Est in cod. Regio nitidissime, παραπεσοῦσαν ἰασαμένοις.

(6) « Sic restitui pro δουλεία δὲ πᾶσι [quod in cod.], ubi prorsus inutile πασῖ, quum sequatur ἑκάστῳ ». VILL.

(7) « Forte ἀτυχίας ». VILL. Conjectura probabilissima. De formula ποῦ θήσομεν vide notata ad Anecd. Nova, p. 255. Theodorus Prodr., Dissert. De sap. p. 13: Διογένη ποῦ γ' ἂν θῶμεν τὸν κύνα, πενίαν λαχόντα φιλοσοφίας διδάσκαλον; Aristides Orat. 54, p. 652 : ὅταν τις... ταῦτα γράφειν καὶ νομοθετεῖν ἐκ περιουσίας αἱρεῖται, ποῦ τουτονὶ θήσομεν; Legendum αἱρῆται, propter ὅταν.

Εἰ δὲ τύραννον μὴ καλεῖν ἀξιοῖς τὸν οὔπω τοῦτο γενόμενον, ἐπιλέλησαι τῶν ἄρτι λεχθέντων, ἐν οἷς αἱ προαιρέσεις ἐδείκνυντο τὰς ἐκ τῶν πραγμάτων ποιοῦσαι προσηγορίας· ἄλλως τε ὅταν ἡλικίαν ἄγῃ τις ἱκανὴν ἤδη πράγμασι χρήσασθαι, κἂν τύχῃ τραφεὶς ὑπὸ πανούργῳ πατρὶ (1) δεινῷ πολιτείαν καινοτομῆσαι.

Ἀλλὰ, νὴ Δία, ταῦτα μὲν ἴσως εὖ ἔχειν κατανεύσειεν ἄν· ἑτέραν δὲ τοιαύτην ἐπάγει μοι προσβολήν. « Ἆθλα » φησί « κινδύνων αἱ δωρεαί· σὺ δὲ λίαν εὐκόλως τὰ γεγονότα κατώρθωσας, ἀφυλάκτου τῆς ἀκροπόλεως οὔσης, τῶν ὑπηκόων ῥαθύμως φρουρούντων (2), οἷον εἰκὸς ἐν ἀπουσίᾳ δεσπότου ».

Σὺ μὲν οὕτω μακρὰ καὶ ποικίλα ῥήματα πλέκεις· ὁ δὲ νόμος ἁπλοῦν καὶ βραχὺν ἔφη μοι λόγον· « Ὃν ἂν δύναιο τρόπον, ἀμύνου τὸν τύραννον, καὶ λήψῃ τὸ γέρας »· εἰκότως. Δεῖ γὰρ (3) τοὺς ἀγαθοὺς ἄνδρας ἐγχειρεῖν μὲν ἅπασι τοῖς ὑπὲρ τῆς κοινῆς ὠφελείας κινδύνοις, πειρᾶσθαι δὲ τούτους, ὡς ἔνεστι, κατορθοῦν. Οὐ πώποτε, πρὸς θεῶν, ἐπολέμησας (4); ἔοικας ἄνανδρος εἶναι. Οὐ πώποτε στρατιώτας εἶδες συμπλεκομένους; οὐδὲ θέαν ἴσως φέρεις πολέμου. Ἀθλητῶν οὐ γέγονας θεατής; οὗτοι παρὰ τὸν ἀγῶνα τῆς πάλης, ἑκάτερος ἐντεῦθεν πειρᾶται νικᾷν τὸν ἀντίπαλον, ὅθεν (5) ἑαυτῷ σύνοιδε πλείονα τέχνην. Οὕτω καὶ πολεμοῦντες (ἀκοὴν γάρ, οἶμαι, φέρεις πολέμου) τοὺς ἐναντίους χειρούμεθα, νῦν μὲν πλήθει παρασκευῆς (6) νῦν δὲ μείζονι ῥώμῃ, πολλάκις χωρίων ἰσχύι, πολλάκις ἀπάτῃ καὶ δόλῳ· αἱ δὲ τοῦ πολέμου κλοπαὶ διπλοῦν ἄγουσι κέρδος, ἀσφάλειάν τε, καὶ νίκην ἐνδοξοτέραν τῆς ἀλογίστῳ θρασύτητι προβαινούσης (7). Τῶν μὲν γὰρ ἄνευ λογισμοῦ κατορθουμένων (8) τὴν πρόφασιν εἰς εὐτυχῆ προπέτειαν ἀναφέρομεν· τὴν δὲ τῶν συν-

(1) De locutione τρέφεσθαι ὑπό τινι, p. 3, n. 2.

(2) « Restitui φρουρούντων pro φρουροῦντας, quod in cod., et supra κατώρθωσας pro κατορθώσας ». VILL. In cod. est κατόρθωσας. Cf. p. 54.

(3) « Hic restitui δεῖ pro εἰ et infra ἔνεστι pro ἔεστι ». VILL. Est δεῖ in A.

(4) Ed., οὔπω ποτὲ, πρ. θ., ἐπολέμησας. A, οὐ πώποτε πρ. θ. ἐπολέμησας; sic statim Ed., et sic rursus A, cum interrogatione.

(5) « Sic restitui pro ὅταν, quod in codice ». VILL. Est nitide ὅθεν in cod.

(6) Ed., παρασκευῆς. A, παρα σκλῆς.

(7) Videtur legendum, προβαινούσης ἀνδρίας.

(8) Ed., κατορθωμένων. A, κατορθουμένων.

έσει πραττομένων αἰτίαν (1), ὅλην, ὡς εἰπεῖν, ἀνατίθεμεν τῷ δεδρακότι.

Ἀλλὰ μὴν (2) αὐτοὺς ἀεὶ τοὺς τυραννεῖν βουλομένους ὁρῶμεν ἀκινδύνως, ὡς ἔνεστιν, ὑποκλέπτοντας τὴν ἀρχήν· οὐδεὶς γὰρ δή που, συγκαλέσας τὸ πλῆθος, ἐπὶ τῆς ἐκκλησίας ἀποδύεται τὴν διάνοιαν (3)· ἀλλὰ γνώμην τυραννικὴν δημοτικῷ προσχήματι κρύπτων, εἴ που λάβοιτο κοινῆς ἑορτῆς ἤ τινος ἄλλου καιροῦ ποιοῦντος ὑπτίαν τὴν πόλιν (4), τὴν ἁπάντων ῥᾳστώνην ἐπικουρίαν εὑρὼν, εἰς ἔργον ἐκφέρει τὸ κεκρυμμένον, ὥστε τὸν δῆμον ὁμοῦ τε τῆς δουλείας αἰσθάνεσθαι καὶ δουλεύειν. Τί οὖν, ὦ βέλτιστε, σὺ φαίης ἂν ἐκεῖνον μὴ χρῆναι κολάζειν, ὅτι τοὺς ἐνοικοῦντας, ἀφυλάκτοις ἐπιπεσὼν (5), ἐχειρώσατο; εἰ γὰρ ὁ πράξας τι καλὸν ἀσφαλῶς ἀνάξιος δωρεᾶς, οὐδὲ τιμωρίας ἄξιος ὁ μὴ προπετῶς ἀδικῶν.

Πλὴν, ἐπειδὴ φιλοκίνδυνος εἶ τῷ λόγῳ, φέρε σοι δείξω μετὰ κινδύνου (6) πραχθὲν ἐμοὶ τὸ κατόρθωμα. Ἀνὴρ, εἰπέ μοι, δημοτικὸς εἰς μέσους ἐμβαλὼν δορυφόρους, ὅπως τὸν ἐκείνων ἀποκτείνῃ δεσπότην, ἀσφαλῆ μετελθεῖν ἀγῶνά σοι φαίνεται; ὅρα μὴ θράσος ἡμῖν ἐγκαλέσαι ζητῇς. Ποῖος γὰρ οὕτω σοι δοκεῖ (7) βασιλεὺς, καὶ ταῦτά γε τύραννος, εὐκαταφρόνητος εἶναι τοῖς ἀρχομένοις, ὡς ἄχρι τοῦ παρεῖναι τιμᾶσθαι; οὐκ οἶσθα ὅτι, κἂν θεράπων ὑφορᾶται δεσπότην, κἂν ὑπήκοος ἄρχοντα, τὴν αὐτὴν, ὡς εἰπεῖν, ἀπόντος ἔχει φροντίδα τῇ φαντασίᾳ τῆς παρουσίας, καὶ δοκεῖ πως ἐκεῖνον ὁρᾷν (8) παρεστῶτα, τότε μᾶλλον αὐτὸν ἥξειν ὑπονοῶν,

(1) Ed., τῶν δὲ τῇ συνέσει πρ. τὴν αἰτίαν. A, τὴν δὲ τῶν συν. πρ. τὴν αἰτ. Delevi posterius τὴν.

(2) Ed., μέν. A, μήν.

(3) « *In concione mentem suam denudat*; nisi legatur ἐπὶ τὴν ἐκκλησίαν, quod referretur ad συγκαλέσας ». VILL.

(4) Asclepiadi Anth. 5, 203, ὕπτιος ἵππος est, interprete Suida, ὁ ἄπρακτος. Intelligendum πόλις ὑπτία de urbe curis soluta, quæ, veluti somno resupina, est insultibus obnoxia; quæ, veluti supina, oscitat secure.

(5) Ed., ἀφυλάκτως περιπεσών. A, ut edidi.

(6) Ed., φέρε, σοὶ δείξομαι μετὰ κινδύνου, cum nota Villoisoni: « Sic restitui pro τὰ κινδύνου, quod in codice ». Codex: φέρε σοι δείξωμαι τὰ κινδύνου. Visum est scribere δείξω μετὰ κ., quum μαι sit permutatio solita syllabæ με. Statim A, κατόρθωμα. Ed., πρᾶγμα. De hoc Villebrunii lapsu monui ad Anecd. Gr., t. 2, p. 345, ubi male πράγματι mendum irrepsit pro πρᾶγμα.

(7) Ed., δοκεῖ σοι. A, σοι δοκεῖ.

(8) Ed., ὁρῶν. A, ὁρᾷν. Memini forte Themistiani loci Or. 14, p. 224, 28, in quo verbum illud ὁρᾷν habet nonnihil offensionis: δίκαιος εἶ μηδὲν ἄλλο ὁρᾷν, ἀλλ' ἐπιδεικνύναι πᾶσιν ἀνθρώποις ὅτι ἡ

ἡνίκα τι παροινεῖ, τῆς τοῦ δέους ὑπερβολῆς οὕτως ἐπιτρεπούσης φρονεῖν; ἔνιοι δὲ καὶ σπουδαιότερον (1) παρὰ τὴν ἀπουσίαν τῶν κεκτημένων, ἵνα τρόπῳ μᾶλλον ἢ φόβῳ χρήσιμοι δόξωσιν εἶναι.

Καὶ τί δεῖ μακρολογεῖν; τῆς ἐκείνου γονῆς ἐν ἀκροπόλει τότε παρούσης, πῶς οὖν ὀλιγώρως εἶχε τὰ τῶν ὑπηκόων, πάντως που δεδιότων τὰς τοῦ νεανίσκου πρὸς τὸν πατέρα διαβολάς (2); ὑπὸ γὰρ ἐμφύτου φιλοτιμίας οὐκ οἶδε (3) σιγῇ καρτερεῖν ἡ νεότης ἀμελουμένη· ὁ δὲ καὶ μόνος ὢν τῷ πατρὶ καὶ τρυφῇ πολλῇ τεθραμμένος, εἰ μὴ πλείστης ἀπέλαυσε θεραπείας τε καὶ σπουδῆς, ἀνῆγεν ἂν ἐπὶ τοῦτον. Τί δέ; παῖς (4) οὐ πείθει πατέρα διαβάλλων οἰκέτας, ἄλλως τε καὶ πυνθανόμενον, ὡς εἰκός, μή τις ἐλύπησε, μή τις παρεῖδεν; ἐκ δὲ τοσαύτης κολακείας οἱ παῖδες ἐξάγονταί τι καὶ παραψεύδεσθαι. Τὸ δὲ μέγιστον, ὁ καιρὸς ὅτε τὴν ἄνοδον ἐς ἀκρόπολιν ἐποιούμην (5) ἀπῄτει μηδαμῶς αὐτοὺς ῥᾳθυμεῖν. Ἦν γάρ, ἡνίκα τῷ (6) τυράννῳ σύνηθες ἦν αὐτόθι διάγειν, εἴ ποθεν (7) ἔτυχεν ὁ νέος παρών, εἰωθὼς τὰ πολλὰ τῷ τεκόντι συνεῖναι· ὥστε πολλὴν ἐπιμέλειαν εἶχον, τοῦ μὲν ἤδη παρόντος, τοῦ δὲ θαυμάζειν ποιοῦντος ὅτι μηδέ που (8) παρῆν. Χωρὶς δὲ τούτων, εἰ μὲν οὐκ ἠγάπητο

μὲν ἀρετή σε ἐποίησεν αὐτοκράτορα. Mihi placet valde, quod reperi in apographo Ambrosiani, δρᾷν.

(1) Ed., φρονεῖν · ἔνιοι δὲ καὶ σπουδαιότεροι. A, φρονεῖν; ἔ. δ. κ. σπουδαιότερον.

(2) Ed., μακρολογεῖν, τῆς... παρούσης; A, μακρολογεῖν,... παρούσης. Divisi aliter. Pro πῶς οὖν malim πῶς ἄν. Villoisonus putabat se restituisse τάς, « quod in cod. deerat ». Deerat tantum, in apographo Villebrunii.

(3) Ed., οἶδε. A, εἶδε.

(4) A et Ed., τί δὲ παῖς. Distinxi melius.

(5) Ed., ἐποιησάμην, cum notula Villoisoni : « Male in cod ἐποιάμην ». Scripsi, ἐποιούμην, quod est revera in codice. Sed syllaba ού eo modo exarata est, ut ad ά accedat proxime. Infra Villoisonus monet de scriptura codicis ἐμπιπτάσης, ubi ipse videre mihi videor ἐμπιπτούσης. Articulus τοὺς fol. 120, 7, verso legendum esset omnino τάς, ni superimposita puncta duo adesse hypsilon declararent.

(6) Ed. sine τῷ.

(7) A et Ed., ἢ πόθεν. Correxi εἴ ποθεν. Passim hæc permutatio obtinet vocalium η ει. Symeon Sethi Ichnel., p. 36 : περίδηλος καὶ περίτρομος γεγονώς. Iterum, p. 70 : τῷ φόβῳ τοῦ θηρεύοντος περίδηλοι ὁσημέραι διατελοῦμεν. Rescribendum περίδειλος, περίδειλοι, quem sensum exhibet Starkii interpretatio. Nec servanda videtur edita lectio, p. 404 : ἐλευθέριος ἀνὴρ οὐ μεταλλάττει τὸν τρόπον, οὔτε μέν [immo μὴν] τῆς φιλίας καταφρονεῖ, εἰ περίδηλος περὶ αὐτοῦ γενήσεται. Vertit Starkius : « si hæc ei sit satis explorata ». Legerim περίδειλος π. αὐτοῦ γεν., ac verterim : « si pro se metuet ». Recta est vocabuli scriptura, p. 166 : ὁ Στεφανίτης περίλυπος ὁμοῦ καὶ περίδειλος ἀπαλλαχθείς.

(8) A, μηδέ που. Ed., μηδέπως.

τῷ πατρί (τίς δὲ παῖς οὐ πεφίληται τῷ πατρί;), πλὴν εἴ τις τοῦτο βιάσαιτο, ἴσως ἂν ὀλίγον (¹) ἔμελεν ἐκείνου τοῖς ὑπηκόοις· νῦν δὲ πῶς ἐπεχείρουν ἐν ἀμελείᾳ ποιεῖσθαι τὸν οὐ μετρίως τῷ κρατοῦντι κεχαρισμένον; οὐ γὰρ ἂν ἐπαποθανεῖν εἵλετο τῷ τεθνεῶτι (²).

Μικροῦ με παρῆλθε τοῦ τυράννου τὸ γύναιον, ἐν ἀκροπόλει συνδιάγουσα τῷ παιδί· βαρεῖα δὲ μάλιστα δούλοις γυνὴ (³), μὴ παρόντος ἀνδρὸς, βοῶσά τε καὶ λοιδοροῦσα, καὶ πᾶν ὁτιοῦν προστάξειεν ὀξέως βουλομένη πληροῦσθαι· κἄν τι παρημελημένον θεάσηται, τοῦτο πρὸς τὸν σύνοικον ἀναφέρει, καὶ τὴν ἐκείνου φησὶ (⁴) θεραπείαν τοὺς οἰκέτας ὑπεριδεῖν, εὐνοίᾳ μὲν δῆθεν (⁵) τῇ περὶ τοῦτον· θυμουμένη δὲ μᾶλλον ὅτι τοῖς αὐτῆς οὐ διηκόνησαν (⁶) ἐπιτάγμασιν, τοιαῦτα διαβάλλει, καὶ διαβάλλουσα πείθει, καὶ μὴ πείθουσα (⁷) πάντα κινεῖ. Ταῦτα, κατὰ νοῦν αὐτοῖς εἰσιόντα, πολλὴν ἐποίει τῆς φυλακῆς πρόνοιαν ἔχειν (⁸).

Τί οὖν, ὦ παρόντες, πάλιν σοφίζεται (⁹); « Τὸ σὸν μέρος » φησίν, « ὠμοτέραν ὑπέμεινε (¹⁰) δουλείαν ἡ πόλις, τῇ τοῦ παιδὸς τελευτῇ τὸν τύραννον ἐρεθίσαντος (¹¹). Τίς γὰρ ἂν ἤνεγκε τοῦτον, εἰ προσέθηκε τῇ

(¹) « Sic restitui pro ὀλίγων, quod in codice ». VILL.; qui statim edidit ὑπηκόοις; cum interrogatione, quæ non est in A.

(²) A, εἷλετὸ τεθνεότι. Villoisonus, vel Villebrunius, mendum correxit tacite.

(³) Ed., ἡ γυνή. Mox, ὅτι οὖν.

(⁴) Villoisonus, qui hoc verbo, φησὶ, carebat quod Villebrunius male omiserat, adscripsit ad ὑπεριδεῖν: « Subauditur λέγει, vel pendet ab ἀναφέρει. Infra male in cod. εὐιοία pro εὐνοίᾳ ».

(⁵) « Jos. Scaliger in primis Scaligeranis, p. 80, t. 2, ed. Amstel. 1740: δῆθεν ponitur quotiescumque aliquid falso dicitur (ut hic); aliquando apud Ciceronem et Propertium per *scilicet* exponitur; quod hactenus ignoratum fuerat ». VILL.

(⁶) Ed., διηκόνησαν. A, διηκόνησεν.

(⁷) Apta est repetitio διαβάλλει διαβάλλουσα, πείθει πείθουσα. Themistius Or. 27, p. 401, 12: ἄλλο μὲν ἴσως οὐδὲν οὔτε ἐγκαλῶν, οὔτε ἔχων. Malim et hic repeti verbum: ἄλλο μὲν οὐδὲν οὔτε ἐγκαλῶν, οὔτε ἐγκαλεῖν ἔχων.

(⁸) A, ὄχειν, nisi dicendum potius ε ita esse formatum, ut ad ο accedat. Conf. p. 56, n. 11.

(⁹) Ed., σοφίζεται. A, σοφίζεσθαι.

(¹⁰) Forsan deest ἄν, cui ultima adjectivi ὠμοτέραν syllaba nocuerit; forsan et perierit ob exilitatem. Themistius Or., p. 33, 19: ὁ γὰρ μέγα καὶ πάμμεγα εἴπω. Codex mihi obtulit ἂν reponendum post γάρ.

(¹¹) « Hic deest σοῦ, ut sit σοῦ τῷ τοῦ π. τελ. τὸν. τύρ. ἐρεθίσαντος ». VILL. Non deest σοῦ, quod ex verbis τὸ σὸν intelligendum, quasi foret scriptum τό σου μέρος ἐρεθίσαντος. Qui dicendi modus Græcis frequentatur et Latinis. Euripides Phœn., 1535: μονομάτορος ὀδυρμοῖς ἐμοῖς. Ibi Apitz. Euripides rursus Suppl. 931: τὸν ἐμὸν μόχθον

κατὰ φύσιν ὀργῇ τὸν ἐφ'οἷς ὑπέστη θυμόν; Ἐν τούτοις (¹) ὅλην ἐκδίδομεν τὴν διάνοιαν λύπαις ».

Εἰ μὲν οὖν ἐνῆν ἀναλαβεῖν τὸν υἱὸν καὶ πάλιν γενέσθαι πατέρα, πάντως ἐπειρᾶτο τὸ ποθούμενον κατορθῶσαι · γενόμενος δὲ μεστὸς ἀθυμίας, οὐκ ἐχώρει φροντίδα μηχανωμένην ὅπως λήψεται δίκην. Ἅπαν μὲν γὰρ ἡ φύσις παιδίον ὡραῖόν τε καὶ γέμον χαρίτων ὑποδείκνυσι τῷ πατρί (²). Εἰ δὲ καὶ τύχοι μόνον τεχθὲν, ἔτι μᾶλλον αὐτὸ καλλωπίζει τε καὶ κοσμεῖ · εἰ δὲ καὶ τεθνηκὸς, τότε δὴ τοὺς γονεῖς εἰς ἄκρον εὐνοίας ἐκμαίνει. Τὸ δὲ αἴτιον · ἔτι μὲν ζῶντες οἱ παῖδες πολλὰ μὲν εὐφραίνουσι τοὺς τεκόντας, πολλὰ δέ που καὶ ἀνιῶσι, τὰ μὲν οἷ' ἂν τὸ νέον ἁμαρτάνοι (³) διαπραττόμενοι, τὰ δὲ ποικίλοις περιπίπτοντες πάθεσι · λαχόντων δὲ πέρας τοῦ βίου, τῶν μὲν λελυπηκότων οὐδὲν οἱ γονεῖς, μόνα δὲ τῶν παίδων τὰ τερπνὰ λογιζόμενοι, δεινῶς ἀποδύρονται (⁴). Τίνας οὖν οἴεσθε (⁵) τὸν οὕτω δυστυχῶς διακείμενον ἀφεῖναι (⁶) φωνάς; ἢ δῆλον ὅτι τὸν ἀπελθόντα φιλοστόργοις ἐκάλει προσηγορίαις, τὸν παῖδα, τὸν μόνον, τὸν φίλτατον, τὸν γηροτρόφον ἐπονομάζων, τὸν μετὰ βραχὺ νυμφίον, μετὰ βραχὺ δὲ παίδων πατέρα. Οἷα γὰρ ἐφ' ἑνὶ μόνῳ σαλεύων (⁷) τὸν βίον, ἤδη μνηστείαν αὐτῷ παρασκευάσας ἐτύγχανε, καὶ τοὺς

ἀθλίας. Sic et El. 864 : πόσις ἐμὸς τῆς ἀθλίας. Ibi Fixius. Anthologia Pal. 1, 62 : Λάρνακι χρυσείῃ ῥόος εἴκαθεν · ἵλαθι, Χριστέ. Σὸς τύπος ἡ λάρναξ τῇδε λοεσσομένου. Recipio, pro vulgato λοεσσόμενον, Jacobsii conjecturam, qui et exemplis illustravit σὸς λοεσσομένου. Nic. Chumnus in meis Anecdotis Nov., p. 157, veterum imitator : τὴν ἐμὴν γλῶτταν, εὖ μάλα βουλομένου ταύτην κινεῖν. Cicero Planciana, 10 : « cui *meum* nomen *absentis* honori fuisset, ei *meas præsentis* preces non putas profuisse »? Ibi interpres in Lemariana. Hrotsvitha, Sapientia p. 418 : « cede mei hortamentis paterno affectu tibi consulentis ». Dignior muliere eruditissima lectio codicis « meis ».

(¹) Hanc sententiam, ἐν τ... λύπαις, contribui objectioni, quam finiebat Villoisonus in nomine θυμόν. Et tamen non videtur locus integer.

(²) « Idem Choricius Orat. fun. in Procopium, p. 857, t. 8 Bibl. Græcæ Fabr. [supra p. 19] : φύσει γὰρ ἅπασιν ἥδιστον πάντων παῖδες ». VILL.

(³) Ed., τὰ μὲν οἷ' ἂν τὸ νέον ἁμαρτάνει. A habet quod scripsi. Est τὸ νέον idem atque ἡ νεότης. Euripides Ione 545 : μωρίᾳ γε τοῦ νέου. Glossator, τῆς νεότητος.

(⁴) « Sic in Ῥοδωνιᾷ [Macarii Chrysocephalæ]. Male in cod. Reg. ἀποδείρονται ». VILL.

(⁵) Ed., οἴεσθε. A, οἴεσθαι.

(⁶) « Male in cod. ἀφεῖναι ». VILL., qui edidit ἀφιέναι, ac statim ἢ δῆλον. A, ἢ δῆλον.

(⁷) Ed. sine μόνῳ. Est quidem inferius in Laudatione Marciani :

γάμους, φασὶ, μικρὸν ὕστερον τελεῖν ἐβουλεύετο· ἐπειγόμενος δηλαδὴ πατέρα τὸν παῖδα θεάσασθαι, ὅπως αὐτῷ τῆς παιδοποιίας τὴν ἔνδειαν ἢ τῶν ἐγγόνων (1) ἀναπληρώσῃ προσθήκῃ. Αἷς τοίνυν ἀπέλαυεν εὐφροσύναις ἃς προσεδόκα συναριθμῶν, διπλάσιον ἑαυτῷ τὸ πένθος ἐποίει. Ὅθεν ἐκάλει τὸν τεθνεῶτα καὶ τοῖς ἐκ τῶν ἐλπίδων ὀνόμασιν, ὑφ᾽ ὧν ἀποπλανώμενος τὴν διάνοιαν, οὐ τὸν υἱὸν ἐδάκρυε μόνον, ἀλλ᾽ ἤδη καὶ τοὺς ἐγγόνους. Ὃν οὖν ἡ προσδοκία πάππον ἐποίησεν, οὗτος οὐδὲ πατὴρ ἔμεινε δι᾽ ἐμέ. Οὐκοῦν ὅλην οἰκίαν τυραννικὴν ἀκριβεῖ λόγῳ καθεῖλον, τοῦ μὲν ἀφελὼν τὴν ἀρχὴν, τὸν δὲ κρατεῖν οὐκ ἐάσας, τοὺς δὲ κωλύσας εἰς βίον, ὡς εἰκὸς, προελθεῖν.

Τοσαῦτα παθὼν ἐξαίφνης (2), εἰκότως οὐκ ἤνεγκε, τὸν μὲν ἐλεεινῶς ἐῤῥιμμένον ἰδὼν (3), παρακαθημένην δὲ τῷ νεκρῷ καὶ κοπτομένην τὴν γυναῖκα τὴν ἑαυτοῦ. Ἦπου καὶ ἀνέμνησαν ἀλλήλους ἀμφότεροι τὴν ἰδίαν ἐπιθυμίαν, ὡς ἠράσθησαν παῖδα λαχεῖν καὶ γενόμενον θρέψαι καὶ ζῶντα καταλιπεῖν, ὡς αἱ πᾶσαι προῆλθον ἐλπίδες αὐτοῖς, ἄνευ τῆς μεγίστης καὶ τελευταίας. Ἐπὶ τούτοις, οἶμαι, τὸν μετὰ ταῦτα χρόνον ἀνελογίζοντο, καὶ πανταχόθεν ὀδυνηρὸν αὐτοῖς (4) καθεώρων. Τοῖς γὰρ οὕτω διακειμένοις εἴτε τῶν ἀνιώντων (5), εἴτε τῶν ἡδέων τι γενοιτο, δακρύων ἑκάτερον γίνεται πρόφασις. Λύπης μὲν γὰρ ἐμπιπτούσης, ἄχθονται, λαμβάνοντες κατὰ νοῦν ὅπως αὐτοὺς εἰώθει ψυχαγωγεῖν· παρατυχούσης

γυνὴ σαλεύουσα τὰς ἐλπίδας ἐπὶ μόνῳ παιδί. Sed non raro junguntur εἷς μόνος. Confer. p. 70, 14. Isocrates Archid. 23 : εἷς μόνος Λακεδαιμόνιος. Idem Epistola. extr. 4 : ἑνὸς μόνου ἐφρόντισα. Æschines Ctes., § 121 : πρὶν περὶ συμμαχίας μίαν μόνην συλλαβὴν γράψαι Δημοσθένην. Lycurgus Leocr., § 184 : οὐ τοῦτο λογιεῖσθε, εἰ εἷς ἐστι μόνος ὁ ἄνθρωπος. Plato, Symp., c. 10 : ἄλλη μία μόνη δουλεία. Ibi Thiersh. Specim., p. 47. Dicunt et εἷς καὶ μόνος. Lucianus Pseud. 15 : ἓν γὰρ τοῦτο καὶ μόνον τοὔνομα · qui 21 : εἷς μόνος ἂν ἐπίστευσέ σοι. Theodorus Prodr. Rhod. 3, p. 129 : Εἰ γοῦν μίαν μοι καὶ μόνην δώσεις χάριν · et p. 142. Horat., 1 Epist. 6 : « Nil admirari prope res est *una*, Numici, *Solaque* ». Dicunt Latini etiam *unus solus*, monstrante Thiershio.

(1) Ed., ἐκγόνων, A, ἐγκόνων. Scripsi ἐγγόνων. Mox Ed. ἐκγόνους, quum sit ἐγγόνους in A. Conf. pag. 66.

(2) Male in cod. ἐξέφνης, ut supra ἀποπλανόμενος et ἐδάκρις pro ἀποπλανώμενος et ἐδάκρυε ». VILL.

(3) Male in cod. τοῦ μὲν ἐλεεινῶς ἐῤῥιγμένον, et infra ἀφότεροι pro ἀμφότεροι ». VILL. A, τὸν μὲν ἐλ. ἐρριγμένον ἰδήν.

(4) Ed., αὐτοῖς. A, αὐτοῖς.

(5) « Sic restitui pro ἀνιόντων ». VILL. Et male scriptum est id verbum in Symeonis Sethi Ichnelate p. 14 : δόξης ἐφίεσθαι δεῖ εὐ—

δέ τινος ἡδονῆς, εἴπερ ἄρα συμβαίνει τοὺς οὕτως ἔχοντας ἥδεσθαι, πάλιν ἀλγοῦσιν, ἐνθυμηθέντες (¹) ὅση τις ἔμελλεν (²) εἶναι, κοινωνοῦντος ἐκείνου.

Ταῦτα κατέστησεν ἀήττητον ἐκείνῳ τὸ πάθος· τούτοις αὐτὸν ἀπεκτείναμεν. Εἰ μὲν γὰρ παράδοξον ἦν αὐτόχειρα γεγενῆσθαι (οὐ γάρ, οὔ τινος τῶν ὑπ' αυτῷ τεταγμένων ἀνῃρημένου (³) τοῦτο πεποίηκεν), ἀλόγως ἂν ᾔτουν, εἴπερ ᾔτουν, τὴν δωρεάν· τῶν γὰρ ἐκ τοῦ παραλόγου συμβεβηκότων μισθὸν ἀπαιτεῖν οὐ προσήκει· ἐπὶ δὲ τοῖς ὑπ' ἐμοῦ γενομένοις οὐκ ἀνάρμοστον τὸ πραχθέν. Ἄτοπον δ' ἂν εἴη καὶ γέμον αἰσχύνης πρώτην ἐκκλησίαν δημοτικὴν ἀγνωμοσύνην χειροτονῆσαι, καὶ ταῦτα πρὸς εὐεργέτην καὶ ὑφ' ὅτου συνέστη.

Καὶ μή τι θαυμάσῃς, εἰ, περὶ τοὺς ἄλλους (⁴) ἐκεῖνος ἀπάνθρωπος ὤν, ὑπερεφίλει τὸν παῖδα. Πλεῖστον γὰρ ὅσον ἡμερότητι διαφέροντες τῶν θηρίων, πλέον οὐδὲν ἐκείνων ἐν τούτῳ κεκτήμεθα, τρεφόντων ἡδέως τὰς οἰκείας γονάς, φρουρούντων (⁵) ἐπιμελῶς μὴ θηρευταῖς περιπέσωσιν. Ἦν οὖν ἐκεῖνος τοῖς ἄλλοις μὲν τύραννος, τῇ γονῇ δὲ πατήρ.

Ἀκούω σε τοίνυν περιϊόντα πυνθάνεσθαι, καὶ συλλέγειν τοὺς ὑπ' ἐκείνου τέκνων ἐστερημένους, ὅσοι τοῦτο (⁶) παθόντες ἑαυτοὺς οὐ διέφθειραν, καὶ μέλλειν ὀνόματί μοι τούτους ἀπαριθμήσαντα (⁷) λέγειν, ὡς, εἰ τούτων ἐκεῖνος τὴν καρτερίαν ἐζήλωσεν, ἦν ἂν τραχύτερος τῇ πόλει τὸ κατ' ἐμέ.

Τί οὖν κωλύει τινὰ τὴν σὴν φιλονεικίαν μιμούμενον, κατάλογον τῶν ἑαυτοὺς ἀνῃρηκότων ποιήσασθαι, καὶ διὰ τούτων ὡς ἀφόρητον γονεῦσι πάθος παῖδας ἀποβάλλειν δεικνύναι; Ἀλλὰ τοῦτο μὲν ἕτερος ἂν ἐποίησε

φραινούσης μὲν τοὺς φίλους, ἀνιούσης δὲ τοὺς ἐχθρούς· imo ἀνιώσης.

(¹) « Male in cod. ἐνθυμηθέντως». VILL.

(²) « Male in cod. ἔμελεν ». VILL. Et sic non semel.

(³) Ed., γεγενῆσθαί οἱ, ἢ, εἴ τινος τῶν...... ἀνῃρημένου· cum notula Villoisoni : « Sic restitui pro γεγενῆσθαι, οἱ γὰρ εἴ τινος... ἀνακρημένου, quod in codice ». VILL. Est in cod., γεγενῆσθαι οἱ γαρ οἵτινος τῶν.... ανακρημένου. Correxi, saltem correctionem tentavi. Quam fecit editor sententiam, non capio.

(⁴) Ed., ἀλλήλους. A, ἄλλους. Conf. p. 24, n. 4; p. 69, 3. Mox ἡμερότητι omissum in editione.

(⁵) Ed., καὶ φρουρούντων, cum notula Villoisoni : « Restitui illud καὶ in cod. omissum ».

(⁶) « Forte quis mallet ταὐτό, Sed et τοῦτο retineri potest ». VILL. Conf. p. 68, 20; 141, 19.

(⁷) « Sic restitui pro ἀπαριθμήσαντι, quod in codice; ubi et male infra καρτηρίαν pro καρτερίαν » VILL. Est καρτερίαν in codice.

δύσερις· ἐμοὶ δέ πως δοκεῖ διαλῦσαι τὸν λόγον. Οὐ τὴν ἴσην ἐγκράτειαν ἀτυχῶν (1) ἰδιώτης ἔχει καὶ τύραννος· αἱ γὰρ εἰς ἄκρον εὐπραξίαι ταῖς ἐσχάταις παραβαλλόμεναι (2) συμφοραῖς, καὶ πολὺ ποιοῦσαι φανῆναι τὸ μέσον, οὐκ ἐῶσι τὰ δυσχερῆ φέρειν γενναίως. Τοῦτο πᾶσι μέν, ὡς εἰπεῖν, τοῖς ἐν εὐτυχίᾳ παρέπεται, μάλιστα δὲ τοῖς παρὰ τὴν ἀξίαν εὖ πράττουσιν· ἅπας δὲ τύραννος ἄλογόν ἐστιν εὐτύχημα. Οἱ δὲ τοιοῦτοι ῥᾳδίως ἀναπτερούμενοι τὴν διάνοιαν, ὡσπερεὶ συνθήκας ἐκ τῆς Τύχης λαβόντες τοῦ βεβαίως αὐτοῖς ὡς βούλονται παραμένειν, ἐπειδάν τι γένηται δύσκολον (3), ὡς παραβαινόμενοι δάκνονται. Ἔτι τοίνυν οἱ μὲν ὑπ' ἐκείνου (4) τι πάσχοντες οὐδένα δή που τῶν ἄλλων ἐπιχαίροντα σφίσιν ἑώρων· ὁ δὲ πᾶσαν ἐγίνωσκεν ἑαυτῷ τὴν πόλιν ἐφηδομένην, ὥστε τῇ λύπῃ προσθήκην γενέσθαι τὴν τῶν ἐχθρῶν ἡδονήν. Καὶ τοῖς μὲν ἄλλοις οὐ πάνυ τι (5) προσδοκίας ἐκτὸς ἐγεγόνει τὰ δρώμενα· τί γὰρ ἀνέλπιστον ἐν τυραννίδι κακόν (6); ἐκείνῳ δὲ παρὰ πᾶσαν ἐλπίδα συνέβη. Τίς γὰρ ἂν ᾠήθη τοσαύτην ὑφ' ἑνὸς ἀνδρὸς ἐπιβουλεύεσθαι δυναστείαν; ἡδονὴ δὲ καὶ λύπη, μείζων ἑκατέρα δοκεῖ παρὰ προσδοκίαν ἐκβαίνουσα.

Ἀλλὰ μὴν (7) κἀκεῖνό που δῆλον ὅτι ῥᾷον ἀεὶ τὴν τῶν κρατούντων ἀνεχόμεθα βίαν ἢ τὴν ἐπήρειαν τῶν ἐλαττόνων. Ἄνευ δὲ τούτων, τοὺς πένθει πιεζομένους ὅσοι πειρῶνται ψυχαγωγεῖν, οὐχ ὅταν τινὰς τὴν ἀξίαν ἐλάττους ἀποδεικνύωσιν εἶναι παθόντας τοῦτο, παραμυθοῦνται·

(1) Ed., ἀτυχῶν, cum notula Villoisoni : « Sic emendavi e Macario, pro τυχὼν quod in codice ». Est τυχῶν in codice.

(2) Ed. et A, περιβαλλόμεναι « Macarius habet παραβαλλόμεναι ». VILL. Idque recepi. Mox Ed., μάλιστα δὲ παρὰ, omisso articulo τοῖς.

(3) « Apud Macarium omissum est δύσκολον ». VILL. Fors. παραβαινομένων, scil. τῶν συνθηκῶν. Sed cf. p. 80, 19.

(4) « Male in cod. ἐπ' ἐκείνου ». VILL. Infra p. 69, 2 τοῖς ὑπ' ἐκείνου παροινουμένοις. Modo p. 67, τοὺς ὑπ' ἐκείνου παίδων ἐστερημένους. Et alias.

(5) Ed., πάντως, cum notula : « Sic restitui pro πάντι ». VILL. Est in A, πάντι, inferto tamen inter πάν et τι hypsilo minutissimo, ut fiat πάνυ τι. Monui ad Anecd. Gr., t. 2, p. 253, legere me πάντη, et ad Georgium Lapitham, p. 35, 74, permutationem ostendi adverbiorum πάντη et πάνυ τι. Nunc placet omnino πάνυ τι, quum sit in codice. Et sic voluit Bast. Epist. p. 146, cujus verba non sunt nitida, vel post correctionem in Appendice factam. Bastium adde et Comm. palæogr. p. 859. Mox Ed., τὰ δρώμενα. A, τε δρ.

(6) « Quod enim malum a tyranno privatis non metuendum ». VILL.

(7) Ed., ἀλλὰ μέν. A, ἀ. μήν.

(8) Ed., ἵνα παθόντας τοῦτο παραμυθοῦνται. A, ἵνα π. τ. παραμιθ. Villoisonus : « Forte : ἀποδ. ἴσα παθόντας τούτοις, vel ἴσα παθόντας,

ἀλλ', ὅταν ὁμοίους ἢ κρείττους τοιαῦτα δυστυχήσαντας ἀποφήνωσι, τότε πρᾳοτέραν ἐργάζονται τοῖς ἀχθομένοις τὴν ἀθυμίαν· ὥστε τοῖς μὲν ὑπ' ἐκείνῳ παροινουμένοις ἐγίνετο (1) θεραπεία τις δι' ἄλλων (2) παραπλησίων αὐτοῖς τυγχανόντων· τῷ δὲ τυράννῳ πόθεν ὑπῆλθε παραψυχή, μηδενὸς τὴν ἴσην αὐτῷ ἀξίαν κεκτημένου (3);

Παρὰ πάντα δὲ τὰ λεχθέντα, οὐ προσῆσαν, οἶμαι, τοῖς ἄλλοις τοσαῦται τοῦ περὶ τέκνα πόθου προφάσεις (4). Παῖδά τις εἶδεν ὑπὸ τοῦ κρατοῦντος ἀνῃρημένον; ἴσως ἕτερον εἶχεν· ἑνὸς ὑπῆρχε πατήρ; οὐ τέθνηκεν ἐν ἀκμῇ (5) τῆς ἡλικίας ὁ παῖς· τοῦτον ἦγε τὸν χρόνον ὁ νέος; οὐ πάντα τῷ φύσαντι προσόμοιος ἦν· ταύτην (6) εἶχε μορφὴν καὶ γνώμην; ἴσως (7) οὐ πρεσβύτης ἦν ὁ πατὴρ, ὅσον μηκέτι παιδοποιεῖν. Βούλει καὶ τοῦτό σοι θῶμεν; τῶν ἀνθρώπων ὁ τρόπος ἄτακτον καὶ ἀνώμαλον, καὶ κατ' ἄνδρα ἴδιον τοῦ κεκτημένου· ὥστε τί θαυμαστὸν ἄλλοις μὲν προσεῖναί τινα καρτερίαν, ἀκρατῆ δὲ εἶναι πένθους ἐκεῖνον; Καὶ μὴν (8) εἰ καὶ σφόδρα φιλόψυχος (9) ἐτύγχανεν, ὁ φόβος αὐτὸν ἀνθεῖλκε πρὸς τὴν τελευτήν. Τὴν γὰρ τύχην αἰσθανόμενος ἐν τοῖς καιριωτέροις ἀπολείπουσαν αὐτὸν, εἴπερ ἅπαντα γονεῦσι δεύτερα τέκνων, ὑπώπτευε ταύτην εἰκότως μηδὲ πρὸς τὰ ἐλάττω πιστὴν αὐτῷ διαμενεῖν (10). Ἅμα δὲ (11) τῆς τυραννίδος ἐξ ἡμισείας (12) καθῃρημένης, ἀνεθάῤῥησέ

τούτους, vel τότε, παραμυθοῦνται ». Locum reparare mihi visus sum, mutato tantum ἵνα in εἶναι.

(1) A, ἐγίνετο. Ed., ἐγένετο.

(2) A et Ed., δι' ἀλλήλων. Scripsi δι' ἄλλων. Conf. p. 67, n. 4.

(3) A, κεκτιμένου. Permutantur enim, quibus est sonus idem, vocales η et ι. Symeon Sethi p. 90 : ἥτις ἀνυποστόλως καὶ αὐθαδῶς πλήξας τὸν ἄνδρα ὑπνώττοντα, ἐξύπνησε. Legendum ἐξύπνισε, et πλήξασα. Eadem pagina, pro verbis εἰ ξεναγωγήσει σέ τις, Starkius sensum poscere ait corrigi, εἰ ξεναγωγήσεις τινα, nec de sensu quidem contradixerim, sed puto faciliorem fore correctionem, εἰ ξεναγωγήσῃ σοί τις.

(4) Editio, πρόφασεις. Villoisonus : « Male in cod. πρόφασις ». Imo bene in cod. προφάσεις.

(5) Ed., ἐν ἀλκῇ. A, ἐν ἀκμῇ.

(6) Pro ταύτην malim τὴν αὐτήν.

(7) Ed., ἴσως. « Male in cod. ἴσος ». VILL.

(8) Ed., καὶ μέν. A, καὶ μήν.

(9) Est φιλοψύχως in A.

(10) Ed., διαμενεῖν. A, διαμένειν.

(11) Ed., ἅμα δὲ καί. A, sine καί.

(12) Verba ἐξ ἡμισείας illustravi ad Epistolas Philostrati. Eis est usus Callistratus Statua centauri : τῶν γὰρ ἵππων καὶ τῶν ἀνθρώπων ἡ φύσις ἐξ ἡμισείας τεμοῦσα εἰς ἓν σῶμα συνήρμοσε. Quæ lectio veterum editionum retinenda videtur, nec asterisco notanda; nec transpositione juvanda, nisi ea quæ mente fiat. Difficultas inde nascitur quod qui legit vix queat ἓν et σῶμα non jungere, quum sit εἰς ἓν absolute et adverbialiter positum. Dicunt latini

τε (¹) τὸ πλῆθος εὐθὺς καὶ συνεστράφη καὶ παρέσκευαστο πρὸς τὸ τῆς δυναστείας ὑπόλοιπον· τοιαύτη γὰρ τῶν δήμων ἡ φύσις· ἑνὸς ἀνδρείου λαβομένη, προχείρως ἀκολουθεῖ, μιμεῖται, καὶ πᾶν ἀρχὴν εἰληφὸς ἀναπληροῦται ῥᾳδίως. Τοιγαροῦν σύλλογοι κατὰ τὴν ἀγορὰν ἀφόβως ἐγίνοντο, πάντων ἀλλήλους ἐμὲ ζηλῶσαι (²) προτρεπομένων.

Ἔτι δὲ τῶν ἀδικημάτων τὸ πλῆθος ἔστρεφεν (³) αὐτοῦ τὴν ψυχὴν, πολλὰς ἀπειλούντων αὐτῷ τιμωρίας. Ταῖς γὰρ ἀδικίαις οἱ κεχρημένοι, πράττοντες μὲν εὐτυχῶς, οὐ λογίζονται· συμφορᾶς δέ τινος ἐμπιπτούσης (⁴), τότε δὴ τὰς ἰδίας ἀπαριθμοῦντες ἑαυτοῖς πλεονεξίας, ταράττονται.

Τούτοις ἅπασι τοῖς λογισμοῖς ὁρῶν σειομένην αὐτῷ (⁵) τὴν ἀρχὴν, εἰς ἐσχάτην ἀπειλημμένος ἀμηχανίαν, ἐπέτρεψε τῇ λύπῃ τὸ δοκοῦν αὐτῇ διαπράξασθαι, ἓν τοῦτο (⁶) μόνον τῷ θανάτῳ πριάμενος, τὸ μὴ βουλεύσασθαι περὶ πραγμάτων ἀπόρων.

Ἐντεῦθεν ὅσοι τυραννίδος ὀρέγονται καταλύουσι φόβῳ τὸν ἔρωτα· ὁ

« in unum » absolute; et qui scriberet « in unum corpus composuit » eodem laboraret vitio. Callistratus non nitide verba disposuit; librarius non est reprehendendus. Frequens est loquendi genus εἰς ἕν. Periandri Epistola ap. Diog. Laert. 1, 99, sic incipit in cod. Vatic. 1353 : πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλῳ ὅτ' εἰς ἓν συνελθόντας ἀύτεῖ ἥξειν ἐς Κόρινθον διὰ τὰς ἐμὰς ἐπιστολάς. Pythagoreæ discipuli, Laertio teste 8, 10, κατετίθεντο τὰς οὐσίας εἰς ἓν ποιούμενοι. Theages Stobæi Tit. 1, § 67, p. 40 : ὅκκαν οὖν ἐς τὸ ἓν τὰ τρία ταῦτα μολῇ. Longus 2, 5 : ἡνίκα ἂν αὐτοὺς εἰς ἓν συναγάγω. Adrianus Epistola p. 20 Bœcking. : ἵνα δυνησώμεθα τὴν εὐκταίαν εἰς ἓν θρησκεῦσαι. Geoponicorum collector Argum. l. 1. : τὰ διαφόροις τῶν παλαιῶν... εἰρημένα συλλέξας εἰς ἕν. Nilus Narrat. p. 48 : πρὸ τοῦ θανάτου συνάγει πάντας ἡμᾶς εἰς ἓν ἑστίᾳ καὶ τραπέζᾳ. Addesis De Rhoer. Feriis p. 111. et quæ monui ad Choeph. 293.

(¹) Ed. omisit τε. Mox addidit καὶ ante μιμεῖται. Quæ conjunctio detur Themistio Or. 14, p. 224, 3 : προύκρινε δὲ ὁ θεὸς τοὺς θυμιῶντας πολλάκις τῶν τοὺς τρίποδας ἀνατιθέντων. Reperi πρ. δὲ καὶ ὁ θ.

(²) « Sic restitui pro ζηλῶσα quod est in codice ». VILL. Videtur quidem esse ζηλῶσα in codice; ast α nescio quid caudæ trahit, quod pro iota possit esse. Sed ex aliis locis comparatis pro calami lusu potius est habendum.

(³) « Male in cod. ἔτρεφεν ». VILL. Infra. p. 72, 7. Ed., ἀναστρέφει. A, ἀνατρέφει. Cf. et p. 38.

(⁴) « Sic in Ροδωνιᾷ [Macarii]. Male in cod. regio ἐμπιπτάσης ». VILL. Vid. p. 63, n. 3.

(⁵) Ed., sine αὐτῷ.

(⁶) A, ἓν τοῦτο μόνον. Vide .7, pag. 65.

μὲν παῖδας λαχὼν, ἵνα μείνῃ τῆς(1) γονῆς ἀπολαύων· ὁ δὲ μήπω πατὴρ, ἵνα (2) γένηται τοῦτο. Τίς γὰρ ἀνέξεται τυραννεῖν, ἀπαιδίας αὐτῷ πρὸς τιμωρίαν αἰωρουμένης; Οἱ μὲν γὰρ ἐν ἀξιώμασί τε καὶ πλούτῳ πλέον ἀλγοῦσι κληρονόμων χηρεύοντες, βουλόμενοι διαδόχων εὐπορῆσαι γνησίων τοσαύτης περιουσίας (3). Εἰ δέ τις τούτου βραχεῖαν ποιεῖται φροντίδα, τὴν οἰκείαν οὐ περιόψεται σωτηρίαν.

Ἐν δὲ τοῖς ἤδη ῥηθεῖσι (4) δέδεικται λόγοις ὅτι τῆς αὐτῆς (5) ἐστὶν εὐτολμίας τυράννου τε παῖδα καὶ τὸν ἔχοντα τὴν (6) ἀρχὴν ἀποκτεῖναι, τῶν ὑπηκόων ὁμοίως (7) τὴν ἀκρόπολιν φυλαττόντων, παρόντος τε τοῦ κρατοῦντος καὶ μὴ, ὅταν μάλιστα τύχωσι μεγάλην παρακαταθήκην τὴν ἐκείνου ἐμπεπιστευμένοι γόνην.

Ὠνήσασθε (8) τοίνυν μιᾶς δωρεᾶς βεβαίαν δημοκρατίαν, ἵνα μὴ πάροδον ἀπονείμητε τῇ μοναρχίᾳ, τὴν ἐκείνης κατάλυσιν ἄμισθον ἀποπέμψαντες. Μὴ τιμωμένης γὰρ ἀρετῆς, ἡ κακία παῤῥησιάζεται.

Ἤδη τοίνυν τινὲς, τυράννους χρηστοὺς νουθετήσαντες, καὶ πεπεικότες ἀποθέσθαι τὴν ἐξουσίαν, ἔτυχον δωρεᾶς. Καὶ, νὴ τοὺς θεοὺς, ἐπαινέτης μὲν εἰμὶ τοῦ νόμου καὶ συγχαίρω τῆς εὐνομίας τοῖς κεχρημένοις (9)· δεῖ γὰρ τὰς ὁπωσοῦν πεπραγμένας ἀμείβεσθαι χάριτας· ἔστι δὲ τοῦ πεῖσαι δυνάστην ἀποθέσθαι τὸ σχῆμα, πολὺ τιμιώτερον τὸ τελευτῆς (10) ἀνάγκην αὐτῷ προξενεῖν. Βεβαιοτέρα γὰρ ἐλευθερία τῷ δήμῳ τύραννος τεθνηκὼς, ἤπερ ἔκ τινος συμβουλῆς πεπαυμένος δυναστείας. Ἔστι γάρ,

(1) Ed. sine τῆς.

(2) « Male ἕινα pro ἵνα ». VILL. Bene ἵνα in codice.

(3) Ed., τοσαύτην περιουσίαν, cum Villoisoni nota : « Sic restitui pro τοσαύτης περιουσίας, quod in codice ». Nil mutandum. Bene habet codicis scriptura.

(4) A, ῥηθεῖσι. Ed., λεχθεῖσι, errante Villebrunio.

(5) « Sic restitui pro τῆς αὐτοῖς, quod in codice ». VILL.

(6) Ed., τυράννου δὲ, et omissum est τήν.

(7) « Sic restitui pro ὅμοιος, quod in codice ». VILL. Est ὁμοίων in codice. Sæpe syllabæ ως ων permutantur. Hinc forsitan in Helena 125, pro Ὡς κεῖνος ἀφανὴς ξὺν δάμαρτι κλῄζεται, legendum Ὢν κ. ἀφ. Nam ὡς non nitidam facit sententiam. Participium et mox jungitur verbo κλῄζεται : θανὼν δὲ κλῄζεται καθ' Ἑλλάδα.

(8) « Sic restitui pro ὠνήσασθαι, quod in cod., ubi infra κατάλλυσιν pro κατάλυσιν ». VILL.

(9) Ed., τοῖς μὴ χρημένοις, cum notula Villoisoni : « An legendum συγχαίρω τ. εὐν. τοῖς κεχρημένοις, vel χρωμένοις ». A, nitide, τοῖς κεχρ.

(10) Ed., τιμιώτερον τὸ τῆς τελ. A, τιμηώτερον τὸ τελ.

ἔστι πονηροῦ παυσάμενον πράγματος εἰς ἔρωτα πάλιν ἐλθεῖν, ὅταν μεγίστην ἔχῃ (¹) τῷ καρπουμένῳ ψυχαγωγίαν. Τί δὲ τερπνότερον βασιλείας δόξης ἐρῶσιν ἀνθρώποις; ὥστε παρὰ τῶν φίλων εἰς μνήμην ἑλκόμενος τῆς προτέρας εὐδαιμονίας, καὶ πάλαι μὲν ζηλωτὸς, τότε δὲ ταπεινὸς παρὰ τούτων ἀκούων, τοιούτοις λογισμοῖς διατεθρυλλημένος τὰ ὦτα (²), καταρᾶται τῷ πρότερον συμβουλεύσαντι, καὶ πρὸς τὴν ἀρχαίαν ἀναστρέφει προαίρεσιν.

Ἄνευ δὲ τῶν εἰρημένων. τυράννου μὲν ἐσφαγμένου, πᾶς ἀρχικὴν ἐπιθυμίαν νοσῶν ὑγιαίνει τῷ φόβῳ, καὶ σωφρονεῖ τῇ προσδοκίᾳ τοῦ παθεῖν παραπλήσια· εἰς ἰδιώτας δὲ καταβάντος, τοῦτο τοὺς τὴν αὐτὴν ἐκείνῳ γνώμην ἔχοντας οὐ ταράττει.

Ἀλλὰ καὶ πρὸς ἅπασι τούτοις, ἀναιρούμενος μὲν δίδωσι δίκην ὧν ἥμαρτε, κἂν ἐλάττω τῆς προσηκούσης, ἀλλ' ὅση γε δυνατή (³)· ἀποβαλὼν δὲ μόνον οὕτω τὴν ἐξουσίαν, οὐδὲ τὴν ὅσην ἔνεστι δοῦναι τιμωρίαν ὑπέχει. Μὴ γὰρ ὅτι τυράννους, τὸ τῆς ἀδικίας κεφάλαιον, ἀλλ' οὐδὲ τοὺς τὰ βραχύτατα παροινοῦντας οὗτος ὁ τρόπος ἐλευθεροῖ (⁴). Οὐ ποιεῖ τὸν κλέπτην ἀνεύθυνον ἡ τῶν φωρίων ἀπόδοσις, οὐδὲ τὸν ἄρξαντα χειρῶν ἀδίκων τὸ καταγνῶναι τῆς ὕβρεως· ἀλλὰ καὶ ψιλῇ κατηγορίᾳ (⁵) εἰς δικαστήριον ἄγεται.

Ἔοικα δὲ τὸ μέγιστον οὔπω (⁶) διάφορον εἰρηκέναι. Τί οὖν ἔστι

(¹) Ἔχῃ « pro παρέχῃ ». VILL.

(²) Est διατεθρυλλημένος τὰ ὦτα loquutio platonica. Videsis n. ad Æneam Gazæum p. 190. Et sic Choricius Orat. seq.

(³) Ed., ὅσην γε δυνατήν. « Sic restitui pro ὅση γε δυνατὴ, quod in codice ». VILL.

(⁴) Est ἐλευθεροῖ, facit immunes.

(⁵) Ed., ψιλὴ κατηγορία. A, ψιλῇ κατηγορίᾳ.

(⁶) Ed., οὕτω. A, οὔπω. Literæ π τ sæpe in hoc vocabulo ut et in aliis permutantur. Symeon Sethi Ichnel. p. 190 : ἔσθ' ὅτε γὰρ ἥλιος τῇ σελήνῃ ἐπισκοπούμενος ἐκλείπει. Vertit græca Starkïus latinis hisce verbis : « aliquando enim et sol in unam conversa obscuratur ». Miror non vidisse præsentem correctionem, ἐπισκοτούμενος. Seneca Benef. 5, 6 : « luna humiliore currens via, infra ipsum solem orbem suum posuit, et illum objectu sui abscondit ». Georgius Acrop. Hist. c. 39, p. 34 : τὴν τῆς σελήνης ἐπιπρόσθησιν αἰτίαν τῆς ἐπισκιάσεως ἔλεγον εἶναι, καὶ δοκεῖν μὲν ἐκλείπειν τὸν ἥλιον, οὐκ ἀληθῆ δὲ εἶναι τὴν τῆς φάσεως (leg. φαύσεως e cod. 3041) στέρησιν. Et alias Starkius non vidisse videtur quæ erant obvia. Symeon p. 340 : ὄφιν δὲ ἐπὶ τὸν παῖδα ἑρπύσαντα ἡ νύμφη τοῦτον εἰσπηδήσασα κατέκρυψεν. Legendum potius conjicit Starkius κατέθρυψεν aut κατέκρουσεν. Conjicio potius κατέκοψεν. Rursus, p. 402 : ὁ ἐχέφρων

τοῦτο; βιαίῳ μὲν θανάτῳ περιπεσὼν καταλείπει τινὰ τοῖς ἠδικημένοις παραψυχὴν, τοῦτο ἐκεῖνο λογιζομένοις· τί γὰρ ἐνῆν πλέον παθεῖν; λόγῳ δὲ παυσαμένου (¹) τῆς ἀρχῆς, ὅτι τὴν μείζω τιμωρίαν οὐ δέδωκε, τοῦτο λυπεῖ, καὶ πρὸς τῇ λύπῃ φόβον παρέχει, τῇ τοῦ μή πότε τυραννήσει πάλιν ἐλπίδι.

Ὁρᾷς ὅσῳ μείζονά μοι κατώρθωται τῶν ὅσοι πείθουσι τοὺς κρατοῦντας ἀποθέσθαι τὴν μοναρχίαν (²); εἶτά μου ψέγεις τὴν αἴτησιν τοσούτων εὐποροῦσαν δικαιωμάτων.

Σκόπει τοίνυν ἡλίκην ἅπασι βλάβην (³) εἰσάγεις, ἄπρακτόν μοι ταύτην ποιήσας.

Εἰσὶ τρόποι παντοδαποὶ πρὸς ὄνησιν ἢ πρὸς εὐθυμίαν εὑρημένοι τῆς πόλεως, ἀριστεῖα καὶ χορηγίαι (⁴), καὶ τριηρῶν ἐπιδόσεις, καὶ τὰ τούτοις προσεοικότα (⁵)· καθαίρεσις δὲ τυραννίδος πάσης μὲν ἥδιον εὐφροσύνης, πάσης δὲ λυσιτελέστερον ὠφελείας. Εἰ τοίνυν ἄτιμος γένοιτο, ὑπόνοιαν δίδωσι τοῦ (⁶) καὶ τὰς ἐλάττους εὐεργεσίας ἀνονήτους εἶναι τοῖς δωρουμένοις. Οὐκοῦν ἄπεισι μὲν ἐκ τῆς πόλεως αὕτη, συναπέρχεται δὲ πᾶσα φιλοτιμία, καθάπερ ὅλος χορὸς, ὑβρισμένου τοῦ κορυφαίου. Ὅτι γὰρ ταύτην ἔχει τὴν τάξιν πρὸς τὰς ἄλλας εὐεργεσίας, ἀκούσατε, πρὸς θεῶν, ὦ παρόντες, οἵας ἀπήλλαξα δουλείας τὴν πόλιν· ἔχει γάρ τινα τέρψιν καὶ τῶν λυπηρῶν ἡ διήγησις, ὅταν παύσηται τὰ δεινά (⁷).

ἀνὴρ ὀφείλει τὴν μνησικακίαν ἐκριζῶσαι. Sic mutavit quod inveniebat in cod. ψεύδει. Facilius scripsisset et verius, σπεύδει.

(¹) A et Ed., παυσαμένῳ. Scripsi παυσαμένου. Possit quidem παυσαμένῳ haberi pro dativo absoluto, et ejus idiotismi sunt exempla; sed displicet valde dativus, propter proximum λόγῳ.

(²) Ed. sine interrogatione, quam A præbet. Mox Ed., δικαιωμάτων; A sine interrogatione.

(³) « Sic restitui pro ἡλικίην ἅπασι βράβην ». VILL. Est ἡλίκην in codice.

(⁴) Ed., ἀριστεῖα καὶ χορηχίαι. « In codice ἀριστεῖαι et χορηγεῖαι ». VILL Est in codice ἀριστεῖαι.

(⁵) Ed., προσεικότα. A, προσεοικότα.

(⁶) Ed. sine τοῦ.

(⁷) Demetrius Cyd. in meis Anecdotis Novis p. 322 : ἔχουσι γάρ τι καὶ ἡδονῆς μετὰ τὴν ἀπαλλαγὴν τοῖς παθοῦσιν αἱ τῶν λυπηρῶν διηγήσεις. Ibi similia adposui. Addesis Buhl. ad Aristot. Rhet. 1, 11, 8; Duport. Gnomol. p. 230, ad Odyss. 15, 399 : μάλα γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ ὅστις δὴ μάλα πολλὰ πάθῃ καὶ πολλ' ἐπαλήθῃ. Ibi Duportus Epicteti fragmentum 121, ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾶν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων, redigit in versus, quod jam fecerat meliusque Gataker. ad Anton. p. 251, scripto ἀπὸ τῆς γῆς (quod

Ὁ τύραννος καὶ ἄλλως μὲν οὖν ἀσελγής, ἐν μεγάλῃ δὲ γενόμενος ἐξουσίᾳ προσεδίδου τῇ νόσῳ. Ἦσαν οὖν ἄνδρες ἀκολασίας ὑπηρέται, προξενοῦντες αὐτῷ τὰς εὐκοσμίᾳ διαφερούσας καὶ κάλλει. Ἡ μὲν γὰρ ἐπιθυμία τὰς ὡραίας ἐζήτει τῶν γυναικῶν, ἡ δὲ δυναστεία τὰς σωφρονούσας, ὅπως ἡ μὲν πλείονα χορηγήσῃ τὴν ἡδονὴν, ἡ δὲ πλείονα δείξειε τὴν ἰσχύν(¹). Ἤγοντο τοίνυν πειρώμεναι μὲν βιάζεσθαί πως τὰ δάκρυα· οὐδὲ στένειν γὰρ ἐξῆν ἀδεῶς, τοῦ μὴ δοκεῖν ὕβριν ἡγεῖσθαι τοῦ τυράννου τὸ φίλτρον. Ὅσῳ μέντοι φιλοσοφεῖν ἐπεχείρουν καὶ τῶν ὀδυρμῶν περιγενέσθαι, τοσούτῳ πλέον ἐνικῶντο τοῖς δάκρυσιν. Ὥσπερ γὰρ ὅσοι κρατεῖν φιλονεικοῦσι τοῦ γέλωτος λανθάνουσι μᾶλλον ἡττώμενοι, οὕτω τοῖς ἄγχειν τὸν ὀδυρμὸν πειρωμένοις ἄμαχος(²) ἐπιῤῥεῖ δακρύων φορά. Ἐντεῦθεν αἱ μὲν κλαίουσαι τῶν γυναικῶν, ὡς ὑβρίζουσαι ταύτῃ τὸν τύραννον, ἀπεσφάττοντο· αἱ δὲ κρατοῦσαι τῶν ὀδυρμῶν διπλῆν ὑπέμενον συμφορὰν, πορνείαν τε ἅμα καὶ τὸ μὴ δοκεῖν ἐπὶ ταύτῃ λυπεῖσθαι.

Τὸ μέγα τοῦτο ἐκείνου πλημμέλημα τῶν ἄλλων πρᾳότερον ἦν. Οἱ γὰρ τὸ μὲν ἦθος δημοτικοὶ, γενναῖοι δὲ τὰς ψυχὰς, ἰσχυροὶ δὲ τὰ σώματα, γεγυμνασμένοι δὲ τὰ πολέμια, τὸ μάχιμον δὲ κεκτημένοι τῆς ἡλικίας, καταλύσεως αὐτῷ δεδωκότες ὑπόνοιαν, ὀλίγου πάντες ἀνῄρηνται.

Ταῦτα ὁρῶν, οὐ τὴν αὐτὴν εἶχον γνώμην τοῖς ἄλλοις. Οἱ μὲν γὰρ ὅσῳ πλέον ἠδίκει, τοσούτῳ μᾶλλον τὴν δύναμιν ἐκείνου ὑπεστέλλοντο· ἐμοὶ δὲ ταῖς ἀδικίαις αὐτοῦ συνηυξάνοντο δημοκρατίας ἐλπίδες, ἔννοιαν χορηγοῦσαι δικαίαν, ὡς οὐκ ἔσται τὸν οὕτως ὠμὸν, βεβαίαν ἔχειν ἰσχύν. Πολλοῖς τοίνυν συμμάχοις τοῖς ἐκείνου χρησάμενος ἀδικήμασι, βιαίων ὑμᾶς ἠλευθέρωσα προσταγμάτων, ἀπέδωκα τῇ πόλει τὴν ἡδίστην δημοκρατίαν, ἐδωρησάμην τοὺς νόμους τοῖς πράγμασιν(³).

Οἶμαι τοίνυν ἔργου τοσούτου μόλις γηράσειν τὴν μνήμην. Οὐ κά-

conjecerunt et alii), et Ὡς et μεμν. πόνων. Idque adeo facile effectu fuit, ut crediderim in Antonii gnomologica sylloge, loci fonte unico, ac cujus sunt sæpius mendacia lemmata, Epicteti nomen falso fuisse adscriptum. Abest quidem ab interpretatione latina seorsum impressa Antuerpiæ a. 1555, p. 194.

(¹) Ed., ὅμως ἡ μ. πλ. χορηγήσειε. A, ὅμως.. χορηγήσῃ. « Lege ὅπως », Villoisonus monuit. Forsan, χορηγήσει. Displicent diversi modi, χορηγήσῃ, δείξειε. Choricius Laudatione Marciani p. 152 : ὅπως ἐπιστήμων τε γένοιο καὶ δυνήσῃ. Futurum δυνήσῃ favere videtur conjecturæ χορηγήσει.

(²) Ed. omisit ἄμαχος.

(³) Ed, πράγμασι. A, πράγμασιν.

μνει γὰρ ἀρετὰς ἡ φήμη κηρύττουσα. Εἴ ποτε δὴ πρεσβύτης ἀνὴρ ἑτέρῳ διηγήσεται νέῳ, ὅτι δύο τις καθελὼν τυραννίδας, νόμου κειμένου τὸν καταλύσαντα μίαν ὅπως ἂν ἐθέλῃ τιμᾶσθαι, διήμαρτε (¹) δωρεᾶς, μῦθος ἂν δόξειε τοῦ γέροντος τὸ διήγημα· ἄτοπον δ' ἂν εἴη τοιαῦτα ποιεῖν, οἷα μηδὲ λέγειν ὑπάρχει πιστά, καὶ φανῆναι πρὸς ἀνδραγαθίαν ἀγνώμονας ἀμοιβῆς μέτρον νικῶσαν· ὅθεν, ὡς ἔοικεν, ἀποροῦντες οἱ νόμοι τὴν αἵρεσιν αὐτῷ τῶν δωρεῶν ἀπονέμουσιν, ἐρυθριῶντες αὐτοὶ τὸ γέρας ὁρίσαι πάντως λειπόμενον τῆς ἀξίας (²).

Ἀλλὰ γὰρ εὖ πάσχειν ἐπίστασθε καὶ πρὸς τὰς φιλοτιμίας ἁμιλλᾶσθαι ταῖς ἀμοιβαῖς. Ὅθεν καταλύσω τὸν λόγον, τοσοῦτον προσθεὶς ἔτι τοῖς εἰρημένοις· ἄλλοι μὲν ἄλλων (³) τυράννων ἄλλας ῥυσάμενοι πόλεις, ὁ μὲν σίτησιν εἴληφε γέρας, ὁ δὲ λειτουργίας ἀτέλειαν· ἐγὼ δὲ τῶν μὲν φερόντων κέρδος οὐδέν, ἆθλον δὲ τῶν εἰργασμένων αἰτῶ κοινὴν εὐδοξίαν ἐμοί τε καὶ τῇ πόλει δωρούμενον, εἰκόνα τὰ πεπραγμένα δηλοῦσαν. Οὐ λήψεσθε (⁴) κόρον θεώμενοι τὴν γραφήν· ἡ γὰρ εἰκὼν ὁ τύραννος ἔσται, κἀγώ, καὶ τοῦ κρατοῦντος ὁ παῖς· ἐγὼ προσάγων τὸ ξίφος, ὁ νέος δεχόμενος τὴν πληγήν, ὁ πατὴρ ἑαυτὸν ἀποσφάττων. Δημιουργείτω

(¹) « Male in cod. διήμαρται ». VILL. A, διήμαρται δωρεαῦ. An διήμαρτε δωρεᾶς, δωρεῶν? Mox A, διήγιμα.

(²) Ed., ἀπονέμουσιν ἐρυθριῶντες αὐτοί· τὸ γὰρ ὁρίσαι πάντως λειπ. τ. ἀξ. · cum nota Villoisoni : « Forte, τὸ γὰρ ὁρισθέν, πάντως... vel ἐρυθριῶντες αὐτοὶ τί γ' ὁρίσαι πάντως...» Ipse codex, quem male Villebrunius quamvis nitidissimum legerat, exhibet quod scripsi. Bastius veram lectionem rationibus palæographicis erat assequutus Comm. palæogr. p. 758.

(³) Ed., ἀμοιβαῖς · ὅθεν ἄλλων... mediis omissis. « Mallem ὅθεν ἄλλοι ἄλλων ». VILL. Exhibeo lectionem codicis.

(⁴) Ed. et A, λήψεσθαι. « Locus corruptus. Forte, οὐχ ἕψεται κόρος θεωμένοις, vel οὐ λήψει κόρος τοὺς θεωμένους ». VILL. Ad Anecd. Gr. t. 2, p. 315, proposui legendum λήψεσθε, quod jam proposuerat cujus tunc non memineram, Jacobsius Addit. p. 301. Permutatarum vocalium αι et ε infinita sunt exempla. Libanius 4, p. 348 : οἱ Ποτιδεᾶται. Codex 3017, Ποτιδαιάται · recte omnino, quum urbs dicta sit Ποτιδαία. Theodorus Prodromus in Notitiis Manuscriptorum t. 6, p. 564 : διὸ καὶ κενός (interserit *sic* editor, quem miror non rescripsisse καινός) τις ὑγιείας τρόπος τοῖς κάμνουσι σχεδιάζεται... Αυγγεὺς (imo Λυγκεὺς) μὲν ὧδε, ὁ ἀβλεπτῶν · ὁ δὲ ἄχειρ, Βριάρεως · ὁ δὲ ἡφαιστόπους, ἀρτίπους · ὁ δὲ ἀφωνότατος, Στέντορος φωνότατος. Exspectatur φωνότερος. Sed quum præcedant nomina reliqua in recto casu, legendum mihi videtur, Στέντωρ φωνότατος, servato simul desinentiarum lusu νότατος.

καὶ μίαν ὁ ζωγράφος γυναῖκα (¹) θρηνοῦσαν, τοῦ δυνάστου τὴν σύνοικον, καὶ καταλόγους δορυφόρων ταττομένους. Γινέσθω δὲ μέρος τῶν χρωμάτων (²) ὁ δῆμος ἐκκλησιάζων, καὶ τὸ γέρας ἐκτίνων ἐμοί. Τὸν ἀντιλέγοντα μὴ γράψῃ μόνον ἡ τέχνη, ἵνα μηδένα δοκῶμεν ἔχειν ἀγνώμονα.

(¹) « Forte quis ante καὶ μίαν γυναῖκα excidisse putet ποιησάτω, vel quid simile, ut sit sensus : exhibeat et pictor fœminam, etc. Sic δημιουργείτω pertineret ad præcedentia, ὁ πατὴρ ἑαυτὸν ἀποσφάττων δημιουργείτω, id est, pater seipsum interficiens carnificis vices gerat; quemadmodum de eodem supra dixit : ἐγὼ μὲν ἐκείνῳ ζημίαν ἐψηφισάμην τὸν θάνατον, ὁ δὲ διηκόνησέ μου τῇ ψήφῳ, δήμιος αὐτὸς ἑαυτῷ γεγονώς. Sed codicis lectionem præfero ». VILL. Non potest δημιουργείτω id significare, quod opinabatur vir d.

(²) Ed. δέ. A, δή. Prætuli editum δέ. Pro χρωμάτων conjectura mea, est χρημάτων in A et Ed. Sunt χρώματα, ni fallor, effigies in tabula pictæ, quo sensu quis poterit nomen χρήματα tolerare? Illa nomina facile permutabilia sunt ob similitudinem. Videsis Schæferum ad Gregorii Corinthii Dialectos p. 183. Poterit et de nomine σωμάτων pro χρημάτων reponendo cogitari, cujus permutationis exemplum memoravit Dorvillius Animadversionibus ad Charitonis Chæream. pag. 641.

ΧΟΡΙΚΙΟΥ ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΕΙΣ ΜΑΡΚΙΑΝΟΝ ΓΑΖΗΣ ΕΠΙΣΚΟΠΟΝ (1).

ΔΙΑΛΕΞΙΣ.

Ἡ διάλεξις, μείζω θρασυνομένη τῶν εἰωθότων, εἰς καιρὸν θηρᾶται τῶν ἀκροωμένων (2) τὴν εὔνοιαν.

Ἐπειδὴ καὶ παίζειν τι δίδωσιν ὁ καιρός (πανήγυρις γὰρ καὶ μία διὰ πάντων (3) ἡδονή τε καὶ εὐθυμία φοιτᾷ), φέρε πρὸς τὰ ἐμὰ καὶ αὐτὸς ὡραΐσομαι παιδικά. Ἄγετε οὖν, ὦ Λόγοι (πρόσφορον γὰρ ἑορταῖς ἀγλαΐα), εἴποτέ μοι πρὸς ἕτερον ἆθλον ἐνεκαλλωπίσασθε (4), νῦν ἥκετε μᾶλλον ἐστεφανωμένοι τε εὖ μάλα καὶ ἁβροτέρους ἐνδεδυμένοι (5) χιτῶνας καὶ ποικίλην παραθήσοντες εὐωχίαν. Ἄνευ μὲν γὰρ δημοτελοῦς θυμηδίας, καὶ φαύλων, οἶμαι, σιτίων οἱ δαιτυμόνες ἀνέχονται, κἄν τι παρημελημένον τυγχάνῃ, παρά σφισιν αὐτοῖς ἕκαστος μέμφονται, καὶ οὐκ ἐκφέρουσι θύραζε (6) τὰ τῶν ἑστιώντων (7) ὀνείδη· νῦν δὲ, ὅτε πανήγυρίς τε πολυτελὴς καὶ τρυφῆς γέμουσαι τράπεζαι πανταχοῦ, πολλῶν μὲν ὀψοποιῶν, πολλῶν δὲ ἡμῖν (8) οἰνοχόων δεήσει κομψῶς τε καὶ εὐ-

(1) In hac oratione ac sequente utar apographo codicis 101 Matritensis Bibliothecæ, quod Ed. Millerus vir doct. et humanissimus in meum usum confecit summa cum diligentia, nec sine impigro labore, quum serioribus negotiis distineretur. Lemma addidi.

(2) Ap., et Yriartes Catalogo p. 396, ἀκροουμένων.

(3) Ap., διαπάντων.

(4) Ap., ἐγκαλλωπίσασθε.

(5) Ap., ἐνδεδυμένους.

(6) « Prius θήραζε ». MILLER.

(7) Ap., ἐσθιόντων. Quod mutavi in ἑστιώντων. Sunt hic δαιτυμόνες convivæ. Vide n. ad Zachariam Mityl. p 442.

(8) Ap., δὲ μῖν. « Sic prima litera erasa ». MILL. Scripserat for-

σχημόνως οἰνοχοούντων. Ἐν Σπάρτῃ μὲν οὖν (1) Ὑακινθίων ποιουμένων (τιμῶσι γὰρ τὸ μειράκιον Σπαρτιᾶται), χορὸς ἡλικιωτῶν (2) τοῦ τιμωμένου πρὸς λύραν ᾄδουσι καὶ αὐλὸν, καὶ παρθένοι χορείαν ἐτέλουν ἴσα βαίνουσαι τῇ μελῳδίᾳ (3)· λόγοις γὰρ οὐ σφόδρα ἴσασιν ἑορτάζειν, οἷς ἐν ὅπλοις ὁ βίος. Ἐνταῦθα δὲ, ὦ φιλότης, — ἔστι μὲν τὰ τῆς Σπάρτης ἡδέα, ἔστι δὲ καὶ τὰ (4) τῆς Ἀττικῆς σεμνότερα· ἀτὰρ ἐκεῖνό γε οὐ μιμούμεθα, τοὺς Ἀθήνησι ῥήτορας — οὐ θέμις ἡμῖν κεχαρισμένα καὶ ἀπατηλὰ πρὸς τὰ θέατρα λέγειν· ἀλλ' ᾗ (5) ἂν ἡμᾶς τὰ πράγματα ἄγῃ, ταύτῃ ἑπόμεθα· καὶ γραφὴν ἄν τις φύγοι παρ' ἡμῖν κολακείας. Ἐπεὶ οὖν σύνοιδά γε ὑμῖν ἐξ ἀληθῶν ἀκουσμάτων εὐφραινομένοις, ἕρμαιον ἂν ἔμοιγε εἴη τὸ χρῆμα, εἰ λόγων ὑμᾶς ἑστιάσω (6) τοιούτων οἵων ἀεὶ φιλεῖτε μεταλαμβάνειν.

sin librarius ὑμῖν, et deleta vitiosa litera, oblitus fuit faciendæ correctionis. Pronomina ista passim fuere permutata. Themistius Orat. 2, p. 39, 8 : Τοὐντεῦθεν ἔπειτ' ἂν ὑμῖν ἐπισκοπεῖσθαι καὶ ἐξετάζειν. Latina conversio exhibet, « inquirendum nobis ». Legebat interpres ἡμῖν, quod est sententiæ convenientius invenique in codice. Est et ibi ἐπισκοπεῖσθαί τε καὶ ἐξετ.

(1) Est additum οὖν « secunda manu ».

(2) Ap., ἡλικιῶν τε. Correxi ἡλικιωτῶν. — Didymus Athenæi 4, 17, ex Polycratis Laconicis Hyacinthia describens : παῖδές τε γὰρ κιθαρίζουσιν, ἐν χιτῶσιν ἀνεζωσμένοι, καὶ πρὸς αὐλὸν ᾄδοντες... De Hyacinthiis multa Meursius Græcia Feriata.

(3) Fuit ἴσος junctum genitivo p. 21, ἴσα καὶ τέκνων, loco quidem dubio; et Aristænetus 2, 19, dixit fortasse ἴσα καὶ Σειρῆνος, quod græcum esse negavit Pavius. De dativi syntaxi nulla potest esse dubitatio. Callimachus Epigr. 61 : αἰθυίῃ δ' ἴσα θαλασσοπορεῖ. Aristænetus 1, 17 : ἴσα θηρίοις · ubi notula adest mea. Sophocles OEd. Col. 164 : ἀστοῖς ἴσα χρὴ μελετᾶν · ubi Reisig. Antipater Thessal. Anthol. 9, 186, Aristophanem compellans : Ἑλλάδος ἤθεσιν ἴσα Κωμικέ. Tyrtæus 2, 5 : Ἐχθρὰν μὲν ψυχὰν θέμενος, θανάτου δὲ μέλαινας Κῆρας ἴσ' αὐγαῖσιν ἠελίοιο φίλας. Est ea lectio viri docti in Misc. Observ. t. 1, p. 128; non Dorvillii, ut ex apposita litera B suspicabar, sed Angli anonymi. Ob correptionem mediæ pentametri syllabæ prætuli Grotianam emendationem Κῆρας ὁμῶς αὐγαῖς. Nunc quidem aliam cognosco viri præstantissimi conjecturam; sed quæ mihi quidem arridet minus. Simile vitium ejusdem nominis Mimnermum lædit 2, 1 : Ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος ὥρη Ἦρος, ὅτ' ἂψ αὐγῇ αὔξεται ἠελίου. Propono legendum, claudendi causa hiantem clausulam : ὅτ' ἂψ αὐγὴν αὔξεται ἠέλιος, vel αὐγῆς αὔξ. ἠέλιος.

(4) In Ap. τὰ est ab « secunda manu », sed positum post Ἀττικῆς, quod mutavi. Distinxi ita ut appareret quem esse opinor sententiarum ordo.

(5) Ap., ἀλλ' ἤ.

(6) Metaphoram quæ est in λόγων ἑστιάσω tractavi ad Zachariam Mityl. p. 430, tetigi ad Philostratea Epist. 17, p. 70 : ἀνθεστιῶσί τε οἱ μὲν κηρίοις... εἰσὶ δὲ τῶν ποιητῶν οἱ

ΕΓΚΩΜΙΟΝ

ΕΙΣ ΜΑΡΚΙΑΝΟΝ ΕΠΙΣΚΟΠΟΝ ΓΑΖΗΣ (¹),

ΕΝ Ω ΚΑΙ ΕΚΦΡΑΣΙΣ ΝΑΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΣΕΡΓΙΟΥ.

Ὁ λόγος, ὅσα δίδωσιν ὁ καιρὸς ἀνυμνήσας τὸν ἱερέα, προϊὼν ὑπογράφει τὸ τέμενος.

Ὅση μὲν ἐφοίτησεν εὔκλεια πανταχοῦ καταπλήττουσα τῷ τεμένει τὰς ἀκοὰς, ἔργῳ μαρτυροῦσιν αἱ πόλεις, ἐπὶ θέαν ἐκπέμψασαι τὰ τέλη

καὶ τραγήμασιν ἑστιῶντες. Pari verborum antithesi Philo V. M. 2, § 6 : ὡς δὲ ἧκον, ἐπὶ ξενίαν κληθέντες, λόγοις ἀστείοις καὶ σπουδαίοις τὸν ἑστιάτορα εὐώχουν ἀνθεστιῶντες. Addam nonnulla. Gregorius Naz. Or. 38, p. 615 ; βούλεσθε (καὶ γὰρ ἐγὼ σήμερον ἑστιάτωρ ὑμῖν) ἐγὼ τὸν περὶ τούτον παραθῶ λόγον τοῖς καλοῖς ὑμῖν δαιτυμόσιν ; Ibi præcedunt quæ et ad sententiam possint comparari cum Chorician is modo lectis. Michael Syncellus Laud. Dionysii Areop. p. 352 : τὴν πνευματικὴν καταγλυκαίνοντες, ἑστίασιν ἥκομεν ὑμῖν τοῖς φιλακροάμοσί τε καὶ πνευματικοῖς δαιτυμόσι παραθησόμενοι. Theod. Prodromus Rhod. 9, p. 414: Ἐγὼ, γελοίους ἐν μέσῳ προθεὶς λόγους, Κἂν γοῦν δι' αὐτῶν ἑστιάσω τοὺς φίλους. Manuel Palæologus in Notit. Mann. t. 8, p 333 : βούλομαί σε καὶ ταύτης τῆς θοίνης ἡμῖν κοινωνεῖν, ᾗ ὁ μὲν γέρων λαμπρῶς εἱστία, ἡμεῖς δὲ ἦμεν οἱ δαιτυμόνες. De Genitivo λόγων non dubitabit, qui meminerit Platonis dicentis Phædri initio : τῶν λόγων ὑμᾶς Λυσίας εἱστία · et Theophrasti Char. 8 : δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων. Ibi Casaubonus. Addesis Bekker. Specim. Philostr. p. 37. Ipse Choricius sub finem orationis seq. : τῆς ἀκοῆς ἑστιωμένης λόγων καλῶν. Et non semel eo usus est orationis colore. Nec displicet hodiernis linguis hæc metaphora. Molierius Fœminis doctis : «Ce sont repas friands qu'on donne à mon oreille ». Bruyerius Char. de Rabelæsio : « où il est bon, il va jusqu'à l'exquis et à l'excellent; il peut être le mets des plus délicats ». Fielding. prooemio novellæ celeberrimæ : « an author ought to consider himself, not as a gentleman, who gives a private or eleemosinary treat, but rather as one who keeps a public ordinary »; et cetera, quæ fusius persequitur. Qui male latuit sub Langstaffii persona, scriptor ingeniosus hac usus est epigraphe, quæ cibi fastidium potius creet quam appetentiam : « With baked and broiled, and stewed, and toasted, And Fried and boiled, and smoked and roasted We treat the town ».

(¹) Marcianus episcopus Gazæ, qui nunc laudatur filius, fuit Mariæ,

(¹) τῶν οἰκητόρων· ἐπεὶ δὲ τῶν λόγων ἡ φύσις φιλότιμος οὖσα, τὰς τῶν ἀγαθῶν ἀρετὰς οὐ δυναμένη πρὸς ἀξίαν κοσμεῖν, ἐγκωμιάζειν ἐπιθυμεῖ, ἔδει κοινῇ συνελθόντας, ὅσοι τῇδε παιδεύειν ἐπιχειροῦμεν, διανείμασθαι τὰ σὰ πρὸς ἀλλήλους, καὶ, λαβόντα τὸ μέρος, ἕκαστον ὅλον αὐτὸν (²) εἰς τοῦτο κενῶσαι. Καὶ μόλις ἂν οὕτως ἠρκέσαμεν μίαν σοι πάντες εὐφημίαν συνθεῖναι (³).

Πολλοὶ μὲν εἰς ἑτέρους τινὰς ἐπαίνους ποιοῦσιν κεχαρισμένους, καὶ τῶν ζωγράφων μιμοῦνται τοὺς κόλακας, οἳ τοὺς καταγελαστοὺς τὴν ὄψιν παραμυθοῦνται κάλλει χρωμάτων· ὁ δὲ σὸς ἐπαινέτης τοὺς τοιούτους οὐ ζηλοῖ τῶν γραφέων. Ἔνθα γὰρ ὀπίσω τις φέρεται τῆς ἀξίας, οὐδὲν ὑποπτεύεται κολακεύειν. Τοὺς μὲν οὖν ἄλλους ἡ παροῦσα δημοτελὴς εὐφροσύνη πρὸς τὸν ἀγῶνα παρακαλεῖ· μέγα γὰρ τῷ μέλλοντι κέρδος (⁴) εὐθυμοῦντι συλλόγῳ δημοσιεύειν τὴν τέχνην· ἐμὲ δὲ μετὰ τοῦ καιροῦ πρὸς τὸν λόγον ἕτερόν τι προτρέπει. Τί οὖν ἐστι τοῦτο; πρώην ἐγὼ βραχέα περὶ τῶν σῶν πλεονεκτημάτων διαλεχθεὶς, καιροῦ δευτέρου καλοῦντος, δευτέραν ἐπηγγειλάμην εὐφημίαν ἐκτίνειν, καὶ ταῦτα συνεθέμην οὐ δυοῖν ἢ τριῶν ἀνδρῶν ἐναντίον, οὐδὲ, κατά τιν' Εὔπολιν, ἐξ ὁδοῦ (⁵) τινὰς ἀγείρας εἰς θέατρον, ἀλλὰ τῶν ἀστῶν τὰ πρῶτα συλλέξας, οὓς παραβαίνειν αἰσχρὸν, τοιαύτης λαβόμενος (⁶) εἰς ἐπίδειξιν ἀφορμῆς.

Πατρίδα μέντοι καὶ γένος, τὰς συνήθεις (⁷) τῶν ἐγκωμιαζόντων

cui parentavit Choricius oratione funebri quam edidi p. 57.

(¹) Sic τὰ τέλη, magistratus, cives primores; mox τῶν ἀστῶν τὰ πρῶτα. Dixit oratione sequente, p. 111, 13 : τοῖς ἐν τέλει τῶν οἰκητόρων.

(²) Ap., αὐτόν.

(³) Ap., συνθει... sic. Correxi συνθεῖναι.

(⁴) Excidit nonnihil. Fortasse legendum, τῷ λέγειν μέλλοντι κέρδος, τῷ τὴν αὐτοῦ δύναμιν ἐπιδείκνυσθαι μέλλοντι κέρδος, vel simile aliud supplementum.

(⁵) Ap., κατὰ τὴν εὔπολιν. Potuit corrigi forsan vere κ. τὸν Εὔπ. Malui servare corrupte voculæ sonum, scripto τιν'. Num dixerit aliquis Eupolin sibi auditores e via venatum fuisse ignoro. Fere suspicabar pro ἐξ ὁδοῦ scriptum fuisse ἐξ ᾅδου, quum Eupolis, Platonio teste De differ. person., fuerit ἀναγαγεῖν ἱκανὸς ἐξ ᾅδου νομοθετῶν πρόσωπα. Sed id est alienum nimis.

(⁶) Ap. λαβόμενοι.

(⁷) Ap., τὰς συσυνήθεις. Syllaba prior συ versum claudit, quam quum casu non meminisset se scripsisse, denuo illam initio versus sequentis scripsit librarius antiquus. Id genus errorum quam sit frequens noverunt, qui magno suo tædio apographa conficiunt.

ἀρχὰς, οὐ σχολὴν ἄγουσιν οἱ λόγοι διεξιέναι, τοῦ τεμένους αὐτοῖς εἰς ὅλην ἀρκοῦντος ὑπόθεσιν. Τοῦ δὲ μὴ πάντη δοκεῖν τὴν ὑπόσχεσιν παραβαίνειν, βραχέα τῶν ὑμετέρων (1) εἰπόντες, ὑπογράφουσι (2) τὸ χωρίον.

Νέος μὲν ὢν ἐκ ποιητικῆς ἐδρέψω τὰ κάλλιστα· συλλέγων μὲν ὅ τι χρήσιμον ἔφυ, προσμειδιῶν (3) δὲ τοῖς μύθοις· εἰς ἀνόνητον εὐφροσύνην ὑπολαβὼν πεποιῆσθαι τοῖς Ὁμηρίδαις· ὥσπερ ἐν ἄλσει ποικίλῳ (4) καὶ τὰς ὄψεις κηλοῦντι τῶν εἰσιόντων ἔστι μὲν τὰ συντελοῦντα τὴν χρείαν, εἰσὶ δὲ κυπάριττοι κύκλῳ καὶ πλάτανοι (5) καλὸν ὑπηχοῦσαι καὶ ἄκαρπον εὐθυμίαν (6) εἰσάγουσαι τῷ κεκτημένῳ τὸν χῶρον Εἶτα τὴν ἑκάστης ἡλικίας συνέριθον παίδευσιν προσλαβὼν, καὶ συγγράμμασι τοῖς ὁσίοις πρὸ τῆς ἱερωσύνης ἐγγυμνασάμενος, ἀνέβης ἐνταῦθα τῆς εὐσεβείας. Αὕτη τῆς ἡμετέρας εὐπραγίας πρόφασις πρώτη. Τὴν γὰρ ἐνεγκοῦσαν ὁρῶν περιβόλων ἀσθενείᾳ (7) προκειμένην ἀεὶ τῇ προαιρέσει τῶν πολεμίων εἰς ἅλωσιν, ἴσον νομίσας τῷ δεδουλῶσθαι τὸ τὴν ἀεὶ παροῦσαν ἡμέραν δουλείας ἐλπίδα παρέχειν, ἀμάχῳ πεποίηκας φυλακῇ ζῆν ἐλευθέρως, εἰλικρινῆ καὶ ἀνύποπτον ἄγοντας ἡσυχίαν· λέλυται δ' ἡ (8) συνήθης ἀκοὴ τῶν κακῶν, μεγαλοψυχίας συναραμένης βασιλικῆς, καὶ φιλοτιμίας τῶν ἐνοικούντων κατὰ ζῆλον ὑμέτερον δεδομένης (9)

Πλὴν, εἴ μέ τις ἔροιτο, « τί μέγιστον ἔχεις τὸν σὸν ἀνυμνεῖν ἱερέα »; ἔχων ἑτοίμως εἰπεῖν τοσαύτην περὶ τὴν πόλιν κηδεμονίαν καὶ συνέχειαν πόνων, καὶ φύσιν εὔφορον εἰς παντοίων ἔργων γονὰς, οὐδ' ἐφ' ἑνὶ (10) τούτων νεανιεύσομαι· ἀλλὰ, πάντα παραδραμὼν, τοσοῦτον ἂν φαίην, ὅτι πυκναῖς ἀεὶ διδασκαλίαις πρὸς τὸ θεῖον παιδαγωγεῖ, καὶ κοινὸς πρὸς ἅπαντας ἄνθρωπος, καὶ σεμνότης αὐτῷ πρόσεστιν εὔχαρις ἐν ταῖς συν-

(1) Est ὑμετέρων pro σῶν. Vide p. 29, n. 1. Sic et mox.

(2) Forsan, ὑπογράψουσι.

(3) Ap., προμειδιῶν.

(4) Ap., ποικίλους.

(5) Κυπάριττοι, πλάτανοι passim occurrunt in descriptionibus locorum amœnorum. Libanius t. 4, p. 774 : πλάτανοί τε εἰσὶ καὶ κυπάριττοι καὶ πηγὴ καλὴ καὶ διαφανής... Conferatur Choricius supra p. 7; Aristænetus 1, Epist. 3 initio, ex Platone.

(6) ἄκαρπον εὐθυμίαν] Phocion Leostheni apud Plut. V. Phoc. 23: οἱ λόγοι σου, ὦ μειράκιον, ἐοίκασι κυπαρίττοις· μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ, καρποὺς οὐ φέρουσιν.

(7) Ap., ἀσθένειαν. De Gaza a Marciano munita vide orationem sequentem.

(8) « Prius erat δή ». MILL.

(9) Pro δεδομένης forsan γενομένης legendum.

(10) Ap., ἐφενί. Est οὐδ' ἐφ' ἑνὶ pro ἐπ' οὐδενί.

ουσίαις, οὐ κεκομψευμένη καὶ βίαιος, προσώπου συναγωγαῖς καὶ σχήματος ἀλαζονείᾳ καὶ φωνῆς ὄγκῳ τὸν ὄχλον (1) ἐξαπατῶσα, καίτοι μέγα φρονεῖν αὐτῷ παρεχούσης τοσαύτης πλεονεκτημάτων φορᾶς.

Ἀλλὰ τὸν περὶ τούτων λόγον, εἰσαῦθις ἀναβαλοῦμαι, τρίτου σοι διασώζων ἀφορμὴν ἐγκωμίου (2). Καιρὸς γὰρ ὑπογράφειν ὅσα τῶν δρωμένων εἰς ἐπιδεικτικὴν ἰδέαν ἁρμόσει.

Βούλομαι δὲ, πρὶν ἐπὶ τοῦτο βαδίσαι τὸ μέρος, τὴν φύσιν αὐτὴν τῶν ἑορτῶν καὶ τὴν χρείαν, ὑπὲρ ἧς ὅλως εὕρηνται, διελθεῖν.

Γυμνάσιον μέγα πρὸς ἄσκησιν ἀρετῆς μνήμη τῶν ὁσίως βεβιωκότων. Ἐν γὰρ τῷ λέγειν τε καὶ ἀκούειν ὡς ἄνδρες θεοφιλεῖς τὴν εὐσέβειαν ἐπρίαντο τῆς σωτηρίας, καὶ ταῦτα πυκνῶς διηγεῖσθαι ταῖς ἐγκυκλίοις αὐτῶν ἑορταῖς, συνεθιζόμεθα δήπου παρόμοια τοῖς λεγομένοις φρονεῖν. Εἰ τοίνυν τὴν μὲν ὠφέλειαν ἡ μνήμη προξενεῖ τῶν τοιούτων, τὴν δὲ μνήμην ἡ τῶν ἱερῶν ἀνανεοῦται κατασκευὴ, μία τῶν ἀγαθῶν συνάγεται πρόφασις ὁ τὰ τεμένη δημιουργῶν (3). Μετὰ τοίνυν τῆς ὠφελείας καὶ πλείστην ἡμῖν συνεισφέρουσιν εὐθυμίαν. Τεκμήριον δέ· πολλαὶ κατὰ τὸν βίον περιέχονται φροντίδες, καὶ μόλις ὄψεταί τις οἰκίαν πάντα θέουσαν ἐξ οὐρίας (4), ἄλλων ἄλλοις ἐνοχλουμένων ἀνιαροῖς· ἵνα δὲ γένηταί τις ἐκεχειρία τῶν ἀνθρωπίνων κακῶν, καὶ ὅπως αἱ λύπαι παύωνται κατατείνουσαι καὶ χαλῶσι (5), τὸ χρῆμα τῶν πανηγύρεων ἐξευρέθη, δεινὸν ἀποσβέσαι συμφορὰς καὶ πραῧναι. Τοῦτο τῶν ἑορτῶν ἡ συντέλεια. Καὶ μέτρον μὲν αὐταῖς ὀλίγαι πολλάκις ἡμέραι, τὸ δὲ τῆς εὐφροσύνης

(1) Ap., ὄγκον, suprascripto ὄχλον « ab eadem manu ».

(2) Ap., distinguit plene post ἀφορμὴν, sententiamque inchoat in ἐγκωμίου καιρὸς γάρ. Distinxi aliter. ac scripsi τρίτου, quum in Ap. videatur esse τρίτον.

(3) Ap., τέμενη. Sed major est intelligendi verba quam nitide scribendi difficultas. Cogitabam de corrigendo : μετὰ τῶν ἀγαθῶν τῶν ἀγαθῶν συνᾴδεται πρόφασις, ὁ τὰ... vel μία τῶν ἀγ. συνάγ. πρ., τὸ τὰ τ. δημιουργεῖν.

(4) Ap., ἐξουρίας. Malui scribere divisim, et sic jam p. 21. Libanius t. 4, p. 12 : τοῖς γὰρ οὕτω γνώμης ἔχουσιν ἐξ οὐρίας φιλεῖ τὰ πράγματα φέρεσθαι. Himerius. Ecl. 13, 3 : τὴν τύχην ἴδοις ἂν ὥσπερ ἐξ οὐρίας τὸν τοῦδε βίον συμπαραπέμπουσαν. Greg. Naz. Or. 40, p. 644 : ἕως ἐξ οὐρίας πλεῖς, φοβήθητι τὸ ναυάγιον. Idem pariliter Or. 16, p. 258 : ἕως πλῇς ἐξ οὐρίας, τῷ ναυαγοῦντι δὸς χεῖρα. Ibi malim legi in indicativo tempore ἕως πλεῖς· ac sic sequentia, ἕως εὐεκτῇς καὶ πλουτεῖς, τῷ κακοπαθοῦντι βοήθησον, emendari, ἕως εὐεκτεῖς καὶ πλουτεῖς.

(5) Ap., καὶ πῶς αἱ λύπαι παύων-

ἐπὶ πλεῖστον ἐκτείνεται. Καὶ γὰρ ἤδη προϊουσῶν ἐπὶ γλυκείας ἐλπίδος ὀχούμεθα, καὶ πεπαυμένων σύλλογοί τε καὶ λόγοι περὶ αὐτῶν πανταχοῦ. Συμβαίνει τοίνυν ἡμῖν πυκνοτέρας εἶναι τὰς ἀπολαύσεις, ἐκ γειτόνων οὐσῶν ἀλλήλαις τῶν ἑορτῶν.

Εἴποι δ' ἄν τις καὶ τρίτον ἔχειν ἀγαθὸν τὴν παροῦσαν πανήγυριν, τὸν ἐν ᾧ τελεῖται καιρόν. Συνέστηκε γὰρ ἐν τῷ καλλίστῳ τοῦ ἔτους, τῶν σωμάτων οὔτε ψύχει πιεζομένων, οὔτε θέρμῃ θηλυνομένων, ἡμέρας δὲ καὶ νυκτὸς ἔναγχος ἤδη σπεισαμένων ἀλλήλαις καὶ συνθεμένων ἰσομοιρεῖν· ἡνίκα μάλιστα πᾶσιν ἡδὺς ὁ καιρὸς, καὶ πολλοὺς ἡμῖν ἀγείρει πανταχόθεν, οὐ χειμερίων νιφάδων, οὐ σφοδροτέρας ἀκτῖνος (¹) ὁδοιπόροις λυμαινομένης. Οὕτω πάντα φαιδρότατα, καὶ χάριν εἰς τὴν ἑορτὴν συντελεῖ.

Ἄτοπον οὖν τοὺς μὲν ἐκ τῶν βαναύσων ἀποτρεφομένους τὸν νεὼν κοσμεῖν οἷς (²) ἕκαστος δύναται, καὶ τεκταίνεσθαι μὲν τοὺς τοῦτο μεμαθηκότας, βιάσασθαι δὲ μαρμάρων ἀνωμαλίαν τοὺς τοῦτο πεπαιδευμένους, καταποικίλαι (³) δὲ τοὺς γραφέας ἱστορίαις παντοδαπαῖς· τὸν δὲ τῶν λόγων ἀγωνιστὴν σιωπῇ παρατρέχειν, καὶ θέλγεσθαι μὲν τοῖς ἔργοις τῶν ἄλλων, αὐτὸν δὲ μὴ σπεύδειν εὐφραίνειν οἷς ἔχει.

Ὑμῖν μὲν οὖν ἴσως τοῖς θεωμένοις περίεργόν τι δόξω ποιεῖν. Εἰ γὰρ τῷ λόγῳ σκοπὸς μιμεῖσθαι τὴν θέαν, πᾶσα δὲ μίμησις ἧττόν πως (⁴) φέρεται τῆς ἀκριβείας, δῆλον ὡς ἧττον εὐφραίνω τῆς διὰ τῶν ὀμμάτων ἐνιδρυθείσης ὑμῖν ἡδονῆς. Ἀλλὰ τοὺς ὄψει μὴ παρειληφότας τὸν τόπον, ἐνιότε δέ που τοῖς λεγομένοις ἐντευξομένους, ἐναργέστερον, οἶμαι, διδάξει τὰ γεγραμμένα τῶν ἀβασανίστως ἐπαγγελλόντων· μᾶλλον δὲ καὶ τοῖς ὁρῶσιν ὑμῖν (⁵) εἰσάγει τινὰ τέρψιν ὁ λόγος, εἴπερ, ἃ βλέπειν ἡδὺ, τούτων ἀκροᾶσθαι τερπνόν.

Βαδίσας τοίνυν πρὸς ἄρκτον τοῦ ἄστεος, ἐξ ἀγορᾶς εἰς εὐώνυμον παρακλίνας, ἐν προθύροις ἑστὼς, ἐν ἀμφιβόλῳ γενήσῃ τὸν λογισμὸν, εἴτε δεῖ τῶν προπυλαίων ἀπολαύειν εἰς χόρον, εἴτε πρὸς τὴν εἴσω δραμεῖν

ται κατατείνουσι καὶ λαλῶσι. Correxi probabiliter.

(¹) Ap., ἀκτίνος.

(²) Ap., ὡς, suprascripto οἷς, quod in codice est « a secunda manu », quodque prætuli, quum sit paululum infra εὐφραίνειν οἷς ἔχει.

(³) Ap., καταποικίλλαι.

(⁴) Ap., ἧττον πῶς. Simile mendum fuit p. 10, 1, erit p. 86, 2; etiam alibi.

(⁵) « Prius ἡμῖν ». MILLER.

εὐφροσύνην, ἀπὸ τῆς ἐκτὸς εὐπρεπείας τὴν ἔνδον οἷα πέφυκε τεκμαιρόμενον. Κιόνων γὰρ ἐκ Καρύστου (¹) τεττάρων κατὰ μέγεθός τε καὶ θέσιν ὑπεραιρόντων τοὺς τῆς ἀγοραίου στοᾶς, χρώμασί τε καλλωπιζομένων ἐμφύτοις, ἀψῖδα (²) φέρουσι μίαν οἱ μέσοι. Τὴν δὲ περιέχει τί σχῆμα, κύκλοι περιφανεῖς ἑτέροις ἐλάττοσιν εὐαρμόστως συνδεδεμένοι, ὧν ὁ μεσαίτατος, καὶ τῆς ἀψῖδος τῇ κορυφῇ περικείμενος, τοῦ σωτηρίου πάθους ἀνέχει τὸ σύμβολον (³), ἐκ τῆς αὐτῆς τῶν κύκλων ἁρμονίας συγκείμενον. Ἡ δὲ τῆς ὀροφῆς ἐργασία (⁴), τὸ μέσον μὲν αὐτῆς ἀψῖδες εἰσὶ τέτταρες, τετράγωνον περιέχουσαι τύπον· ὧν τὸ μεταξὺ τέτρασιν ἤρεψεν ὁ τεχνίτης κοιλαινομένοις (⁵) τριγώνοις· τὸ δὲ τῶν ἄκρων ἑκάτερον μία ποιεῖ σφαῖρα διάκενος ἐπίσης μεριζομένη.

Ἐντεῦθεν ἀνιόντα σε διαδέχεται τόπος τέτρασι χώραις ἐξ ἴσου (⁶) μετρούμενος· κιόνων δὲ τοσοῦτον διεστηκότων τῶν τοίχων, ὡς μήτε ταῖς στοαῖς εἰς ἔλαττον συνάγειν τὸ εὖρος, μήτε τὸ μέσον εἰς βραχύ τι συστέλλειν, τούτων κύκλῳ περιθεόντων οἱ παρὰ τὰς εἰσόδους εὕρηνται μᾶλλον ἀψῖσιν (⁷) ὑποτεταγμένοι, ξύλων χωρὶς ἐπιζευγνύντων αὐτοῖς τὰ κιόκρανα (⁸) πλείονος εἵνεκα κάλλους.

(¹) Senecæ dicitur « ferax varii lapidis Carystos » Troad. 837. Ibi de Carysto mala Farnabii notula, « una e Cycladum insulis », repetita fuit a nupero editore, qui suppresso Farnabii nomine errorem suum esse fecit. Tibullus 3, El. 3, 14 : « Quidve domus prodest Phrygiis innixa columnis, Tænare sive tuis, sive Caryste tuis » ? Ibi Brukhus. Addatur Caryophyllus De antiquis marmoribus p. 19; Choricius infra p. 89, n. 2.— Hinc incipit descriptio formarum tectonicarum, quam sine ichnographia pauci intelligent, nec is sum qui illam interpretari possim. Par est difficultas orationis sequentis qua describitur S. Stephani templum. Splendidis fuit tunc temporis Gaza ædificiis ornata, quarum ruinas vidit ac fuit admiratus Willermus Tyr. Hist. 7, 12 : « fuerat » inquit, « Gaza civitas antiquissima,... ædificiis præclara, cujus antiquæ nobilitatis in ecclesiis et amplis domibus, licet dirutis, in marmore et magnis lapidibus, in multitudine cisternarum, puteorum quoque aquarum viventium, multa et grandia exstabant argumenta ». Rursus 20, 20 : « fuit autem Gaza, urbs antiquissima,... cujus in historiis tam ecclesiasticis quam secularibus multa fit mentio »; etc.

(²) A ἀψῖδα. Accentum circumflexi, ac sic deinceps in illo nomine.

(³) Crucem symbolum Passionis.

(⁴) Apud Choricium syntaxis nominativi pendentis est frequens.

(⁵) Ap., τέτρασσιν, ut et mox. — Ap., κοιλανομένοις.

(⁶) Ap., ἐξίσου.

(⁷) Ap., ἀψίσιν, sic scribente Millero viro d ex vocabuli reliquiis ἀ | ιν.

(⁸) Ap., κιόκρανα, sic. De quo

Αἱ μὲν οὖν τοῦ στέγους πλευραὶ κατὰ μέσον ἑκάστη κυλίνδρων ὡραΐζονται τμήμασιν· ὁ δὲ κύκλος ἀνειμένος ταῖς αὔραις τὴν ὥραν τοῦ ἔτους, καὶ ἄλλως εὔχαριν οὖσαν, ἡδίω σοι προξενεῖ.

Παραδραμόντι δὲ τοῦτον ἐν δεξιᾷ πρὸς ἥλιον ἀναχωροῦντα, τὰ μὲν πρὸς μεσημβρίαν, χωρίον ἐστὶ τῷ τὴν ἱερωσύνην λαχόντι δικαίως εἰς πρόσρησιν ἱδρύμενον ὀφειλομένην — ἀλλὰ τὸ χρέος ἡμᾶς οὐ νόμος μᾶλλον συνήθης ἢ τῶν τρόπων αὐτοῦ τὸ χρηστὸν ἀποδιδόναι προτρέπει —τὰ δὲ πρὸς ἄρκτον παραλαβοῦσα τοῦ τεμένους ἡ πρὸς ἑσπέραν εὐμήκης στοὰ μεστὸν εὐθυμίας εἰσάγει παγκάλης αὔρας ἐκ τοῦ πρὸς ζέφυρον πνεούσης προτεμενίσματος· πνεῖ γὰρ ἡδύς τε καὶ ἄλυπος, καὶ, τῶν ἱματίων ἐντὸς ὑποδὺς, ἠρέμα διαψύχει τὰ σώματα, τῶν ἐσθήτων αἰωρουμένων τῷ πνεύματι.

Εἰσιὼν οὖν, ἰλιγγιάσεις τῷ ποικίλῳ (¹) τῶν δρωμένων, καὶ, πάντα φιλονεικῶν ἀθρόως ἰδεῖν, οὐδὲν ἐναργῶς οἰχήσῃ τεθεαμένος, περιφερομένων σοι τῇδε κἀκεῖσε τῶν ὀφθαλμῶν, οὐδὲν ἀόρατον καρτεροῦντι παραλιπεῖν· ὅ τι γὰρ ἂν παραδράμοις (²), οἰήσῃ τὸ κάλλιστον ζημιοῦσθαι. Κἂν πύθηταί τις ὅτῳ μᾶλλον τίθεσαι (³) τῶν εἰργασμένων, διασκεψάμενος μὲν ἀπορήσεις· ἀπορήσας δὲ, πάλιν περισκοπήσεις· οὐκ ἔχων δὲ κρίνειν, ἀντερωτᾷς· « σὺ δὲ τίνι μᾶλλον ἥσθης τῶν ὁρωμένων » ; ἀπὸ γὰρ τῆς στοᾶς, ἣν εὐμήκη προσεῖπον πρὸς βορέαν ἄνεμον μάλιστα, περίστυλος ἵδρυται χῶρος πρὸς μυσταγωγίαν ἐξαίρετος, ψηφῖδος αὐτῷ λεπτῆς ὁμοῦ καὶ πυκνῆς, πολυτρόποις εἴδεσιν ὡραϊζούσης τὴν γῆν.

Ἀπὸ δὲ τῆς αὐτῆς ἕτεραι δύο λαμβάνουσαι τὰς ἀρχὰς, ἡ μὲν ἐπὶ μεσημβρίαν, ἡ δὲ πρὸς τὴν ἐναντίαν χώραν ἰθυτενὴς, ἓν ἀμφότεραι μέτρον εἰσίν. Αἱ δὲ πλευραὶ τῶν στοῶν, αἱ μὲν εἰσὶ τοῖχοι, πλάκας ἠμφιεσμένοι, τῇ μὲν τέχνῃ μιᾷ συνεχομένας ἁρμονίᾳ, τῇ δὲ φύσει τῆς ὕλης ἶσα (⁴) καὶ γραφικῇ ποικιλίᾳ κεκοσμημένας. Οἱ δὲ κίονες καὶ πρὸς ἀλλήλους καὶ πρὸς αὐτὸν (⁵) ἕκαστος μιᾷ χρώμενοι συμφωνίᾳ, προσθή-

nomine vide Notit. mann. t. 10, part. 2, p. 187.

(¹) Ap., ποικιλῷ.

(²) Ap., παραδράμῃς, superscripto οι, « eadem manu ».

(³) Ap., τίθεσθαι. Scripsi τίθεσαι. De τίθεμαι in sensu assentiendi monui ad Nic. Chumni Epist. in Anecd. Novis p. 227, 259. Conf. p. 101, n. 5.

(⁴) Ap., ἴσα. Et sic alias, scribendi modo a prosa oratione alieno. Conf. pag. 40, n. 3.

(⁵) Ap. αὐτοὺς, superscripto ὸν « eadem manu ».

καις ἀψίδων ἀναβαίνοντες ἄχρι τῶν ἀνεχόντων κιόνων τοῦ τεμένους· τὸ μεσον ᾠδέ που (1) σχήματος ἔχον· τεττάρων ἀλλήλαις ἀντιτεταγμένων ἀψίδων, ἕτεραι τοσαῦται τὸν ἀριθμὸν πρὸς ἐναντίαν αὐταῖς ἀντιβαίνουσι στάσιν. Ὀκτὼ δὴ τούτων ἑκάστη συζυγία μεταξὺ περιείληφε κοίλην ὀροφὴν εὖ μάλα πεποικιλμένην, ὥστε φαίη τις ἂν κἂν ταῖς οἰκοδομίαις (2) τὴν ἰσότητα τὸν ἱερέα φυλάττειν. Οὐδὲν γὰρ ἐνταῦθα τοῦ ἐναντίου πλεονεκτεῖ· πάντα δὲ πρὸς τὴν ἴσην καὶ σύμμετρον μορφὴν ἀντιτέταται, τῆς πρὸς ἀνίσχουσαν ἀκτῖνα πλευρᾶς κογχοειδῶς τὸ μέσον κοιλαινομένης, οὗπερ ἱδρύσθαι τὸν ἱερέα νομίζεται. Εἰ δὲ δεῖ μηδὲ τῶν μηχανοποιῶν ἀτιμάσαι τὴν τέχνην, ἀλλ', ὡς ἂν ἐκεῖνοι φαῖεν, εἰπεῖν· κυλίνδρου μέρος ὀρθὸν ἐφέστηκε τῷ ἐδάφει, τετάρτου μέρους αὐτῷ σφαίρας ἐπικείμενος (3) κενῆς. Καὶ τῆς αὐτῆς εὐσχημοσύνης ἕτεραι δύο τὸν αὐτὸν ἑκατέρωθεν τοῖχον ἰδέων (4) κοσμοῦσι, πρὸς ἀλλήλας μὲν ἴσαι, τῆς δὲ μέσης ἡττώμεναι τῷ μεγέθει, καὶ τοῖς ποικίλμασιν ἀλλήλαις μὲν ἐοικυῖαι, τῆς δὲ μείζονος αὖθις ἀπᾳδουσαι.

Ἡ μὲν γὰρ ὑποχρύσῳ καὶ ἀργυρίτιδι ψηφῖδι κεκοσμημένη τοῦ Σωτῆρος ἐν μέσῳ δείκνυσι τὴν μητέρα τὸν υἱὸν ἐνθεμένην τοῖς κόλποις ἄρτι τεχθέντα· περιέστηκε δὲ χορὸς ἀμφοτέρωθεν εὐσεβής. Ὁ δὲ τούτων ἄκρον ἐπέχων τὸ δεξιὸν, πάντα μὲν ὢν βασιλικὸς (5), πρέπων δὲ συγγεγράφθαι θεοφιλεῖ καταλόγῳ, καὶ τῶν πάλαι διακονησάντων θεῷ τὸν ἀρχηγέτην ὁμώνυμον ἔχειν, τά τε ἄλλα καὶ ὅτι τοὺς πολίτας ἐδωρήσατο τῷ νεῷ, συναγωνιστὴν ἐκ τῶν πόνων (6) τὸν ἱερέα λαβών. Ἤδει (7) γὰρ ὡς αἱ μὲν ἄλλαι φιλοτιμίαι μόνην εὐπρέπειαν τῇ πόλει περιποιοῦσιν, ἡ δὲ τῶν ἀνακτόρων κατασκευὴ μετὰ τοῦ κάλλους καὶ δόξαν ὁσιότητος συνεισάγει. Οὗτος οὖν τοῦ νεὼ προστάτην (8) ὄντα πλησίον εὐμενῶς δέξασθαι τὸ δῶρον αἰτεῖ· ὁ δὲ πείθεται καὶ γαληνῷ θεάματι τὸν ἄνδρα προσβλέπει, τῶν ὤμων αὐτοῦ θατέρῳ τὴν δεξιὰν ἐπικλίνων, καὶ δῆλος ἐστὶν

(1) Ap., ὧδε πoῦ.
(2) « Prius οἰκοδομαῖς ». MILL.
(3) Sic Apographum.
(4) Ap., ἰδέων. Sic. λ
(5) Ap., βασι, sic. Scripsi βασιλικός. Qui innuitur fuit ὁμώνυμος τῷ ἀρχηγέτῃ veterum dei servorum. Mihi non liquet. Suspicari licet nomen viro fuisse Βασίλειον.
(6) Fors., deleto ἐκ, συναγωνιστὴν τῶν πόνων.
(7) Ap., ἤδει. Sic supra fuit ἀπάδουσαι pro ἀπᾴδ.
(8) Templi πρoστάτης Sergius est. Videtur legendum τὸν προστ.

αὐτίκα συστήσων αὐτὸν τῇ τε Παρθένῳ καὶ τῷ παιδὶ τῷ Σωτῆρι.

Καὶ τὸ μέσον μὲν εἶδος τοιοῦτον· ἐν δὲ τοῖς ἑκατέρωθεν εἰρημένοις ἀειθαλῆ φύεται δένδρα, ψυχαγωγίας ἀμήχανον (¹) μεστά. Αἵ τε γὰρ ἄμπελοι μάλα ἀμφιλαφεῖς καὶ σύσκιοι, ὅ τε ζέφυρος διασείων τοὺς βότρυς ὑπηχεῖ τοῖς κλάδοις ἡδύ τι καὶ ἠρεμαῖον. Ὅτι γὰρ ἥδιστον ἄκουσμα δένδρον ὑποσυρίττον ταῖς αὔραις, οἶδεν ὁ Συρακούσιος ποιητὴς (²), ψιθυριζούσῃ πίτυϊ βουκολικὴν σύριγγα παραβάλλων. Κομψότατον δὲ πάντων κάλπις ὕδατος, οἶμαι, ψυχροῦ· τὸ γὰρ ἔμπνουν τοῦ τεμένους παρέχει τοιοῦτον εἰκάζειν. Ἀηδόνα μὲν οὖν καὶ τέττιγα τὰς ὄρνις τῶν ποιητῶν ἀπεδοκίμασεν εὖ ποιῶν ὁ τεχνίτης, ἵνα μηδὲ μυθικῶν ὀρνίθων ἐν εὐσεβεῖ χωρίῳ συνεισέρχηται (³) μνήμη· ἀντὶ δὲ τούτων πλῆθος ἑτέρων ὀρνέων καὶ περδίκων ἀγέλην φιλοτεχνήσας, ἴσως ἂν καὶ μουσικὸν ὑπηχοῦσαν ἐποίησεν, εἰ μὴ πρὸς τὴν θείαν ἀκρόασιν ἐμπόδιον ἦν φθεγγομένη.

Ἐπιστρεπτέον δὴ τὸν λόγον ὅθεν ἐξέβημεν.

Τεττάρων οὖν τῶν ἔνδον ἁψίδων περὶ ὧν ἀρτίως διεξιὼν ἐπαυσάμην, τούτων ἑκάστην τοῖχοι συνέχουσιν ἀμφοτέρωθεν, ἴσα ταῖς ἀψῖσιν αὐταῖς εἰς ὕψος μετρούμενοι, τοίχους δὲ φέροντες ἐγγωνίους (⁴) καὶ κίονας ἐφικνουμένους ἄχρι τοῦ τὴν ὀροφὴν αἰωροῦντος συνδέσμου.

Ἔοικα δὲ τὰ μεταξὺ παρατρέχειν· ὑπὸ γὰρ τοῦ συνδέσμου τὰς συμβολάς,

« ὄχναι καὶ ῥοιαί, καὶ μηλέα ἀγλαόκαρποι (⁵) »

ἐν ἁπάσαις ὁμοίως ἄνθουσαι ταῖς ὥραις, οὔτε χειμῶνι φιλοῦσαι παραχωρεῖν, οὔτε φορᾶς ὑδάτων δεόμεναι. Οὕτως ἡμῖν ἐστὶ πρὸς τὸν βασιλέα τῶν Φαιάκων ἐρίζειν, ᾧ φασὶν οὔποτε καρπὸν ἀπολήγειν χείματος οὐδὲ θέρους (⁶).

Ἐγὼ καὶ τὸν λόγον ὑφ' ἡδονῆς εὐκολώτερον εἰργασάμην· διὰ γὰρ

(¹) Forsan ἀμηχάνου. Erit ἀμήχανον pro adverbio.

(²) Margo codicis : Θεόκριτος λέγει. Malim Θεόκριτον. Vide initium Idyllii primi Syracusani poetæ : Ἀδύ τι τὸ ψιθύρισμα...

(³) Ap., συνεισέρχεται.

(⁴) Ap., ἐνγωνίους.

(⁵) Versus est Od. 7, 115.

(⁶) Odyss. 7, 117, de arboribus Alcinoi, Phæacum regis : Τάων οὔποτε καρπὸς ἀπόλλυται, οὐδ' ἀπολείπει Χείματος, οὐδὲ θέρευς ἐπετήσιος.

τῶν ὀμμάτων ἡ ψυχὴ κηλουμένη πέφυκεν ἀπονώτερον τίκτειν. Ἐκεῖθεν, οἶμαι, τὰς Σειρῆνας ὁ ποιητὴς ἐν ἄνθεσι διαιτωμένας πεποίηκεν (1), ὡς τῆς τοιαύτης διατριβῆς εἰς μουσικὴν ἁρμονίαν συλλαμβανούσης.

Αὐτὸς τοίνυν ὁ ποιητὴς τὸν ἀετὸν ὑψιπετῆ καλέσας (2), οὐ διέλαθεν, ὡς ἔοικε, τὸν τεχνίτην (3). Ἰδοὺ γάρ, ἀναπετάσαντες τὰ πτερά, τῶν παρακειμένων τε δένδρων ἀποδρεψάμενοι, φιλονεικοῦσι μετάρσιοι φέρεσθαι.

Καὶ δὴ πρὸς ἅπαντα λίαν ἐκπεπληγμένος, ἐπιεικῶς ἄγαμαι τοῦ τεμένους τῆς ὀροφῆς. Τοῦ συνδέσμου γὰρ ἐκ τεττάρων συντεθειμένου πλευρῶν, ἕτερον ἐκ δὶς τοσούτων συνεστηκὸς ἐντὸς συνήρμοσται σχῆμα κύκλον περιλαβόν, μετεωρίζοντά που τὸν ὄροφον τὸ διὰ πάντων ἤδη τοῦτο κάλλος· εἰς ἂν ἀναβλέψας αὐχένος δεήσῃ πρὸς ὕψος ἀνατείνεσθαι γεγυμνασμένου· οὕτως ὑπερανέχει τοῦ ἐδάφους, εἰκότως, οἷα μιμούμενος οὐρανοῦ τὸ δρώμενον· ἀλλὰ καὶ τοῦ τέγους (4) οὕτω διεστηκότος, τοσοῦτον ἔχουσιν ὕψους οἱ κίονες, ὡς, ἑτέρων ἂν τοιούτων ἐπιτεθέντων εἰς αὐτὸν ἀναβαίνειν τὸν ὄροφον, οἰηθείη μὲν ἄν τις οὐκ εἶναι τούτων ὑπερβολήν· ἔνεστι δὲ τιμιωτέρα. Ὥσπερ γὰρ ἀφθόνου πηγῆς χρυσίου σοι νάματα χορηγούσης, χρυσὸς μὲν τοῖς ἀετοῖς περικέχυται· χρυσὸς δὲ περιανθεῖ, τὰς ἀψῖδας τὰς μὲν αὐτὸς ὡραΐζων, τὰς δὲ μίξει κυανοῦ χρώματος ἐναλλὰξ πεποιημένου φαιδρύνων, ὡς ἐν μέρει καλλωπίζεσθαι καὶ κοσμεῖν.

Ἀριθμείτω μοί τις τὰς πόλεις ὅσαι μεγαλαυχοῦσιν ὕλης πολυτελείᾳ (5).

(1) Hom. Od. 12, 44 : Ἀλλά τε Σειρῆνες λιγυρῇ θέλγουσιν ἀοιδῇ, Ἥμεναι ἐν λειμῶνι.

(2) Non semel initio versus Homerus : αἰετὸς ὑψιπετής.

(3) Ap., τῷ τεχνίτην.

(4) Ap., τοῦ τέγη.

(5) Ap., πολιτελείᾳ. Permutantur passim vocales ι et υ. Theophilus Alex. Orat. De vita humana, p. 7 : τὸ ὄρνεον ὕλος τηρεῖ τὸν κροκόδειλον, ἕως ἂν ἴδῃ αὐτὸν ἡδέως καὶ ἀμερίμνως ὑπνώσαντα καὶ τὸ στόμα ἀνεῳγμένον ἔχοντα, καὶ τότε εἰσπηδῆσαν εἰσέρχεται διὰ τοῦ στόματος αὐτοῦ εἰς τὴν κοιλίαν αὐτοῦ, καὶ διαῤῥῆξαν τὴν γαστέρα αὐτοῦ ἐξέρχεται, καταλιπὼν αὐτὸν νεκρόν. Confundebat memoria lapsus quod de trochilo narratur crocodili dormientis purgante dentes et de ichneumone qui, per os facta irruptione, ejus viscera lacerat. Est ὕλος finis male scriptus nominis τροχίλος decurtati. Poetaster ver describens in Anecd. Paris., t. 4, p. 349, 31 : Ἀλκυονὶς δ' ἁλίοις ῥοθίοις ἐπιμίγνυσιν ὕδωρ. Monet v. d. esse in cod. ἀλκιονίς. Est in cod. nitide pictum ἀλκυονίς. Rursus, p. 349, 22, editor apte correxit nomen quod librarius recte scripserat : Πορφύρεός τ' ὑάκινθος εὔχνοος οἶάτε

Ἡ Προικόννησος (1), φασὶν, ἐπὶ τοιούτοις ἀγάλλεται · ἡ Λακεδαίμων εἰς μαρμάρων γένεσιν εὐφυὴς (2), καὶ τὴν Κάρυστον λόγος εἰς τὴν τοιαύτην ἐπιτηδείως ἔχειν φοράν (3). Εἰσὶν ἑτέραι πλάκες, αἷς λέγουσιν ὄνομα γενέσθαι τὸν ποταμὸν παρ' ὃν μεταλλεύονται (4). Καὶ τὴν Καρίαν ἀκούω φιλοτιμεῖσθαι λιθοτομίας ἄνθει (5)· Αὗται (6) πᾶσαι τῷ τεμένει δωροφοροῦσιν ἐξ ὧν ἐναβρύνονται. Διηκόνησε καὶ Θετταλία (7) τί τῳ νεῷ (8),

μοίραξ. Legendum esse monemur μεῖραξ. Codex exhibet omnino μείραξ. Erit versus sic scribendus : Π. θ' ὑάκινθος εὔχνοος οἷάτε μεῖραξ. Sic sæpe cæcutimus qui codices describimus. Ipse, qui censorem ago, protuli ad Anecdota Nova, p. 366, ex eodem codice epigramma cum verbis κοῦρ' ἔτι quæ corrigebam legendo κοῦρε τί. Sed nuper inspecto iterum codice, nullum reperio accentum, sed nude κουρετι. Cramerus cujus Anecdota tunc non noveram tacite exhibuit κοῦρε τί, t. 4, p. 384, 47. Neque fui accuratior ad Babrium, p. 225. Recitata Crameriana emendatione ἄστρων καὶ φορὰν δι' ἀέρος lectionis a se repertæ φθορὰν διὰ ἔρος, dixi in meo me habere apographo, raptim quidem scripto, nec ad codicem adhuc exacto φθορὰς δι' ἀέρος. Codice iterum adhibito esse video φθορὰν et διὰ ἔρος quidem, sed pristinam lectionem ab ipso librario inductam ac nitide satis in melius refictam.

(1) Ap., προικόννησος. Duplicavi literam ny. Est usitatior nominis forma Προικόννησος. Vide n. ad Heroica Philostr., p. 218, 541; Leopardum Emend., 20, 18; Duker. ad Thuc., 3, 32; L. Dind. in Thes. Steph. V. Ἐλαφόννησος. — De marmore Proconnesio egit Caryophyllus libro De marm.

(2) Et marmorum feraces Laconiæ montes Tænarus et Taygetus. Tænarias columnas memoravit Tibullus 3, 3, 14, laudatus p. 84, n. 1. Multa ad Tibullum congessit Brukhus., plurima Caryophyllus p. 7. Adde quæ annotavere viri doct. Hasius et L. Dindorf. in Thesauro Græco V. Λακεδαίμων.

(3) De Carysto, p. 84, n. 1.

(4) Ut Sangarius lapis, exempli causa, a flumine Sangario vocatus.

(5) De marmore Carico Caryoph. ibid., p. 27.

(6) Ap., ὗται, et apposito « sic ». Visum est scribere αὗται.

(7) Thessalicum marmor illustrat Caryophyllus ibid., p. 10. Eumathius Hysm. 1, p, 9 : λίθος ἦν ὁ αὐλὸς καὶ λίθος ἑκατοντάχρους ἐκ θετταλῆς λίθου. Sic codex 2897; alius θετταλοῦ. Pro genere masculino facit alius locus, p. 13 : λίθος Χῖος, ὁ ἐκ Λακαίνης, καὶ Θετταλός · indicatis tribus marmoribus, idque nitidissime, quod moneo ob difficultatem hic somniatam quæ nulla est : vide Bassi notam, p. 256.

(8) Ap., ναῷ. Qui modo scripsit νεὼ, mox dicet ὁ νεὼς τὸν νεὼν, et nunc τῷ νεῷ dicere debuit. In oratione proxima mutabo ναῶν pariter. Himerius Orat., 18, 1 : ἐν Δήλῳ ταύτῃ τῇ νήσῳ νέον τινὰ φασὶν οἱ ἐπιχώριοι δείκνυσθαι λόγον μὲν ταῖς κατασκευαῖς καὶ τῷ λόγῳ καὶ τοῖς περὶ αὐτοῦ διηγήμασι. Conjecit Wernsdorf. ναὸν, et simul melius νεών. Conjecit Reisk. λιτὸν pro λόγον, Wernsd. λόγοι μικρὸν μέν.... ἀξιόλογον δὲ τοῖς π. α. διηγ. Propono, ὀλίγον μὲν τ. κ., μέγαν δὴ τῷ λόγῳ... Notus usus adjectivi ὀλίγος ἀντὶ τοῦ μικρὸς vel ex Theocrito, id., 1, 47, ubi ὀλίγος τις κῶρος, cum nota Kies-

κίονας ἅμα καὶ πλάκας τῷ σεβασμίῳ χορηγήσασα τόπῳ ἔνθα τὸν ἱερέα φιλεῖ καθίζειν ὁ νόμος. Ὄψει καὶ τράπεζαν ὅλην ἐξ ἀργύρου τὴν ἱερὰν κίοσιν ὁμοτίμοις ἐνιδρυμένην· πλοῦτος γὰρ εἰς εὐσέβειαν ῥέων, ἀέναος τῷ κεκτημένῳ.

Ἐνταῦθά τις πάλιν ἐμοὶ καταλεγέτω τὰς πόλεις ὅσαις ὄνομα γέγονεν ἐξ ἀνακτόρων κατασκευῆς, τῶν μὲν ἐν καλῷ κειμένων τοῦ ἄστεος, τῶν δὲ λίθων αὐγαῖς ἀστραπτόντων, ἑτέρων ἐκ μεγέθους βεβοημένων, ἄλλων γραφῆς ἀγλαΐᾳ λαμπόντων. Τὰ γὰρ ἅπασι τοῖς ἄλλοις μεμερισμένα, ταῦτα συλλήβδην ἔχει τὸ τέμενος.

Οὕτω δὲ γέμων ὁ χῶρος πολυτελοῦς εὐπρεπείας καὶ τοῖς ἡδίστοις ὧδε πέπνευται (¹) τῶν ἀνέμων, πανταχόθεν αὐτοῖς εἰσόδους ἀνοίγων, ἄλλας ἄλλως ἐξησχημένας καὶ φῶς ὅτι πλεῖστον παραπεμπούσας. Καὶ τοσοῦτον αὐτῷ μεγέθους περίεστιν, ὥστε πολλοὺς πολλαχόθεν ἐνθάδε συρρέοντας δόξαν ὀλίγων διδόναι, πολλῆς ἑκάστῳ προσούσης εὐρυχωρίας. Τὸ δὲ παράδοξον· τῶν ἔργων ὅσα πολυτελῶς οἰκοδομούμενα κρύπτεται πρὶν εἰς πέρας ἐλθεῖν, ἀθρόως φανέντα φιλεῖ καταπλήττειν· προκείμενα δὲ τοῖς κατὰ μικρὸν ὁρᾷν βουλομένοις, κόρον δεδωκότα τῇ συνεχείᾳ θέας, ἐκπίπτει τοῦ θαύματος. Ὁ δὲ νεὼς οὑτωσὶ πᾶσιν εἰς τέλος ἀνεῳγμένος, ὡς ἐν τῇ πανηγύρει πρῶτον φανεὶς, ἀπειλήφει τὸν ἔπαινον.

Ἃ τοίνυν ἡμᾶς ὑπογράφειν ἐχρῆν μήτε παραλιπόντας τι τῶν ἀξίων (²)

lingii, mea quoque in editione altera. Theocritus, 22, 115 : ὀλίγος ἀνήρ. Schol., μικρός. Hesiodus E., 641 : νῆ' ὀλίγην. Schol., μικράν. Aristoteles Poet., c. 22, recitatis versibus Odyss., 9, 515; 20, 259, ubi ὀλίγος illo sensu, notat vocabuli improprietatem, esseque μικρὸς proprium. Ibi Winstanleyus in Indice apponit verba Lexicographi utilia; sed nominandus fuit Suidas. Aliquid est vitii in tali allegandorum testimoniorum obscuritate. Et Latinis parvus usurpatur pro modico : vide Heusinger. Observ. antibarb., p. 425.

(¹) Ap., πεποίηται. Scripsi πέπνευται, sententia, ut visum est, id poscente.

(²) Ap., τί τῶν ἀξίως. Permutantur non raro syllabæ ως ων. In Pselli Opusculis, p. 86, variatur inter προσφυῶν atque προσφυῶς. Æschylus Pers. 178 : Εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι Μήτ' ἔπος, μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλοι. Veteres prætulerim lectiones, ὡς ἂν δύν. ἡγ. θέλῃ· « prout facultas nobis dux fuerit ». Idem eadem syntaxi Eum., 35 · Μαντεύομαι γάρ, ὡς ἂν ἡγῆται θεός : « vaticinor enim, prout præiverit deus ». Vir d. conjecit ὧν, « quod « sententia postulat », ait. Mihi liceat dissentire. A magno poeta delabor ad infimum. Theodorus Prodr. Rhod. 8, p. 370 : Οὐ μὴν ἔληξε καὶ Μυρίλλας ὁ φθόνος · Ἀεὶ

εἰρῆσθαι, μήτε πάντα καταλέγοντας ἐφεξῆς τοῦ μὴ δοκεῖν ἔχειν ἀπειροκάλως, ταῦτα ἐστί. Βούλεσθε οὖν ἐνταῦθα καταλύσωμεν (1) τὸν λόγον; ἢ δόξομεν (2) ἀδικεῖν, εἰ, τὰ τῶν ἄλλων τεχνῶν ἔργα κοσμήσαντες, γραφικὴν ἀτιμάσομεν, τοσούτῳ τῶν ἄλλων τιμιωτέραν ὅσῳ μᾶλλον μιμεῖται τὴν φύσιν, ἔμψυχά πως βιαζομένη δημιουργεῖν (3). Τὴν μὲν οὖν ὅλην αὐτῆς ἐργασίαν, ἣ περιδραμοῦσα τὸν νεὼν ἐκαλλώπισεν, εἰ βουλοίμεθα (4) φράζειν, λόγων ὑφαίνομεν μῆκος ἀλλότριον ἑορτῆς. Ὅθεν τὰς ἐπὶ τῶν τοίχων ἱστορίας παραδραμὼν, ἐπὶ τὸν ὄροφον ἀναβήσομαι.

Ἄρτι γάρ τις ὑπόπτερος ἐξ οὐρανοῦ καταβὰς τῷ ζωγράφῳ καὶ φοιτήσας παρὰ τὴν ἄνευ συνοίκου μητέρα, μήπω γενομενὴν μητέρα, τοῖς εὐαγγελίοις ἀσπάζεται, σεμνῇ σεμνῶς ταλασιουργούσῃ περιτυχών (5). Καὶ σχηματίζεται μὲν οἷά τις πρὸς ταύτην διαλεγόμενος· ἀλλὰ γὰρ εἰ καὶ φωνὴν ἐνέθηκεν (6) ὁ ζωγράφος αὐτῷ, οὐ ῥᾴδιον τὰ λεγόμενα (πολὺ γὰρ τὸ μέσον) ἀκούειν. Ἐκπλαγείσῃ δὲ πρὸς τὴν ἀνέλπιστον θέαν, ἀθρόως τε τῷ θορύβῳ μεταστραφείσῃ, μικροῦ τῆς χειρὸς ἐξέπεσεν ἡ πορφύρα, θηλύνοντος αὐτῇ τοῦ φόβου τῶν δακτύλων τὴν ἁρμονίαν. Τὸ γὰρ θῆλυ τῆς φύσεως καὶ ἄκακος ἡλικία (κόρη γὰρ ἦν εὐπρεπὴς εἰς (7) παστάδα) ταράττει καὶ ποιεῖ τὴν πρόσρησιν ὑποπτεύειν. Ὁ μὲν οὖν τὸ προσταχθὲν διακονήσας ἀπέπτη (8)· ἐξιοῦσα δὲ τοῦ θαλάμου πρὸς γυναῖκα συγγενῆ τε καὶ φίλην (9), ἣ μὲν ἔμελλεν αὐτῇ τὸ συμβὰν διηγεῖσθαι, ἡ δὲ φθάνει προαισθομένη καὶ προσπίπτει πρὸς τὸ στῆθος τῇ κόρῃ· πρὸς τὰ

δ' ἀπαξάπαντα τοῦ λοιποῦ χρόνου Κακοῤῥάφων ἔῤῥαπτε λίνα δικτύων, Δι' ὧν ἀγρεῦσαι τὴν Ῥοδάνθην ἰσχύσει. Latine versum est adjectivum κακοῤῥάφος sensu activo « male consuens, struens », adposito hoc ipso exemplo. Sed significatio passiva esse debet, et casus rectus fuerit κακόῤῥαφος, « male consutus, structus ». Vel poterit scribi κακοῤῥάφως, ex dicta permutatione, vel κακοῤῥαφῶν, ab κακοῤῥαφής, vel κακοῤῥαφοῦσ', Myrilla scilicet.

(1) Ap., καταλύσομεν.

(2) Ap., ἢ δόξομεν. Scripsi ἦ, « utique videbimur ».

(3) Ap., ἔμψυχα πως.

(4) Ap., ἠβουλήμεθα. Scripsi, εἰ βουλοίμεθα. Sed non id satisfacit omnino.

(5) Tabula picta, cujus argumentum fuit Annunciatio Mariæ Virginis.

(6) « Prius ἀνέθηκεν ». MILLER me monet.

(7) Ap., πάσταδα. Loquutio insolens, εὐπρεπὴς εἰς παστάδα forsan reformanda, et legendum εὐτρεπὴς εἰς π. Ni voluerit sophista dictionem vulgarem ὡραία γάμου, ἀνδρὸς, παστάδος, mutare, scripto synonymo εὐπρεπὴς, non synonymo.

(8) Ap., ἀπέστη, superscripto ἀπέπτη « eadem manu ».

(9) Elizabeth. Vide Lucam, Ev. 1, 40.

γόνατα γὰρ καταβαίνειν βιαζομένην ἡ παρθένος ἀνέχει, μέτριά που φρονοῦσα. Εἶεν.

Τί δὴ τὸ βούλημα ταυτησὶ τῆς γραφῆς; Ὄνος ἐνταῦθα καὶ βοῦς (1), καὶ φάτνη καὶ βρέφος· καὶ κόρη πρὸς εὐνὴν ἀναπίπτουσα, τὴν μὲν λαιὰν ὑποθεῖσα τῷ τῆς ἑτέρας ἀγκῶνι, τῇ δεξιᾷ δὲ τὴν παρειὰν ἐπικλίνουσα. Τίς ἄρα τῶν γεγραμμένων ὁ νοῦς; ἦ (2) διὰ κενῆς ἀποροῦμεν. Ἥδε γάρ ἐστιν ἡ παρθένος, ἣν ἐλείπομεν (3) ἄρτι κάταγμα φέρουσαν, καὶ τότε μὲν ὥραν ἄγουσα τόκου (4). Τέτοκε δὲ μὴ δεηθεῖσα κοινωνίας ἀνδρός. Οὔκουν (5) ἀλλοιοῦται τὸ πρόσωπον, ὡς ἂν ὠχρίασέ (6) τις ἄρτι τεκοῦσα καὶ πρῶτον τεκοῦσα. Τὴν γὰρ τῆς φύσεως χρεῖττον (7) ἀξιωθεῖσαν τεκεῖν, ἔδει καὶ τῶν κατὰ φύσιν ὀδυνῶν ἀπηλλάχθαι. Τί οὖν ἡ φάτνη; ἡ βοῦς δὲ τί βούλεται; τί δὲ τὸν ὄνον φήσομεν εἶναι; Ταῦτα φασὶ παλαιοῖς εἰρῆσθαι σοφοῖς ὡς ἔδει γενέσθαι (8), καὶ γέγονε ταῦτα. Τοὺς ποιμένας βοή τις ἐξ οὐρανοῦ (9) διαθρυλλοῦσα τὰ ὦτα (10) τῶν θρεμμάτων ἀπεβουκόλησε (11), καὶ τὰς οἶς (12) ἀμέλει καταλιπόντες παρὰ τὴν πόαν καὶ τὴν πηγὴν νεμομένας, καὶ τῷ κυνὶ τῆς ἀγέλης τὴν φυλακὴν ἐπιτρέψαντες, τοὺς αὐχένας αἴρουσιν, εἰς αἰθέρα τὴν ἀκοὴν ἰθύνοντες πρὸς τὴν τοῦ κτύπου φορὰν, ἄλλος ἄλλως ἑστηκότες ὡς ἂν ἕκαστος ἀπονώτερον ᾤετο καὶ ῥᾷον ἑστάναι. Καὶ τοῖς μὲν αἱ καλαύροπες ἀχρεῖοι φέρονται· τῷ δὲ, πρὸς μὲν τὴν ποίμνην ἀργεῖ, θατέρᾳ (13) δὲ συμμαχεῖ τοῖν χεροῖν· τὴν γὰρ δεξιὰν ἀνασχὼν, ἐμοὶ δοκῶ, τεθαύμακε τὴν βοήν. Οὐ μὴν ἐδέησε δευτέρας αὐτοῖς ἀκοῆς· ὀφθαλμοὶ γὰρ, φασὶν, ὤτων πιστότεροι (14)· καὶ συναντήσας ἄγγελος (15), ὡς ὁρᾷς, τὴν εὐθύτητα τοῦ

(1) Tabula secunda cujus argumentum Christus in præsepi.

(2) Ap., ἤ. Scripsi ἦ, eo sensu quo supra, p. 91, n. 2.

(3) Pro ἐλείπομεν, malim ἐλίπομεν.

(4) Codicis « in margine τοκετοῦ. » MILLER. Conf. p. 38, n. 1.

(5) Ap., οὐκοῦν.

(6) Ap., ὠχρίωσε, superscripto α.

(7) Ap., κρεῖττον. Fors. κρείττονα.

(8) Ieremias, 1, 3 : ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ.

(9) Lucas, 2, 9...

(10) Vide n. 2, p. 72.

(11) Ἀπεβουκόλησεν, a cura gregis distraxit, usu verbi raro et notando.

(12) Ap., ὄεις. Visum est uti iotacismo et οἶς scribere. De formis ejus vocabuli sæpius male scriptis vide Sinner. ad Long., p. 169; Meinek. ad Theocr., Id. 8, 45; Matth. Gr. Gr., § 80, n. 7.

(13) Ap., θατέρα. Ad verbum ἀργεῖ subauditur καλαύροψ, ni fallor. Quo ad oves non utitur, pedo manuum alteram sustentat, sinistram videlicet.

(14) Sententia Herodotea, quam illustravi. p. 55, n. 1.

(15) Lucas, 2, 9 : καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς...

βρέφους (1) αὐτοῖς ὑποφαίνει. Καὶ τὰ θρέμματα μὲν, οὐδαμῶς ἐπιστρεφόμενα πρὸς τὴν θέαν, ἐξ εὐθείας, ἔμφυτον, τὰ μὲν νένευκε πρὸς τὴν πόαν, τὰ δὲ τῆς εἰρημένης πίνει πηγῆς. Ἡ δὲ κύων (2) (θυμοειδὲς γὰρ πρὸς ἀλλοτρίους τὸ ζῶον) διασκοπεῖν φαίνεται τὸ τῆς ὄψεως ἄηθες. Ταῦτα μὲν οὕτω διώρισεν ὁ γραφεύς· τοῖς δὲ νομεῦσιν ἡγεῖται τῆς πορείας ἀστὴρ (3), ὃν ὑποδείκνυσιν ἀμυδρότερον ἡ πηγὴ, κυκῶντος αὐτῇ τοῦ προβάτου (4) τὰ νάματα. Ταῦτα μὲν οἱ ποιμένες· τὸν ἱερὸν δὲ πρεσβύτην ἐκεῖνον ἠλέουν (5) ἂν σφόδρα τῆς πολιᾶς, ἀσθενείᾳ προκεκυφότα τοῦ γήρως, εἰ μὴ μέχρι τῆς ἐπιδημίας (6) ἐβίω τοῦ βρέφους· πάρεστι γὰρ τὸ παιδίον ἐνθεμένη ταῖς ἀγκάλαις ἡ μήτηρ. Ὁ δὲ μόλις μὲν ὡς πρεσβύτης, βαδίζει δὲ ὅμως τῆς θέας περιχαρής.

Ἐπιθυμοῦντά σε τῆς εὐωχίας ὁρῶ καὶ περιεργαζόμενον τοὺς συμπότας. Γάμος ἦν (7) καὶ τοὺς ἀμφὶ τὸν Σωτῆρα συγκαλέσας ὁ νυμφίος, εἱστία· καὶ, τοῦ δείπνου μεσοῦντος, δέος ἦν αἰσχρῶς διαλύεσθαι τὸ συμπόσιον, τῆς κατὰ τὸν οἶνον ἐνδείας (8) καὶ τὴν ἀπὸ τῶν ὄψων ἡδονὴν ἀμβλυνούσης. Ὁ δὲ τῶν ὅλων προστάτης ἅμα τῇ μητέρι κεκλημένος, ὑποθεμένης αὐτῷ τῆς τεκούσης, τὴν ὕδατος φύσιν (9) εἰς οἶνον μεταπλάττει πιεῖν ἐν γάμοις ἐπιτήδειον (10). Ἐντεῦθεν τῶν οἰκετῶν, ὁ μὲν

(1) Intelligendum videtur τὴν εὐθύτητα τοῦ βρέφους de via quæ recta ducebat ad puerum. In Glossis est, εὐθύτης, *directio*.

(2) Modo fuit τῷ κυνὶ, nunc ἡ κύων. Malim supra τῇ κυνὶ, ex usu.

(3) Non pastoribus, ni fallor, sed magis prælucebat stella, dux itineris : vide Matth., 2, 2, 9.

(4) Apte usus est articulo : ovis illa scilicet quæ picta fuit in tabula.

(5) Ap., ἠλέουσιν. Scripsi ἠλέουν. Innuitur senex Symeon. Sed confundit pictor tempora. Vide Luc. 2, 25..

(6) Illustravi nomen ἐπιδημίαν ad Eunapiana ἐπιδημίαν ἐς ἀνθρώπους θεοῦ, p. 158, 539.

(7) Pictam describit orator tabulam aliam, ad spectatorem directo sermone. Glossator in margine : περὶ τοῦ ἐν Κανᾷ γάμου. Vide Joannem Evang., c. 2.

(8) Jo. 2, 3 : ὑστερήσαντος τοῦ οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· « οἶνον οὐκ ἔχουσι ». Ap., ἐνδοίας. Rescripsi ἐνδείας, sententia jubente. Permutantur, quæ eodem efferuntur sono, vocales οι et ει. Gregorius Naz. Tollii, p. 30, 303 : Μή μοι τὰ Σέξτου, μηδὲ Πύῤῥωνος πλέκε. Χρύσιππος ἔῤῥει, μακρὰν ὁ Σταγειρίτης. Legendum ἔῤῥε· vel potius ἔῤῥοι, quo ducit vocalium solita synchysis. In commentario Cosmæ est interpretatio synonyma : φθειρέσθω δὲ Χρύσιππος. Ad Babrium, p. 253, variatur inter αἰθριάζοι et αἰθριάζει in hoc versu : Ἀλλ' αἰθριάζοι σὸς πόθος με, Χριστέ μου. Codex Suppl. 352, exhibet αἰθριάζοι, non nitido quidem ductu, sed qui οι significet potius.

(9) Periphrasin τὴν ὕδατος φύσιν pro simplici τὸ ὕδωρ illustravi ad Æneam, p. 184.

(10) Ap., εἰς οἶνον... ἐπιτηδείου.

ὕδατος ἄγγος ἀναλαϐὼν, ἔργον ποιεῖται τοὺς ἀμφορέας ἐμπλῆσαι· ὁ δὲ κρατῆρα πληρώσας περίεισι κύκλῳ τοὺς δαιτυμόνας, ἀρξάμενος ὅθεν οὐδὲ νομίζεται (1). Ἔοικε δὲ λίαν ἀνθοσμίαν (2) ὑπάρχειν· ὁ γὰρ ἄρτι πιὼν ἐλέγχει τὴν ἡδονὴν τῷ τῆς ὄψεως ἐρυθήματι. Τοῦτο τῆς ἐκείνου (3) φιλανθρωπίας τὸ πάρεργον.

Προϊὼν γοῦν γυναῖκα νόσῳ παλαιᾷ (4) τρυχομένην, ἧς ἐγεγαμήκει θυγάτριον τῶν αὐτοῦ τις ὁμιλητῶν, οὗτος (5) ὁ τὸ γύναιον περιέπων. Αὐτοῦ δεηθέντος, ἰᾶται τὴν ἄνθρωπον, οὐ χρώμενος ἐπῳδαῖς, οὐδ' « ἤπια φάρμακα πάσσων (6) », τὴν χεῖρα δὲ μόνον ὀρέγων (7).

Τὸ δὲ τούτων ἐχόμενον, ἀνὴρ τὴν χεῖρα διεφθαρμένος (8) καὶ τὴν ἰατρῶν ἐπιστήμην ἐλέγξας τῷ πάθει, μόλις ἑστηκὼς ταῖς ἀλγηδόσι, δεῖται θεραπείας τυχεῖν, καὶ δεόμενος ἅμα τυγχάνει.

Ἀλλὰ τίς ὁ σκυθρωπὸς οὑτοσί (9); τί δὲ πεπονθὼς ἱκετεύει (10); πιστὸς αὐτῷ θεράπων, τὸν ὡρισμένον τοῦ βίου δρόμον ἀνύσας (11), μικροῦ κατειλήφει τὸ τέρμα. Πάθος ἐλεεινὸν τῷ κεκτημένῳ χρηστὸς οἰκέτης ὅσον οὐδέπω προσδοκώμενος οἴχεσθαι. Τοῦτον οἴκοι καταλιπὼν, αὐτὸς ἧκεν ὑπὲρ ἐκείνου πρεσϐεύων. Ὁ δὲ ταῦτα ἀκούσας ἔφη διαλύειν τὸ πάθος, καὶ φιλονεικίας ἐκτὸς εἶξεν ἡ νόσος τῷ λόγῳ.

Ἐπὶ τούτοις γυνὴ (12) σαλεύουσα τὰς ἐλπίδας ἐπὶ μόνῳ παιδὶ, καὶ

(1) Impletis hydriis, dixit Jesus: φέρετε τῷ ἀρχιτρικλίνῳ· καὶ ἤνεγκαν. Sic incœpta fuit vini circumlatio ab tricliniarcha, idque contra legem convivii. Ita intelligo locum mihi non nitidum.

(2) Ap., ἄνθος μίαν. Notum est vinum quod veteres dicebant ἀνθοσμίαν. Vide not. ad Philostratum Her., p. 289; Boden. et Jacobs. ad Achillem Tat. 2, 2; Luciani locum infra p. 120, n. 3.

(3) ἐκείνου, Christi videlicet.

(4) Respicit orator miraculum quo Christus sanavit socrum Symeonis Petri, quæ ἦν συνεχομένη πυρετῷ μεγάλῳ. Vide Lucam, 4, 38; Matth., 8, 14; Marc., 1, 29. — Ap., παλαιάν. Scripsi παλαιᾷ. Fortasse et παλαιὸν legendum. Ejus nominis finis incertus in loco Anecd. Paris., t. 4, p. 345, 28: Τί νεῦρα τέμνεις τοῦ στρατοῦ τεθραμμένα Πελλαῖς παλαιοῦ καὶ καλαῖς στρατηγίαις. Syllaba οῦ recentior est reliquis. Forsan παλαιὸν vel παλαιῶν.

(5) Οὗτος, ille scilicet discipulus in tabula pictus.

(6) Homerus Il. 11, 830: ἐπὶ δ' ἤπια φάρμακα πάσσε.

(7) Ap., ὀστέγων. Matthæus, 8, 15: ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός. Marc, 1, 31: καὶ προσελθὼν ἤγειρεν αὐτὴν, κρατήσας τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως.

(8) Miraculum paralytici apud Matthæum, 9, 2, et alios.

(9) Miraculum servi centurionis apud Lucam, 7, 2...

(10) Ap., ἐκετεύει. Centurio ἱκετεύει.

(11) Ap., ἀνύσαι.

(12) Miraculum viduæ, cujus filius

τοῦτον εἰς ἥϐης ἄνθος ἀνενεγκοῦσα καὶ τὰ τροφεῖα προσδεχομένη, πέπονθέ τι κοινὸν, παρὰ τῆς ἐλπίδος ἀπατηθεῖσα. Φερομένου τοίνυν ἐπὶ τὸ μνῆμα τοῦ νέου, πάρεισιν αἱ γυναῖκες ὀλοφυρόμεναι. Καὶ συνημμέναι μὲν ἐς ταυτὸν ἀλλήλαις γίνονται κώλυμα τοῦ μὴ τελέως ὀφθῆναι· ὑπολάϐοις δ' ἂν αὐτὰς, εἰ διαστήσεις ἀλλήλων, ὅλην ἑκάστην γεγράφθαι· καὶ τάχα διεστηκυῖαι πρὸ τοῦ θαύματος, ὡς εἶδον ἀναϐιοῦντα τῷ Σωτῆρι τὸν νέον, συνέδραμον πρὸς τὴν θέαν, καὶ πλείονι μέτρῳ χαίρουσιν, ὡς εἰκὸς, ἤπερ ὅσῳ πρὸς τὴν τελευτὴν ἠνιάθησαν. Τὸ μὲν γὰρ ἀπογενέσθαι προσδοκώμενον ἦν, τὸ δὲ τεθνεῶτα βιῶναι κρεῖττον ἐλπίδος.

Ταῦτα καὶ γύναιον ἀκόλαστον(¹) σωφρονίζει· καὶ, καταγνοῦσα τοῦ βίου πολλὴν ἀτοπίαν, ἁϐρὰν μὲν ἐσθῆτα καὶ τὰ συνήθη (²) χρυσεῖα καὶ κόμης ἄσκησιν ἐν φαυλῷ ποιεῖται (μέλει (³) γὰρ αὐτῇ κάλλους οὐδέν)· ἡ δὲ σέϐεται καὶ τιμᾷ δι' ὧν εὐπορεῖ, μύρον (⁴) αὐτοῦ καταχέουσα τῶν ποδῶν.

Τοσαύτην περικείμενος ἐξουσίαν, καὶ τῶν ἀνέμων ἔλαχεν εἶναι ταμίας(⁵). Περικλυζομένης γὰρ τῆς ὁλκάδος, καὶ τοῦ ῥοθίου τῆς προσϐολῆς οὐ συγχωρούσης ἰσόῤῥοπον εἶναι, καὶ καθελκούσης ἐπὶ τὸν ἕτερον τοῖχον, τοῖς ἀνέμοις ἀγριαίνουσιν ἐπιπλήττει, καὶ φρίττουσιν ἤδη τὰς ἀπειλάς· οὐ γάρ με κυμάτων « ἀμφὶ κτύπος οὔατα βάλλει (⁶) ».

isque unicus efferebatur mortuus, apud Lucam, 7, 12. De locutione σαλεύειν ἐπὶ παιδὶ dicam in addendis.

(¹) Descriptio tabulæ alius, cujus argumentum fuit magna illa peccatrix Lucæ, 7, 37.

(²) Ap., κατὰ συνήθη.

(³) Ap., μέλλει. Mendum illud jam notavi : est frequentissimum. Poeta, non vi carens et ingenio, in Anecd. Paris., t. 4, p. 347 : Θεοῦ πρὸ πάντων εὐμένεια τοῖς ὅλοις, Ὅς καὶ σφραγίς μοι τῶνδε τῶν ψελλισμάτων Ἔστω· τὰ δ' ἄλλα τοῖς σοφισταῖς μελλέτω. Rescribendum μελέτω, syllaba paulo debiliore sed quam liquidæ vis sustinebit, si fuerit opus.

(⁴) Ap., μῦρον. De simili tabula exstat epigramma in Anecd. Par., t. 4, p. 296 : Εἰς τὴν πόρνην. Ὁ Χριστὸς ὧδε τῷ πανεντίμῳ λόγῳ ψυχὴν μυρίζεις τῆς μυριζούσης πόδας. Σώφρων ἡ πόρνη μύρῳ τὸ μῦρον θεραπεύει. Codex, μύρον, meliore tono. Et legerim μυρίζει, duce librario qui sigma delere voluisse videtur. Tertio versui remedium quærendum jussos terminos egredienti. Ferme opinor verba ἡ πόρνη glossema esse adscriptum olim nomini σώφρων. Quibus deletis intelligo σώφρων de Christo, qui sapiens et castus purusque sacro divini sermonis unguento unguentum meretricium purgat et emundat. Erit scribendum, σώφρων δὲ μύρῳ, nec de pyrrichii probitate in hoc metro dubitandum.

(⁵) Miraculum sedatæ tempestatis apud Matthæum, 8, 24; Marc. 4, 37; Luc., 8, 23.

(⁶) Homerus Il., 10, 535 : Ἵππων

Θαυμαστὸν δὲ οὐδὲν (1), ὅπου διαβαδίσας τὴν θάλατταν ἀνασώζει κατὰ βραχὺ τὸν συνήθη. Ἡμιτελῆ δὲ δείκνυσιν αὐτὸν ἡ γραφὴ, κρύψασα μὲν ὅσα (2) ὑποβρύχιον γεγονότα δηλοῖ, ἀναγαγοῦσα δὲ τοσοῦτον ὅσον ἐμφαίνει σωζόμενον ἔτι.

Ἐνταῦθα δὲ νεανίας (3) οὐδὲν ὑγιαίνων. Οὔκουν ἀνέχεται θεράπων ἢ συνήθης ἢ τῶν οἰκείων τις αὐτὸν τιθασσεύειν. Ὁρᾷ γὰρ ἐξεστηκὸς, καὶ δῆλος ἐστὶ τοὺς παρατυχόντας περισκοπῶν, ὅτῳ κακόν τι προστρίψεται. Τοιγαροῦν πέδας ἡ γραφὴ περιτέθεικεν, οὐ συγχωροῦσα βαδίζειν· ἀλλὰ βιάζεται τὰ δεσμά (4). Καὶ τῆς ἀπὸ τῆς βίας ὀδύνης οὐ λίαν αἰσθάνεται· μανία γὰρ ἀλγεῖν οὐ φιλεῖ. Ἐνταῦθα μοι σκόπει τοῦ ζωγράφου τὴν τέχνην. Βουλόμενος γὰρ μεμηνότα παραστῆσαι καὶ σωφρονήσαντα, τῇ μὲν ἀτάκτῳ κινήσει τῶν οἰκείων ἐκπεσόντα φρενῶν, τῇ δὲ διαστάσει τοῦ δαίμονος (γέγραπται γὰρ οἷον ἀπειρηκὼς) ἰαθέντα δεικνύει. Ἐλεῶ σε τοῦ πάθους, μειράκιον, καὶ μακαρίζω τοσοῦτον ὅσον οἰκτείρω· τῶν γὰρ μεγάλων νόσων αἱ θεραπεῖαι μεγάλων εἰσὶν ἡδονῶν ἀφορμαί.

Ὁρᾷς ταυτηνὶ τὴν γυναῖκα (5) ψαύουσαν αὐτοῦ τῆς ἐσθῆτος παρὰ τὴν πέζαν. Ἕτερος οὗτος ἰάσεως τρόπος· ἀπομαραινούσης γὰρ τῇ γυναικὶ τὴν ἰσχὺν αἵματος ἀποῤῥοῆς ἀπέραντα φερομένου, μηδὲ μεταστραφεὶς (6) ἵστησιν αὐτῇ ῥέουσαν τῇ νόσῳ τὴν δύναμιν.

Δεύτερος ἀγὼν μετὰ ταῦτα πρὸς θάνατον (7) καὶ νίκη δευτέρα. Ἀνὴρ ἐν τοῖς μάλιστα φίλος αὐτῷ πρώην ἔτυχε τεθνηκώς. Ὁ δὲ γυναῖκας οἰκτείρων ὀδυρομένας δημιουργεῖ τὴν ἐπὶ τὸν βίον ἐπάνοδον. Ὅθεν οὐ φέρουσιν ἡσυχῇ τὴν ἡδονὴν αἱ γυναῖκες· εἰώθασι γὰρ καὶ ἄλλως πρὸς τὰ θαύματα ῥᾳδίως βοᾶν. Ἡ μὲν οὖν ὑποδείκνυσι τῇ πλησίον, ἡ δὲ πρὸς τὴν χαρὰν ἀνεπτέρωται.

μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει. Conf., p. 31, 2.

(1) Miraculum Christi per mare ambulantis, et Petrum servantis fere submersum, apud Matthæum, Ev., 14, 25; Marc., 6, 48; Joannem, 6, 19.

(2) Ap., ὅσον, superscripto α, ut fiat ὅσα.

(3) Miraculum dæmoniaci vel lunatici a Christo sanati apud Lucam, 9, 38; Matth., 17, 18.

(4) Dixisse videtur τὰ δεσμὰ βιάζεται, memor Gregorii Naz., a quo depictus fuit equus ferocior, et τὰ δεσμὰ τυραννήσας, Or., 43, p. 704. Conf. not. ad Nic. Chumni epistolas in An. Novis, p. 333.

(5) Miraculum mulieris hæmorrhusæ apud Matth., 9, 20.

(6) Aliter tamen Matthæus, 9, 22: ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν, εἶπε· « θάρσει, θύγατερ »...

(7) Miraculum Lazari ex mortuis a Christo suscitati apud Joannem, Evang. c. 11.

Οἶδεν ἡ τέχνη θεὸν ἐν ἀνθρώπου προσχήματι γράψασα· ἐκεῖθεν αὐτὸν οὐκ ἐπῆρε τοῖς κατορθώμασιν, ἀλλὰ μετὰ τῶν αὐτῶν εἱστίακε δαιτυμόνων (¹). Τεκμαίρομαι δὲ τὴν μέλλουσαν ἐς αὐτὸν προμηνύειν ἐπιβουλήν. Ἐπειδὴ γὰρ πέρας εἴληφε τὸ δεῖπνον, τῶν ἑστιαθέντων τις (²), βραχὺ φροντίσας ἁλῶν καὶ τραπέζης (³), περιπτυξάμενος τὸν προστά-

---

(¹) Cœna paschalis a Christo instituta. Narrationem quære Matthæi, 26, 17; Marci, 14, 12; Lucæ, 22, 7. Forsan αὐτοῦ pro αὐτῶν. Dicit εἱστίακε de arte pictoris vel pictore, velut sæpissime de poesi et poetis id facere dicuntur quod narrant. Monebam ea de re ad Philostratum Epistola 56, pag. 156. Addantur Valckenari Scholia, t. 2, p. 388; Gronovii Diatribe, 2, c. 7. Huic inter alios auctores affertur Libanius Βασιλ., μήτι νομίσῃς... ὃ δὴ πλάσασα, δωρεῖται τῷ παιδὶ τῆς Θέτιδος ἡ ποίησις. Handio viro et doctissimo et diligentissimo, qui quæsivit locum Libanii inter Sophistæ epistolas ad Basilium, nec potuit invenire, errandi causa fuit nomen Βασιλ. male intellectum. Significatur Libanii in Constantem ac Constantium oratio, cujus est lemma in codice apud Reiskium, t. 3, p. 272, βασιλικὸς εἰς Κωνστάντιον καὶ Κώνσταντα, inveniunturque citata verba, p. 282.

(²) Ap., δειπνόν. Correctio δεῖπνον necessaria visa est. Addidi τις, postulante sententia id vel εἷς. Tam breves voculæ facile excidunt. Libanius, t. 4, p. 836, 9 : μὴ τούτων ἐρώντων μου μειρακίων παιδαγωγὸς ἢ τροφὸς ὤν, ἀπαγορεύσων ἥκεις μηκετ' αὐτὸ δέχεσθαι τοῦ λοιποῦ. Suspicor scripsisse sophistam, μὴ τούτων τινὸς ἐρώντων μου, vel μή του τῶν ἐρ., quod etiam probabilius. Reddatur et id pronomen Libanio, t. 3, p. 336 : τὰς θυσίας ἡμῶν ἀποδιδόντων, καὶ ὅσον ἦν ἀπενεχθὲν ἀντικαθιστάντων, προανηρπάσθη τὸ τιμώμενον, οἷον νυμφίου, πλεκομένων ἤδη στεφάνων, ἀπελθόντος. Codex 3025 : νυμφίου τινός... ἤδη τῶν στεφ. Reddatur et Themistio Orat., 5, p. 75, 6 : ἐγὼ δὲ παρελήλυθα, σήμερον συντελέσων τῇ πανηγύρει οὐκ ἄχρι κενῆς φιλοτιμίας, ἀλλ' ὃ τῷ κόσμῳ καὶ χρείαν συνοίσεται. Inveni in codice, χρείαν τινά. Eadem dicendi forma utitur Or., 8, p. 123, 6 : κολακεύσων μὲν ἐγὼ πρῶτος εἰς τὰ βασίλεια παρελήλυθα. Ibi notatum est esse κολακεύων in Harduiniana, κολακεύσων nunc edi ex Ambrosiano. Κολακεύων in Harduiniana mendum est typorum; Petaviana exhibet futurum. Sic in Babrii editionem alteram meam F. 76, 15, ἐφιππεύων irrepsit, excidente forte sibilo.

(³) Magna fuit religio mensæ. Archilochus : ὅρκον δ' ἐνοσφίσθης μέγαν ἅλας τε καὶ τράπεζαν. Ibi Liebelius p. 197, et ego quoque, p. 185; collato Huschk., in Matthiæ Miscellaneis, t. 1, p. 14. Heliodorus 4, 16 : σπονδῶν καὶ τραπέζης κοινωνήσαντας καὶ φιλίας ἀρχὴν ἱεροῦ; ἅλας ποιησαμένους. Ibi Corayus. Philo De vita cont., § 5 : ὁ μὲν γὰρ ἐχθροὺς ὑποτοπήσας ἠμύνατο· οἱ δὲ συνήθεις καὶ φίλους, ἔστι δὲ ὅτε καὶ συγγενεῖς ἐφ' ἁλῶν καὶ τραπέζης, ἄσπονδα ἐν σπονδαῖς ἐργασάμενοι. Arsenius Viol., p. 58, Diogenianum, 2, 11, describens : ἅλας καὶ τράπεζαν μὴ παραβαίνειν· δηλοῖ ἡ παροιμία· φίλοι γὰρ ἐκ τούτου γινόμεθα. Ibi Walzius Apostolium allegat, 2, 41, cujus loci fontem pleniorem exhibet Bastius Epist. crit., p. 238. Ulysses Libanii, t. 4, p. 26, raptorum exempla

την (τοῦτο γὰρ ἦν τῆς προδοσίας τὸ σύνθημα), παραδίδωσιν, ὡς ὁρᾷς, δυσσεβέσιν ἀνθρώποις καὶ προσομοίοις (1) αὐτῷ τὴν κακίαν. Οἱ δὲ παραλαβόντες, ἀπῆγον φθόνου πάθος αὐτῷ μετενεγκόντες εἰς ἔγκλημα. Ἤδει συκοφαντοῦντας περιφανῶς ὁ τότε κρατῶν (2). Ἀλλὰ φρονήματος ἀρχικοῦ μᾶλλον ἐστερημένος, χαλεπὸν ἀποτρέπειν ᾠήθη (3) πλῆθος ἠρεθισμένον καὶ ποιεῖν ἅπαξ ὁτιοῦν ὡρμηκός. Πείθεται δὴ τοῖς ἄξουσι παραδοῦναι, καί πως οἰόμενος ἀποτρίψασθαί τε καὶ τοῖς αἰτίοις ἐναποθέσθαι τὸ ἄγος, ὕδωρ αὐτῷ τὸν οἰκέτην ἄγειν κελεύσας, ἐναπονίζει τὼ χεῖρε (4).

Ἐμπαροινήσαντες (5) δὴ τούτω πολλὰ, μᾶλλον δὲ σφίσιν αὐτοῖς (θεῷ γὰρ ἐνυβρίζειν οὐ θέμις), τελευτῶντες, τῷ πάντων αἰσχίστῳ θανάτου τρόπῳ παρέδωκαν λῃστρικῆς μεταξὺ ξυνωρίδος.

Καὶ φύλακας (6) τῷ τάφῳ περικαθίζουσιν. Ὁ δὲ τὴν φυλακὴν αὐτοῖς εἰς γέλωτα περιστήσας, καὶ τὴν ἀθανασίαν ἀνακτησάμενος, καὶ ταῖς ἀμφὶ (7) τὴν τεκοῦσαν φανεὶς πρὸς τὴν οἰκείαν ἀνάγεται λῆξιν, οὐρανίῳ χορῷ προπεμπόμενος, καὶ οὐ διέψευσε τοὺς πάλαι προφήτας τὴν μέσην τῆς ὀροφῆς περιτρέχοντας χώραν (8).

Τὴν δέ σοι (9) γράφω τοῦ τεμένους εἰκόνα χρώμασι μουσικοῖς, καὶ

a Paride alleganda confusans : τούτων ἕκαστος, Ἀλέξανδρε, τοῖς γε σεσυλημένοις οὐχ ἁλῶν, οὐ σπονδῶν, οὐ τραπέζης ἐκοινώνησεν.... καὶ, εἰ τὰ πάντα πονηροὶ, τοῦ τι περὶ τὸν ξένιον Δία πλημμελεῖν ἦσαν ἐλεύθεροι. Nicephorus Greg. Hist., 6, 1, 8 : ἔδοξε καὶ αὐτοῖς καταγνοῦσι τῆς ἔριδος ἀσμένως τε βλέψαι πρὸς τοὺς κοινοὺς τῆς εἰρήνης ἅλας καὶ ἐς τὴν ὁμοφροσύνης ἐληλυθέναι τράπεζαν. Cf. Theodorus Hyrt. in meis Anecd. Gr., t. 3, p. 16. Silius, 17, 67, de Syphace : « Immemor is dextræque datæ, junctique per aras Fœderis et mensas testes atque hospita jura ». Ibi Drakenb. et Rupertus. Adde Erasmi Adagium « Sal et mensa », 4[illegible]9, 80.

(1) Apogr., δυσεβέσιν ἀ. κ. πρὸς ὁμοίοις.

(2) Marcus, 15, 10 : ἐγίνωσκε γὰρ (ὁ Πιλάτος) ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. Lucas, 23, 4 : ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· « οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ ». Conf., 3, 14, 22.

(3) Ap., ᾠήθην.

(4) Matthæus 27, 24.

(5) Alius tabulæ descriptio, ni fallor.

(6) Et alius alia tabulæ enarratio.

(7) Ap., τοῖς ἀμφὶ, quod mutavi; et mox est in Ap., χώρῳ, pro quo scripsi χορῷ.

(8) Ita fingente pictore.

(9) Sic Ap. An ταύτην δέ σοι, vel τήνδε σοι? Poeta in Anecd. Paris., t. 4, p. 340, 10 : πῶς σοφίζῃ τοὺς νόμους, Εἴπερ τις ἄλλος τοῦ θεοῦ, καὶ τοὺς λόγους, Ζητεῖς, ἐρευνᾷς; τῶν δὲ τῶν ὁρωμένων Στρέφεις δὲ πολλὰς ἐν

τῶν πόνων ἐμοὶ μεγάλην ἀμοιβὴν ἀπονέμεις, φιλαλήθη δι' ὧν ποιεῖς ἀποφαίνων. Οὕτω καὶ Πίνδαρος, διεξιόντος αὐτῷ τῶν γνωρίμων τινὸς ὡς οὐ διαλείποι πρὸς ἅπαντας ἀποθαυμάζων τὸν ποιητὴν, « ἀπήλειφας » ἔφη, « τὴν χάριν τοιούτων ἐμοὶ πεπραγμένων, ἀφ' ὧν ψευδολογίαν ὀφλήσεις ».

Ὁ δὲ (¹) μάλιστά σου θαυμάζω τῶν γνωρισμάτων, ὅτι τοῦ τεμένους ἐκτὸς ἐκ μεσημβρίας φιλανθρώπους δημιουργεῖς καταλύσεις· ἢ τοῦτο μὲν οὐδὲν θαυμαστόν· φιλανθρωπία σοι μέλει (²)· ἔμφυτον γάρ σοι τὸ χρῆμα καὶ σύνηθες· ἀλλ' ὅτι, τοῦ νεὼ τὴν ποικιλίαν τῷ λογισμῷ περιφέρων, καὶ ταύτην ἐχώρησας τὴν φροντίδα, ἢ τὰ μέγιστα (³) τῶν κακῶν γῆρας ἀμύνεται καὶ πενίαν.

Μεταξὺ δὲ τὰ σὰ καταλέγων, περιεργότερόν σοι πολλάκις ἐνατενίσας, ἐνόησά τι πεφυκέναι σοι πρέπον· οὐδὲν ὑπὸ τῶν ἐπαίνων πέπονθας ἀσθενὲς, οὐδὲ πρόσωπον ἔδειξας ἀπειρόκαλόν τι παθόντος. Ἤδη μὲν γὰρ καὶ πρώην ὅτε σε δημοσίαν ἐποιησάμην ἐπίδειξιν, ἐνεδείξω τὴν πρὸς ἐπαίνους ἐλευθερίαν. Λιπαροῦντος γάρ μου καὶ δεομένου τῷ συλλόγῳ παρεῖναι (μᾶλλον γὰρ οὕτω κερδαίνειν τὸν λέγοντα, παρόντος εἰς ὃν ὁ λόγος πεποίηται); φιλόνεικός μοι πρὸς τὴν αἴτησιν ὤφθης, πρὸς τὰς ἄλλας ἀεί μου δεήσεις εὔκολος ὤν. Τὸ δὲ νῦν, εἰς εὐφημίαν σοι μείζονα πέπρακται. Οὐ γὰρ ἴσον ἔξω καθῆσθαι τοῦ συλλόγου, καὶ παρόντα τῆς ἀπὸ τῶν βροτῶν ἡδονῆς (⁴) περιγίνεσθαι. Ἐπεὶ καὶ τὸν Λαέρτου μᾶλλον ἂν ἐθαύμασα τῆς ἐγκρατείας, εἰ, μετὰ τῶν Σειρήνων συνδιατρίβων, οὐκ ἐκηλήθη τὴν ψυχὴν (⁵) τοῖς ἐπαίνοις οἷσπερ αὐτὸν ἔθελξαν ᾄδουσαι, καὶ μικρὸν αὐτῷ πρὸς ταύτην ἐδόκει τὴν ἡδονὴν ὁ τῆς Ἰθάκης καπνὸς (⁶),

φρεσὶ θεωρίας; Codex melius τῶνδε τῶν ὀρ. et φρεσίν. Etiam mutandæ distinctiones hocce fere modo : εἴπερ τις ἄλλος, τοῦ θεοῦ; καὶ τ. λόγους Ζητεῖς, ἐρευνᾷς τῶνδε τ. δρωμένων, Στρέφ. Atque sic inferius v. 25, τῶνδε τῶν ὁρωμένων Codex exhibet non τῶν δὲ τ. Monebo etiam pro Λόγοις δ' ἐφευρεῖν καὶ βάθη κεκρυμμένα postulare sententiam δ' ἐφεῦρες vel λόγοις ἐφευρών.

(¹) Ap., ὁ δέ.

(²) Ap., μέλλει et ἔμφυτον γάρ σου. Fortasse, θαυμαστὸν φιλανθρωπίαν σοι μέλειν.

(³) Ap., ἣ τὰ μέγιστα.

(⁴) Vide addenda.

(⁵) Fuit enim Ulysses dulcedine captus Sirenum cantilenæ, ipso teste Od., 12, 192 : Ὣς φάσαν ἱεῖσαι ὄπα κάλλιμον · αὐτὰρ ἐμὸν κῆρ Ἤθελ' ἀκουέμεναι, λῦσαί τ' ἐκέλευον ἑταίρους.

(⁶) Respicitur notus Odysseæ locus de Calypsone et Ulysse, 1, 56 : Αἰεὶ δὲ μαλακοῖσι καὶ αἱμυλίοισι λό-

καὶ σώφρων γυνὴ καὶ παιδίον. Σωκράτη μὲν οὖν ἐκ τῶν ἱστοριῶν παρειλήφαμεν, κωμικῆς ἀνεχόμενον λοιδορίας καὶ τῶν Ἀριστοφάνους ὑπερορῶντα σκωμμάτων (1)· πρᾶγμα ζηλωτὸν καὶ πρέπον τῷ Σωφρονίσκου· μείζων δὲ καρτερία τὸ μὴ φρονῆσαί τι σοβαρὸν ἐπαινούμενον ἢ λοιδορούμενον ἐγκρατῶς ἐνεγκεῖν, ἐπειδὴ φιλόδοξος μᾶλλον ἤπερ θυμοειδὴς τῶν ἀνθρώπων ἡ φύσις.

Τοιοῦτον δὴ τὸ ἄστυ. Πρυτανεύοντος ἱερέως, εἰκότως ἡμῖν ζήλου καὶ θυμηδίας καὶ ῥημάτων εὐφήμων ἡ πόλις μεστὴ, καὶ πανταχοῦ τῆς ἀγορᾶς τὰ συμπόσια. Καὶ τοῖς μὲν πολλοῖς εὐωχίαι πάνδημοι πρόκεινται· οἱ δεξιώτεροι δὲ τῶν ἀστῶν δημοσίᾳ τῶν ξένων τὸ δοκιμώτατον ἑστιῶσι. Καὶ τοῖς εὐωχουμένοις ἡδίστην φιλονεικίαν ὁ νεὼς πως διεγείρει, παρέχων ἄλλοις ἄλλα (2) θαυμάζειν.

Ὅπῃ (3) δ' ἂν τῆς πόλεως κινηθείης, ἔχεις ὅθεν ψυχαγωγήσῃ· σκηναὶ γὰρ ἐκ ποικίλων ὑφασμάτων, δάφνης τε κλάδοις κατὰ στοῖχον ἑκάτερον ἐστεμμέναι, μιμοῦνται πορείαν δένδρεσιν ἀμφοτέρωθεν τοιούτοις πεφυτευμένην, καὶ πρὸς ἥδιστον ἄλσος τὸν νεὼν (4) παραπέμπουσαν. Αὗται, παντοδαποῖς θάλλουσαι τοῖς ὠνίοις, πλουσίοις ἅμα καὶ μέτρια κεκοσμημένοις (5) τὰ πρόσφορα διανέμουσιν, ἀκοσμίας ἀγοραίου καὶ προπετείας ἀπηλλαγμέναι καὶ φωνῶν ἀπειροκάλων. Οὐκ ἂν αὐτὸς οὐδὲ ὁ Καμβύσου Κῦρος ἐμέμψατο περιὼν, ὁ τοῖς Ἕλλησιν ἀγορὰν ὀνειδίζων (6).

Μετὰ τοίνυν τῆς τοσαύτης ἁβρότητος καὶ τὴν Αἰγυπτίων λυχνοκαΐαν νικῶμεν. Τοῖς μὲν γὰρ εἰς πλῆθος ἀκόσμητον ἤνθει τὸ πῦρ (7)· ἡμῖν δὲ πολλὴ καὶ ποικίλη χειροποίητος μεμηχάνηται φλὸξ, ὅπως ἄρα μηδὲν ἀπρεπὲς εἴη τῆς ἑορτῆς. Γράμμασι γὰρ μήτε μέλανι τετυπωμένοις

γοισιν θέλγει, ὅπως Ἰθάκης ἐπιλήσεται· αὐτὰρ Ὀδυσσεὺς, ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι ἧς γαίης, θανέειν ἱμείρεται. Demetrius Cydonius in meis Anecdotis Novis, p. 277 : οὐδὲ τοῦ κάπνου τῆς Ἰθάκης ἔξεστι μετασχεῖν, ἀλλ' ἐρωτῶμεν εἴ τι περὶ τῆς πατρίδος ἔχοι τις λέγειν. Ibi plura de Homerico illo fumo a multis memorato apposui.

(1) Ælianus H. V. 5, 8 : Σωκράτης μὲν οὖν κωμῳδούμενος ἐγέλα. Ibi notæ.

(2) Apogr., ὁ ναός. Poteram corrigere, ὁ ναός. Malui constantiæ causa alteram scripturam. Vide n. 8, p. 89. Ap., ἄλλοις, ἀλλὰ θ.

(3) Ap., ὅπη, superscripto οι. Hæc adverbia sic fuerunt sæpissime permutata. Libanius, t. 3, p. 333 : ἐστὶ δὲ ὅποι καὶ προπηλακιζόμενος. Codices, 903, 3013 : ἔστι δὲ ὅπη καὶ προπηλ. Adde not. 5, p. 101.

(4) Ap., νέον. Scripsi, νεών.

(5) Fortasse legendum κεκτημένοις.

(6) Herodotus, 1, 153.

(7) Herodotus, 2, 62. Cf. p. 122.

μήτε κήρῳ, μήτε χρώμασιν ἄλλοις οἷς γίνεται γράμματα, σκεύεσι δὲ φωτὸς εἰργασμένοις (1), εὐφημοῦμεν τοὺς εὐεργέτας, πλῆθος ἐτῶν αὐτοῖς συνευχόμενοι.

Τίς οὕτω πρὸς ἔρωτα χρημάτων μικρόψυχος, ὃν οὐ πείθει δαπανᾷν (2) ἡ πανήγυρις; τίς οὕτω σκαιὸς καὶ γέμων ἀγροικίας, ὃν οὐ φαιδρὸν καὶ γεγηθότα ποιεῖ ἡ νεότης (3) μετὰ χαρίτων ἀθύρουσα πανταχοῦ; αὐτὸν πρεσβύτην (4) ἡ πολιὰ μόνον ἐλέγχει, τοῦ σώματος αὐτῷ σφριγῶντος ὑφ' ἡδονῆς. Οὐ δύντος ἡλίου φῶς ὅπη (5) βούλει τοσοῦτον, ὡς ὅλον αὐγῆς ἐμπλῆσαι τοῦ ἄστεος τὸν αἰθέρα; οὐ γέγονε χορείας ὁ καιρὸς τῆς ἡσυχίας ἡ νύξ (6); οὐ πρὸς τὴν ἡμέραν εἰς ὠνίων πλῆθος ἐρίζει (7);

Δοκῶ δέ μοι τὸν τῆς ἑορτῆς ἔφορον (8), τὴν οἰκείαν κοσμοῦντα πανήγυριν, συμβαίνουσαν τῷ πλήθει τὴν ἀφθονίαν ἡμῖν καταστῆσαι, τοῦ διαρκέσαι πρὸς ὀψοφαγίαν καὶ πολυτέλειαν δείπνων. Ἔδει γὰρ ἀγορᾶς εὐθηνούσης τῇ πόλει πρὸς τοὺς οἰκείους, πρὸς τοὺς ἀπὸ τῶν ἀγρῶν εἰσχεομένους, πρὸς τὴν ὅμορον πόλιν (9) ἐνταῦθα κεκενωμένην, πρὸς τοὺς πόῤῥωθεν (10) ἀφιγμένους, πρὸς τὸν καιρὸν τρυφᾷν ἐρεθίζοντα. Ἅμα δὲ τῇ πανηγύρει καὶ τὸ προσηνὲς τῶν ἐνοικούντων τοὺς ἁπανταχόθεν ἐφέλκεται. Πολλοὺς οἶδα ξένους ἐγὼ παραδραμεῖν βουλευσαμένους τὴν πόλιν, καὶ συχνὸν διατρίψαντας χρόνον ἡμερότητι τῶν ἐνοικούντων (11).

(1) Splendida fuit *illuminatio*. Mos is fuit veterum diebus lætis ac festis. Gregorius Naz., Athanasii narrans reditum Alexandriam, Or. 21, p. 391 : ἐῶ λέγειν.... πᾶσαν φωτὶ καταστραπτομένην τὴν πόλιν... Joannes Chrys. Orat. in reditum Flaviani, c. 4 : ὅπερ οὖν ἐποιήσατε στεφανώσαντες τὴν ἀγορὰν καὶ λύχνους ἅψαντες. Ibi multa apposui, p. 192 Delectus Sinneriani. Cf. p. 122.

(2) Ap., δαπανῶν.

(3) Ap., οὐ νεότης.

(4) Fors. αὐτὸν τὸν πρ.

(5) Ap., ὅποι. Theodorus Prodr. initio Orationis De sapientia : πολλά, φησιν ἡ παροιμία, ψεύδονται ἀοιδοί, καὶ ἐγὼ τίθεμαι (male editor stellulam interserit inter ἐγὼ et τίθ. Locus est integer, nec variat quem vidi codex 3059. Est τίθεμαι « assentior »)· ἀλλ' ὅποι μὲν καὶ ὁπόσα.... εἰπεῖν ἀναστέλλομαι. Codex ὅπη, melius; melius etiam foret, ni fallor, legi ὅσοι. In hoc Themistii loco, Or. 21, p. 297, 27 : εἰς μὲν τὸ ἔργον, ὃ δηλοῦν ἐθέλετε τῷ ὀνόματι, ξυνελαύνετε, εἴ πη δύνασθε, καὶ συνωθεῖτε, varietas πει notata fuit et Ambrosiani altera ἐθέλητε. Et hæc quidem scriptura pessima est; sed ego non malam aliam in ejusdem libri apographo reperio, ἐθελήσετε. Notata est et Ambrosiana lectio ξυνελαύνεσθε, quam non habeo.

(6) Addidi interrogandi signum hic et supra infraque.

(7) Ap., ἐρίζειν.

(8) Sergium martyrem significat.

(9) Forsan Eleutheropolis, vel Ascalon, vel Joppe.

(10) Ap., τὰς πόῤῥωθεν.

(11) Videtur deesse participium κατεχομένους, vel simile aliud.

Μὴ τοίνυν ἡμᾶς Ὅμηρος ἐκπληττέτω Φαιάκων τινῶν ἀναπλάττων φιλοξενίαν, ἑνὸς (1) Ἰθακησίου τετυχηκότος φιλανθρωπίας, οὐδὲ πάντων ἀσμένως ὑποδεξαμένων τὸν ξένον (2). Ἀναδυόμενον γὰρ πρὸς τοὺς ἄθλους, καὶ λέγοντα μὴ πρέπειν αὐτῷ κεχρημένῳ συμφοραῖς ἡλικιώταις εὖ πράττουσιν ὁμιλεῖν (3), ἄγαν ὑβριστικῶς Εὐρύαλος μέμφεται ναυτικὴν ἀμαθίαν αὐτῷ περιάπτων (4).

Ἀθήνησι μὲν οὖν ἐν ταῖς πομπαῖς ἄνευ προσώπου κωμάζειν, ὄνειδος ἐνομίζετο (5)· σκώμματα καὶ εἰς ἀλλήλους αἰχρὰ τῶν σοφωτάτων ἡ πανήγυρις ἦν (6)· ἡμῖν δὲ τοιούτων οὐ δεήσει προκαλυμμάτων. Οὐ γὰρ ἀναπεπταμένῃ τῇ γλώττῃ καλλωπιζόμεθα πρὸς ἀλλήλους, ἀλλὰ καὶ τοῖς ἀστειοτέροις τῶν πολιτῶν τὸ σεμνὸν ἐπανθεῖ· ὥστε, κἂν αὐτῷ τρίβωνι τὶς εἰς μέσην παραβάλλῃ χορείαν, ἐκβαίνειν οὐ δόξει (7) τοῦ τε-

(1) Apogr., videtur habere ἑς. Scripsi ἑνός.

(2) Ap., τῶν ξένων, superscripta varietate τὸν ξένον, quam sumsi. Primores Phæacum Laodamas et Euryalus Ulyssi hospiti non statim favebant. Vide Odyss., l. 8.

(3) Ulysses Laodamæ Odyss., 8, 153 : Λαοδάμα, τί με ταῦτα κελεύετε κερτομέοντες; Κήδεά μοι καὶ μᾶλλον ἐνὶ φρεσὶν ἤπερ ἄεθλοι, Ὃς πρὶν μὲν μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα.

(4) Cui Euryalus : Οὐ γάρ σ' οὐδὲ, ξεῖνε, δαήμονι φωτὶ ἐΐσκω Ἄθλων.... Ἀλλὰ τῷ, ὅσθ' ἅμα νηῒ πολυκληῗδι θαμίζων,.... Φόρτου τε μνήμων καὶ ἐπίσκοπος ᾗσιν ὁδαίων Κερδέων θ' ἁρπαλέων.

(5) Invehitur Demosthenes De falsa legat., § 28, in AEschinis affinem Κυρηβίωνα, quem κατάρατον vocat, ὃς ἐν ταῖς πομπαῖς ἄνευ τοῦ προσώπου κωμάζει. Huc respexit Choricius.

(6) De licentia loquendi in festis atticis multi multa retulerunt. Vide Erasmi Adagium « de plaustro loqui » 1, 7, 73; Scholiasten Luciani Jov. Trag., 44.

(7) Ap., δόξῃ, superscripto ει. Soni similitudo syllabas illas permiscet. Poetaster ante Gregorii Naz. Orationes binas a Matthæio editas, p. 5 : Τὴν βίβλον ὡδὶ συλλαβὼν εὐθυβόλως, Ἔγγραφε καὶ χάραττε καρδίας πλάτῃ Κάλλη νοητῶν σωστικῶν σπουδασμάτων. Scribendum πλάτει. Illustravi καρδίας πλάτος ad Anecd. Gr., t. 5, p. 164. Ignatius hortatione metrica ad juvenes : Ἄκουσον, ὦ παῖ, τῆς ἐμῆς συμβουλίης.... Γράψον δὲ αὐτὴν εἰς πλάτος τῆς καρδίας. Ambo isti versificatores Salomonem imitabantur, qui dixit Prov., 7, 3 : ἐπίγραψον δὲ (τοὺς ἐμοὺς λόγους) ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. Miror valde cur Drusius Animadv., 2, 46, scribere voluerit ἐπὶ τῆς πλακός · « quæ correctio » ait, « nisi certa est, cetera omnia arbitraria esse volo ». Locutio αἱ πλάκες τῆς καρδίας Paulina est, eamque tractavi obiter ad Soph. Phil., 1324, ubi et Junium refutavi, qui pariter in Clementina Epistola, pro verbis ἐπὶ τὰ πλάτη τῆς καρδίας, mutationem proponit ἐπὶ τὰς πλάκας. Sed cur rejicietur τὸ πλάτος septemvirale, quod amplexus est Gregorius Naz. Or. 20, p. 368 : Σολομῶν πλάτος καρδίας

ταγμένου. Λέγονται μὲν καὶ Σπαρτιάται (1) κοσμίως πανηγυρίζειν, ἐπιτρέπειν τε μηδενὶ περιττῶς ἀπολαύειν τῆς ἀπὸ τοῦ καιροῦ παῤῥησίας, ἢ τὴν μεγίστην κατὰ τοὺς νόμους ὑπέχειν ζημίαν· ἡμῖν δὲ προσούσης ἐπιχωρίου (2) σεμνότητος, τῆς ἐκ μόνου (3) δεήσει διδασκαλίας. Τίς οὖν οὕτω κατηφὴς (4) καὶ συνωφρυωμένος (5), ὃν οὐ καταθέλξει τὰ δρώμενα; τοῦ μὲν ἱερέως αὐτοῦ διὰ μέσης ἀγορᾶς ὀχουμένου (6), συγκαθημένων ἑτέρων τὴν αὐτὴν ἀξίαν κληρωσαμένων, ἐξ ἱεροῦ δὲ πρὸς ἱερὸν

ᾐτήσατο παρὰ τοῦ θεοῦ καὶ τετύχηκεν· respectu ad Reg., 3, 2, 33.

(1) Ap., λέγονται μὲν κ' καὶ Σπ. Est κ' aut esse videtur compendium voculæ καὶ male repetitæ; ni lateat nomen populi, Κρῆτες videlicet. Sed paulo brevius id compendium foret. Inserta sunt Anecdotis Paris., t. 4, p. 297, 28, versus εἰς Θεόδωρον τὸν Δεκαπότην. Sed compendium codicis male lectum fuisse opinor. Est super δεκαπο imposita litera τ, sed cum eo calami sinistrorsum ductu qui significet supplendum esse nonnihil ante τ. Inde legerim Δεκαπολίτην. Hoc est carminis initium : Παρθένον αἰγλήεσσαν ἀπὸ χθονὸς αἰθέρα βᾶσαν Ἥν τε Δίκην καλέουσιν, ἀπ' αἰθερίων πάλιν ἠθῶν Ἰθυδίκης Θεόδωρος ἐπὶ χθόνα δεύτερον αὖθις Ἤγαγεν ἠδμοσύναισι (legendum ἴδμοσ.) νόμων καὶ ἤθεσι χρηστοῖς. Τῷ δὲ παρεζομένη λαᾶσι (leg. λαοῖσι quod fere exhibet codex) δίκαζε τἀληθῆ, Ὡς νύμφη ἀλίαστος, παρθένος ἄφθορος οἷα.... Quæ aptissime conveniunt Theodoro Decapolitæ novellarum a Constantino Porphyrogenito promulgatarum auctori. Vide Bibl. Gr., t. 10, p. 386. Prudentior fuit editor doctissimus circa aliud compendium, p. 285, quod
πλ
sic exhibuit, εἰς τὸν Κομιτ., in eo tamen inaccuratus, quod, post τ omiserit ο repertum a me in codice. Totis literis scripseram in apographo ferme ad editionem parato : εἰς τὸν Κομητόπωλον. Syllaba μι non servanda, nec in lemmate nec in ipso carmine, quod sic incipit : Ἄνω κομίτης (imo κομήτης) ἔφλεγε τὸν αἰθέρα · Κάτω Κομήτης πυρπολεῖ τὴν ἑσπέραν. Et prætuli nominis formam Κομητόπωλος recentiori Κομητόπουλος, ob Zonaræ locum, 17, 6, qui, memoratis quatuor fratribus, addit οἳ Κομητόπωλοι ὠνομάζοντο. Et ex comparato poematiolo cum Zonara, manifestum fiet τὸν κάτω Κομήτην Samuelem esse Κομητόπωλον, qui τὰ τῆς Ῥωμαΐκῆς ἡγεμονίας ἑσπέρια περιῄει οὐ ληϊζόμενος μόνον, ἀλλὰ καὶ τὰς χώρας ἅμα καὶ τὰς πόλεις περιποιούμενος αὐτῷ.

(2) Ap., ἐπιχωρίας, superscripto fine ου.

(3) Sic Ap. Fortasse, ἐκ μόνου τοῦ καιροῦ.

(4) Nomen κατηφὴς facit ut meminerim Themistii sic editi Or. 8, p. 123, 3, idque e conjectura d. viri : εἰ μὲν τὰ ἔνδον αὐτῷ κατηφιᾷ καὶ συνέσταλται. « Vulgo κατηφᾷ » vir doct. ait. Est κατηφᾷ quidem in Harduiniana; sed κατηφῆ in Pantiniana et Stephaniana. Conjecerat κατηφῆ Pantinus, quod facit satis, estque in codice, si me non fallit schedula.

(5) Ap., συνωφρυωμένος.

(6) In Ap., « legi videtur ἐχουμένου, sic; quæ vox nihili est ». MILLER. Sensui satisfacere opinabar corrigens ὀχουμένου. Superius, p. 64, n. 8, ὄχειν scriptum fuit fuisseve videtur pro ἔχειν.

τὴν προπομπὴν ποιουμένου, ἀστῶν δὲ καὶ ξένων συῤῥεόντων ἐπὶ τὴν θέαν.

Ἀφωσίωταί μοι (¹) πρὸς τὴν πανήγυριν τῆς μὲν ἀξίας καὶ τῆς ἐμῆς βουλήσεως ἧττον, ὅσα δὲ λέγειν παρεῖχεν ἡ δύναμις. Ἀλλὰ μείζους ἡμῖν χορηγοίης ἐγκωμίων προφάσεις, καὶ δεομένοις ἀκροᾶσθαι τῶν λόγων εὐπειθέστερος γένοιο (²).

(¹) Ap. ἀφοσίωταί μοι.

(²) **Verba** καὶ δεομ.... γένοιο **adfert e codice Matritensi absque varietate Yriartes Catal., p. 596. Ad loci intelligentiam confer quæ dicta sunt p. 99.**

ΧΟΡΙΚΙΟΥ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

ΕΙΣ ΜΑΡΚΙΑΝΟΝ ΓΑΖΗΣ ΕΠΙΣΚΟΠΟΝ (1).

Ἡ διάλεξις ὅτι χρὴ κατὰ δύναμιν ἕκαστον τοὺς εὐεργέτας ἀμείβεσθαι (2).

Πολυτελῆ δὲ ἄρα (3) καὶ γέμοντα φιλοτιμίας τεμένη καλὸν μὲν οἶμαι δημιουργεῖν, καλὸν δὲ ὁρᾷν, ἡδὺ δὲ ὁρῶντα τοῖς ἀκούουσιν ὑπογράφειν. Καὶ διὰ τοῦτο τὶς πάλαι σοφὸς, γένος Ἁλικαρνασεὺς, Ἡρόδοτος ὄνομα, ὃς

« Πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω (4) »,

εἶδέν τε ἅμα τὸ Βαβυλώνιον ἱερὸν, καὶ ἰδὼν ὑφηγεῖται τοῖς ἄλλοις μέγα τε καὶ εὐρὺ καὶ ἀναβαῖνον εἰς πύργους ὀκτώ (5). Ἀλλὰ ταῦτα, ὦ τοῦδε τοῦ χοροῦ κορυφαῖα, ἴσως μὲν μῦθος (φιλόμυθος (6) γὰρ ὁ ἀνήρ), ἴσως δὲ λόγος· εἰ δὲ καὶ λόγος, οὐ νικᾷ σου τὸ φιλοτέχνημα· ὥστε τοῦ Βαβυλῶνος μὲν οὐ χρήζομεν ἱεροῦ, τῆς δὲ Ἡροδότου γλώττης ἡδόμεθα (7), οὔτι

(1) Oratio est secunda codicis Matritensis 101 de qua Yriartes Catal., p. 394, 396. Apographum debeo humanitati ejusdem Milleri viri doctissimi, diligentissimi.

(2) Verba ὅτι... ἀμείβεσθαι descripsi ex Catalogo Yriartæ.

(3) Ap. et Yriartes, ἄρα.

(4) Ex ipso Odysseæ Homericæ initio.

(5) Herodotus, descriptione templi Διὸς Βήλου, 1, 181 : δύο σταδίων πάντη, ἐὸν τετράγωνον · ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται..... καὶ ἐπὶ τούτῳ τῷ πύργῳ ἄλλος πύργος ἐπιβέβηκε καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρις οὗ ὀκτὼ πύργων.

(6) Ap., φιλομῦθος.

(7) Forsan δεόμεθα.

μυθολογίας γε εἵνεκα (1), οὐδὲ ὅπως τινὰ Κροῖσον ὑμνήσωμεν, ἢ Κανδαύλην ὃν οἱ Ἕλληνες Μυρσῖλον (2) ὀνομάζουσιν· οὔτι τούτων γε εἵνεκα, τοῦ δὲ πρὸς ἀξίαν ᾆσαι τὸν ἱερέα, αὐτόν τε ἅμα καὶ ὅσα δημιουργεῖ. Ἀτὰρ οὔ μοι ἄτοπον ἔοικεν εἶναι τούτοις αὐτὸν οἷς ἂν δυναίμην τιμῆσαι (3). Λόγος ἀμέλει τις Ἀττικὸς, εἰ δὲ βούλεσθε Δήλιος· ποιεῖ μὲν γὰρ αὐτὸν ἀνὴρ Ἀθηναῖος, ποιεῖ δὲ λαβὼν ἐκ Δήλου τὴν ἀφορμήν (4)· ἃ δ' οὖν ἐκεῖνός φησι ταῦτα ἐστίν· « ἑορτὴν ἦγεν ὁ δῆμος ὁ Ἀθηναίων ἐν Δήλῳ· ὅτῳ δὲ ἦγε τὴν ἑορτὴν, ἴστε τὴν Δῆλον ἀκούσαντες. Ἄλλοι τε οὖν ἀλλάχοθεν συνῄεσαν ποιηταὶ, εἴτε γεραίροντες τὴν πανήγυριν, εἴτε τὰς αὐτῶν (5) ἐπιδειξόμενοι τέχνας, εἴτε καὶ ἀμφότερα ταῦτα· ἐν δὲ τοῖς καὶ Ὅμηρος ἦν. Καὶ οὐχ ὅτι ἐκεῖνος ἄριστα ᾖδεν, ἐσίγων μὲν οἱ λοιποὶ, ἤκουον δὲ μόνον Ὁμήρου· ᾖδον δὲ ἅπαντες ὅπως ἑκάστῳ παρεῖχον αἱ Μοῦσαι ».

Μὴ τοίνυν νεμέσα (6), ὦ φιλότης, εἴ τις καὶ νῦν οὕτως ὅπως ἂν δύναιτο τὸν νεὼν ὑπογράφοι: οὐ γὰρ, εἰ μὴ πάντα τις δύναται λέγειν, δίκαιος ἐστὶ σιγᾷν ὅσα δύναται λέγειν (3).

(1) Ap., μυθολογίας τέ. Scripsi γε. Mox, οὔτι τούτων γε εἵνεκα.

(2) Ap., Μυρσῖλλον. Herodotus, 1, 7 : ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθε ἐς τὸ γένος τὸ Κροίσου.... ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσῖλον ὀνομάζουσι, τύραννος Σαρδίων.

(3) Ap., τιμῆσαι. « Prius ὑμνῆσαι ». MILLER. Mox utetur verbo ὑμνῆσαι, p. 107, 12

(4) Innui videtur Deliaca oratio Æschinis illius oratoris Atheniensis, sed quam ei abjudicant Philostratus ac pseudo-Plutarchus; ille V. S. 1, 18, 4 : λόγοι δ' Αἰσχίνου, κατ' ἐνίους μὲν καὶ τέταρτός τις Δηλιακὸς, καταψευδόμενος τῆς ἐκείνου γλώττης · hic V. Oratt. cap. 6 : (λόγος) ὁ ἐπιγραφόμενος Δηλιακὸς οὐκ ἔστιν Αἰσχίνου. Et certe quod affert Choricius fragmentum AEschineam dictionem non redolet, si quid intelligo.

(5) Ap., αὐτῶν,

(6) Ap., νεμέσσα. Male hic duplicata litera forsan danda verbo simili in Anecdotis Paris., t. 4, p. 333, 21 : Ἥλιε, τεθρίπποις νεμεσίσσης μηκέτι μούνοις. Rescribi potest νεμεσίσσης · malim νεμεσήσης reponi ex permutatione solita vocalium η et ι. Poetaster ibidem, p. 516, in descriptione æstatis : Αἶγες δ' εὐγλαγέες, λήϊα κεκλημένα · imo κεκλιμένα. Prava distinctione laborat sequens versus : Ὄρνεα δ' εὐφωνοῦσι, καὶ ἄλσεα εὔσκια, δένδρα. Melior codicis distinctio : καὶ ἄλσεα, εὔσκια δένδρα.

(7) Verba οὐ γάρ.... ὅσα δύναται λέγειν descripsit Yriartes Catal., pag. 596.

ἘΓΚΏΜΙΟΝ ΕἸΣ ΜΑΡΚΙΑΝῸΝ ἘΠΊΣΚΟΠΟΝ ΓΆΖΗΣ (¹).

Ἐν ᾧ καὶ ἔκφρασις ναοῦ τοῦ ἁγίου μάρτυρος Στεφάνου. Ὁ λόγος διπλῆν ἔχων ὑπόθεσιν, ἀρετὴν ἱερέως καὶ τεμένους εὐπρέπειαν, ἑκατέρῳ δικαίως μερίζεται (²).

Μικροῦ μὲν ἀπεῖπον πρὸς τὴν ὀξύτητά σου, τῶν ἔργων (³) ἀθρόως πάντα δημιουργοῦντος, τοῦ τοσοῦτον καιρὸν ἀναλίσκοντος (⁴) εἰς τεμένους κατασκευὴν, ὅσον εἰς ἐπίνοιαν ἕτεροι. Οὕτω πρὸς εὐσέβειαν ἐπειγόμενος, οὐ δέδωκάς μοι σχολὴν ἀρκοῦσαν εἰς εὐφημίαν τῷ νεῷ μετρουμένην· ὅσον γὰρ ἐν ἥττονι γέγονε χρόνῳ, τοσοῦτον εἰς κάλλος πλεονεκτεῖ τῶν παρ' ἄλλοις εὐδοκιμούντων. Ἀλλὰ δεινὸν ἡγησάμην τὴν αἰτίαν τῶν μειζόνων ἐπαίνων ἀφωνίας ποιήσασθαι πρόφασιν, καὶ σιγῆσαι διὰ τὸ τάχος τῶν ἔργων, δέον σε διὰ τοῦτο μᾶλλον ὑμνῆσαι.

Ἄρτι μὲν οὖν διαφόρων ἔγεμεν ἐλπίδων ἡ πόλις, ἄλλων ἄλλα στοχαζομένων. Οἱ μὲν καὶ πρὸς τὸ τοῦ νεὼ βλέποντες μέγεθος, καὶ τὸ πέρας ἐξ ὧν ἑώρων εἰκάζοντες, ἡγοῦντο μακροῦ δεήσεσθαι χρόνου· οἱ δὲ τὴν σὴν ἐννοούμενοι φιλεργίαν, καὶ τὸ τέλος ἀπὸ σοῦ τεκμαιρόμενοι; προσεδόκων ἕτερον ὅλον ἐνιαυτὸν τὰ γεγονότα πληρώσειν. Σὺ δὲ τῷ τάχει καὶ τὸ τέμενος καὶ σαυτὸν ὑπερέβαλες.

Μέλλων οὖν ἤδη τοῦ καταλόγου τῶν σῶν πλεονεκτημάτων ἀπάρχεσθαι, χάριν αἰτῶ σε μετρίαν τὴν ἀκοὴν παραδοῦναι τῷ λόγῳ· δέδοικα γὰρ μὴ, πρὸς ἔννοιαν ἄλλου τεμένους ἔχων τὸν λογισμὸν, τὴν ἀκρόασιν ὑπερίδῃς.

Ἀρετὴ τοίνυν πόλεως ἁρμονία καὶ κράσις ἀέρων μεριζομένων ἐξ ἴσου τὸ ἔτος, οἰκοδομημάτων εὐπρέπεια, τρόπος οἰκητόρων ἐπιεικής (⁵). Ταῦτα δή σου τῆς πόλεως τὰ γνωρίσματα, ἣν αἱ κοιναὶ τοῦ βίου θεράπαιναι γῆ τε καὶ θάλασσα τοῖς ἑαυτῆς ἑκατέρα δώροις ἁβρύνει (⁶). Γῆ

(¹) De Marciano, p. 79.

(²) Verba ἐν ᾧ...... μερίζεται sumsi ex Yriartes Catalogo, p. 396.

(³) Apographum ὀξύτητά σου τῶν ἔργων, ἀθρόως. Malui distinguere post σου. Jungendum πάντα τῶν ἔργων, non ὀξύτητά σου τῶν ἔργων. Yriartes descripsit verba μικροῦ.... δημιουργοῦντος, sine ulla distinctione.

(⁴) Ap., ἀγλαΐσκοντος. Quam feci emendatio certa videtur. Pro τοῦ malim καὶ, vel τοῦ τε.

(⁵) Choricius dixit] Laudatione Procopii p. 7, Gazam præstare ἀρεταῖς οἰκητόρων, ὅτῳ μάλιστα τρόπῳ πόλις κοσμεῖται.

(⁶) Excerpta ex hac oratione in Macarii Chrysocephalæ Rhodonia apud Villois. Diatr. p. 49 : δύο τοῦ

μὲν γὰρ τοῖς ἐνοικοῦσιν ἐπίσταται (¹) φέρειν ὅσα τίκτουσιν ὧραι, ὑπτία τε πᾶσα καὶ καθειμένη (²), καὶ, τὸ τοῦ Σόλωνος, « λιπαρὴ κουροτρόφος (³) »· θάλαττα δὲ μικρὸν ἄπωθεν (⁴) τῇ πόλει διακονεῖ, διεστηκυῖα τοσοῦτον ὅσον μήτε κτύπῳ παρενοχλῆσαι κυμάτων, μήτε τὴν ἐξ αὐτῆς χορηγίαν δυστυχεστέραν ἡμῖν καταστῆσαι, τῆς μεταξὺ πορείας ἐκτεινομένης.

Τεκοῦσα τοίνυν ἡ πόλις οὐ παρεῖδεν ἀλλοτρίαις ἀγκάλαις ὑποτρεφόμενον (⁵), ἀλλὰ βρέφος ἀνελομένη, καὶ, πρὸς ἡλικίαν ἤδη παιδεύεσθαι δυναμένην (⁶) ἀνενεγκοῦσα, παρὰ θύρας ἦγε ποιητικὰς (⁷) καὶ τῆς ἐκεῖ-

βίου κοιναὶ θεράπαιναι, Γῆ τε καὶ Θάλασσα, τὰ παρ' ἑαυτῆς ἑκάτερα εἰσφέρουσα (f. εἰσφέρουσι) δῶρα.

(¹) Est ἐπίσταται in sensu consuetudinis, ut οἶδε, φιλεῖ, de quibus p. 15. Theophylactus Simoc. Dialogo p. 11 : νάρκη ποιεῖν τι πάθος ἐπίσταται τοῖς αὐτῇ πλησιάζουσιν. Ibi nota.

(²) Ap., καθειμένη. Pronus in καθημένη, rescribendo fere sum. Exemplis in Thesauro Didotiano legendis participii καθήμενος, de terra supina et cubante, addo similem Gregorii Naz. locum Or. 34, p. 556 : ἡ μὲν (γῆ) εἰς ὀρῶν κορυφὰς ἀνηγμένη, ἡ δὲ εἰς πεδία καθεζομένη. Corayus ad Heliodorum loca grammaticorum qui participii καθήμενος usum stabiliunt nimis calidius immutabat. Locus Gregorii, si fuisset illi notus, illum cohibuisset, opinor. Claudianus 1, 226 : « Est in Romuleo *procumbens* insula Tibri »; id est καθημένη, καθεζομένη, κατακειμένη, ὑπτία. Martialis 4, 6 : « Juli jugera pauca Martialis Longo Janiculi jugo *recumbunt* ».

(³) Fragmentum Solonis num sit jam aliunde notum non memini.

(⁴) In margine glossator : τὸ ἄπωθεν πάντες ἔγραψαν ποιηταὶ καὶ ῥήτορες. Est πάντες dictum paulo fidentius. Certum est insignem esse in illo adverbio scribendo codicum varietatem.

(⁵) Videtur excidisse pronomen, ut fuerit : οὐ παρεῖδεν ἀλλοτρίαις σε ἀγκάλαις ὑποτρεφόμενον. Erit sine dubitatione dandum pronomen anacreontico poetæ in Anecd. Paris. t. 4, p. 382, 12 : Ὁ δὲ, τοῖς ῥόδοις ἐμβάλλων, Ὑπέθελγέ πως πρὸς οἶστρον. Reperio in meo apographo ῥόδοις με βάλλων, et nunc id ipsum mihi exhibet codex scriptum nitidissime. Ibidem video scripsisse me παρεῖχέ μοι πονεῖν δὲ, quum sit editum παρέσχε μοι, mihique enotavi accentum omnino esse in syllaba χε, unde secundam syllabam, quæ in codice est ρε, non ρες, scripserim cum diphthongo ρεῖ. Nec aliter hodie codicem inspiciens habere video. In fine literæ quæ πονεῖ sequuntur, sunt evanidæ prorsus. Forsan reponendum πονεῖσθαι. Philostratus Epist. 13 : τοῦ δὲ βασκαίνειν ἀπέσχε τοσοῦτον ὅσον φιλοτιμία φθόνου. Codex 2225, ἀπεῖχε.

(⁶) Ap., δυναμένη. Hic participii finis mendosus est in Theodori Hyrt. Epist. 3 : παρὰ τὰς τῆς ἐκκλησίας πρώτας πύλας γενόμενοι, ἐπεζυγωμένῃ ἐντετυχήκειμεν. Codex compendiose quidem, nec tamen obscurius, ἐπεζυγωμέναις.

(⁷) Sic Choricius Laud. Proc. p. 3 : ἐπὶ θύρας ἧκε ποιητικάς. Ibi nota. Plato, Phædro § 49, præivit : ὃς δ' ἂν ἄνευ μανίας Μουσῶν ἐπὶ ποιητικὰς θύρας ἀφίκηται,.... ἀτε-

θεν ἐμφορηθέντα σε μούσης τῷ κορυφαίῳ παρεδίδου τῶν Ἑρμου χορευτῶν (1), πλήθει τε λόγων καὶ τρόπῳ καθεστηκότι τὰ πρῶτα φέροντι (2) τῶν ὁμοτέχνων. Ἐδρεψάμην κἀγὼ τῶν τοῦδε λειμώνων ὅσα χωρεῖν ἠδυνάμην. Ἀπὸ τοιούτων οὖν πηγῶν ἀρυσάμενος πολλὴν ναμάτων φορὰν (3), ἤδη πρὸς ἀκρόασιν θείων ὠδῖνες ἀκουσμάτων, καὶ φοιτήσας ἐς διδασκάλου γέμοντος μὲν εἰκότως παιδείας τοιαύτης (ἱερωσύνης γὰρ εἶχεν ἡγεμονίαν), στέργοντος δέ σε δικαίως ἴσα καὶ (4) παῖδα (μητρὸς γὰρ ἐτύγχανεν ἀδελφός), εἶχες ἀεί σου σπείροντα τὴν ψυχὴν, ῥᾳδίως τε δεχομένην καὶ βεβαίως φυλάττουσαν τοὺς καρποὺς εἰς πλῆθος ἅμα καὶ τάχος. Ἔδει δὲ ἑκατέρας παιδεύσεως, τῆς μὲν εὐγλωττίαν χαριζομένης, τῆς δὲ τὴν ψυχὴν ὠφελούσης, ὅπως ἐπιστήμων τε γένοιο τῶν ἱερῶν συγγραμμάτων καὶ δυνήσῃ (5) τοῖς ἄλλοις εὐμαθέστερον ἑρμηνεύειν. Οὔκουν ὤφθη τῳ ἐν τοῖς παρὰ σοῦ μυηθεῖσιν (6) οὕτω πρὸς εὐσέβειαν δύσερις, ὃς οὐ διχόθεν ἑάλω, συνελθούσης μαθήμασιν ἀμάχοις ῥητορείας τοσαύτης. Ὅθεν ὑμῖν εἰκότως παραχωρῶ τῶν ἔργων τοῦ μάρτυρος (7). Τί γὰρ ἥδιον ἢ πρὸς ἀκρίβειαν ἄμεινον ἐστὶν εἰπεῖν ὧν ἔναγχος ἡμῖν εἰσηγήσω, τὸν ἐκείνου βίον διδάσκων;

Ἤδη τοίνυν τινὲς ἐκ φαύλων (8) ὄντες γονέων, ἀδελφούς τε λαχόντες

λῆς... ἠφανίσθη. Lucianus inde profecit Dem. Encom., § 5 : μὴ μανείην, ἔφη, ταῦτά γε, κἂν εἰ πολλῆς δεῖ τῆς μανίας ἐπὶ τὰς ποιητικὰς ἰοῦσι θύρας. Inde et Montanius 2, c. 2, extr. : « Platon dict que pour « néant heurte à la porte de la poé« sie un homme rassis ». Isidorus Pelus. 5, Ep. 92 : ὡς ἂν οἷός τε ὦ πειράσομαι λαμπράν σοι ἀνοῖξαι τῶν νοημάτων τὴν θύραν.

(1) Innuitur Procopius sophista, quem oratione prima laudavit Choricius, ejus discipulus. Ipse statim orator : ἐδρεψάμην κἀγὼ τῶν τοῦδε λειμώνων · quæ conferantur cum simili metaphora, p. 2 : παρ' ᾧ (Procopio scilicet) λειμῶνας ἀττικοὺς ἐδρεψάμην. Confer et verba Ἑρμοῦ χορευτῶν cum parilibus Ἑρμοῦ παλαίστρα, Ἑρμοῦ ἀθληταῖς, p. 3, nota 9.

(2) Formam dicendi τὰ πρῶτα φέρων illustravi, p. 15, n. 7.

(3) Confer similes metaphoras, p. 11, n. 2.

(4) Philostratus V. A. 2, 31, p. 38 Kayserianæ : εἰ δὲ ἔτρεφεν ἴσα καὶ ἑαυτῶν παῖδα. Heliodorus, 3, 4 : ἴσα καὶ ἀθανασίαν ἦγον. Aristænetus, 2, 19 : ἴσα καὶ σειρῆνες. Ibi Bast., p. 718, collato Corayo ad Heliodori Æthiopica, p. 127, 4.

(5) De syntaxi ὅπως γένοιο καὶ δυνήσῃ, vide n. 1, p. 74.

(6) Metaphora quæ est in τοῖς μυηθεῖσιν illustratur, p. 4, n. 4.

(7) τοῦ μάρτυρος, Stephani scilicet.

(8) In excerptis Macarii apud Villoisonum Diatriba, p. 19, leguntur verba τινὲς ἐκ φαύλων.... προσδεχέσθω.

τὴν πατρικὴν νοσοῦντας (1) κακίαν, εἶτα πρὸς ἐκείνους (2) δόξαντες εἶναι χρηστοί, λίαν ἐθαυμάσθησαν ὡς ἐν φαύλοις ἀγαθοὶ νομισθέντες. Οὐ μὴν ἔθος ἐμοὶ τοὺς τοιούτους θαυμάζειν, οὐδὲ οἴεσθαι ταύτην εἰλικρινῆ βάσανον ἀρετῆς. Τί γὰρ μέγα μουσικὸν ἐν ἀμούσοις δοκεῖν, ἢ παρὰ στρατιώταις ἀνάνδροις πολεμικόν; ἡ γὰρ πρὸς τὸ χεῖρον παράθεσις ὀλίγοις ἀρέσκεται πλεονεκτήμασιν. Ἀλλ', εἴ τις ἀγαθοῖς ἀνδράσι κυκλούμενος καὶ τὴν ἅμιλλαν ἔχων πρὸς παππῴαν (3) εὐσέβειαν καὶ πατρὸς ἡμερότητα (4) καὶ σύνεσιν ἀδελφῶν, τὰς ἁπάντων ἐχώρησεν ἀρετάς, ἀεὶ τῆς παρούσης ἡλικίας ἀμείνω κεκτημένος τὸν νοῦν, ἐν παισὶ μὲν νέος τὴν φρόνησιν, ἐν δὲ μειρακίοις ἀνήρ, ἐν ἀνδράσι δὲ γέρων (5), ὁ δὲ τοιοῦτος ἐπαινέτην ἐμὲ προσδεχέσθω.

Ζηλωτοὶ μὲν οὖν κακεῖνοι γονεῖς, ὅσοι παίδων ἀῤῥένων καὶ θηλειῶν ἅμα τυχόντες, τὴν ἑτέραν γονὴν ἐπαινουμένην ἐκτήσαντο· οὐ μὴν εἰς ἄκρον ἀναβαίνουσι τῆς τύχης, ἁπλῆς ἀπολαύοντες εὐπραγίας· οἱ δὲ τοῖς (6) ἑκατέρου γένους κοσμούμενοι τέκνοις, οὐδένος ἔτι πρὸς εὐδαιμονίαν εἰσὶν ἐνδεεῖς, οἷον τοῖς ὑμετέροις ὑπῆρξε γονεῦσιν εὐτύχημα, καλοκαγαθίας μισθός. Τοιγαροῦν ὅσον εἰς τὸ θῆλυ τελεῖ σοι τοῦ γένους αἱ γυναῖκες ὑμνοῦσιν· ἔπαινος δὲ γυναικῶν (7) πάσης ἠλλοτρίωται κολακείας, εἴ γε, κατὰ τὴν τραγῳδίαν, φιλόψογόν ἐστι τὸ φῦλον, καί τις ἡδονὴ γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν (8)· τὸ δὲ παρὰ τῶν φιλαιτίων εὐφημίας τυγχάνειν ἐσχάτης τεκμήριον ἀρετῆς. Εἰ δὲ χρὴ

(1) Ap., νοσοῦντες, superscripto τας. Macarius, νοσοῦντας.

(2) « πρὸς ἐκείνους, *cum illis comparati* ». VILL.

(3) Ap. et Macarius, παππῷαν.

(4) Macarius, πρὸς ἡμερότητα. Ap., πατρὸς ἡμερ. Sed notavit ad marginem Millerus, vir accuratissimus, fuisse « prius πρός ». Antithesis nominum παππώαν et πατρὸς mihi fuit eligendi causa. Mox laudabitur patris καλοκαγαθία.

(5) « Pindarus Pyth. 4, Str. ιγ' : Κεῖνος γὰρ ἐν παισὶν νέος, ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ · ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαέννας ὀπός. Quem locum hic manifesto expressit Choricius. Idem Pindarus Pyth. 5, antistr. 2 : κρέσσονα μὲν ἁλικίας νόον φέρβεται ». VILL. Conf. Heynium in Pind. l. Ad verba ἐν ἀνδράσι γέρων vide p. 4, n. 1.

(6) Ap., τῆς.

(7) Macarius Rhodonia apud Villoisonum Diatr., p. 19 : πάσης ἠλλοτρίωται κολακείας ὁ ἐκ γυναικῶν ἔπαινος· εἴ γε κατὰ τὴν τρ... τεκμήριον ἀρετῆς. Ap., ἀλλωτρίωται.

(8) Ap., φῦλον. « Prius φύλλον », MILLER. Macarius, φῦλον. Ap., γυναιξίν. Macar., γυναιξί. « Respexit hunc locum Phœn. v. 206 : Φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ... ἡδονὴ δέ τις Γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν ». VILL.

σύμβολον ποιεῖσθαι θηλειῶν εὐκοσμίας ἀῤῥένων ἀδελφῶν ἐπιείκειαν, τεκμαίρομαι πᾶσαν αἰδῶ σου ταῖς ἀδελφαῖς ἐπανθεῖν.

Τοιαύτην μὲν πόλιν ὁμοῦ μητέρα καὶ τροφὸν εὐτυχήσας, τοσαύτην δὲ φέρων ἐκ γένους φιλοτιμίαν, ἀμφότερα μικρὸν ἐνόμισας μέρος εἰς εὔκλειαν ἄνευ πράξεων ἀγαθῶν. Πόθεν οὖν ἤρξατό σοι τὰ προς τὴν πόλιν τροφεῖα, καὶ τίνες αἱ πρῶται τῶν ἀμοιβῶν; Ἤδη μὲν ἔνια τῶν ὑμετέρων ἐν προτέροις ἡμῶν εἴρηται λόγοις (¹)· καὶ δὶς δέ τοι καὶ τρὶς καλὸν φασὶν εἶναι τὸ καλὰ λέγειν (²).

Τεῖχος ἡμῖν πρότερον ἦν οὕτως ὄνομα μόνον. Ὁ μὲν γὰρ πλεῖστος περίβολος ἀνέῳκτο τοῖς εἰσιοῦσιν· ὁ δὲ λειπόμενος ἔτι διαβατὸς ἐγεγόνει τῷ χώματι. Ἐντεῦθεν ἡ φήμη κατεγέλα τῆς πόλεως καὶ πολέμους ἐκήρυττε πολεμίων ἡσυχαζόντων. Διανείμας τοίνυν τὴν ἐπιμέλειαν τοῖς ἐκ τέλει τῶν οἰκητόρων (³), ἵνα συντόμῳ (⁴) καὶ τῷ λόγῳ τὴν ὑμετέραν ζηλώσω σπουδὴν (⁵), δευτέραν ἀσφάλειαν τὴν τοῦ χώματος ἐξεῦρες διωρυχήν, ὡς ἀντὶ τείχους ἑτέρου γεγενῆσθαι τὸν λόφον.

Βούλεσθε οὖν, ἐπειδὴ τῷ λόγῳ παρὰ τὸ τεῖχος γεγόναμεν, πρὸς τὸ τῶν Ἀποστόλων βαδίσωμεν τέμενος. Ἅμα γὰρ ἥδιστον φανταζόμεθα (⁶) χῶρον, καὶ πρόφασιν ἐκεῖθεν ληψόμεθα τὸν ἱερέα κοσμοῦσαν. Πάλαι γὰρ εἱστήκει σαλεῦον, οὔπω μὲν πεπτωκὸς, ἀεὶ δὲ τοῦτο παθεῖν προσδοκώμενον, πολλὴ τοῖς ῥαθυμοῦσι κατηγορίας λαβή. Ἐν παρόδῳ γὰρ ἱδρυθὲν πολυάνθρωπον ἀγορὰν μιμουμένη ἐγκλήματα συνεχῆ περιῆπτεν ἐκείνοις. Ἀμφότερα δεινῶς ἐλύπει τὸν ἱερέα, καὶ τὸ περιῶφθαι τοῦ νεὼ τοὺς πρυτάνεις καὶ τό τινας ἐν ὀνείδεσιν εἶναι. Ἀποδοὺς οὖν (⁷) τῷ τόπῳ

(¹) Scilicet in Laudatione Mariæ, quæ fuit Marciani mater, ac præcedente sermone.

(²) Plato Gorgia, § 117 : καὶ δὶς γάρ τοι καὶ τρὶς φασὶ καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. Ibi Heind., coll. Stalbaum. ad Phileb., § 140; Erasmo Adagio 1, 2, 49 : « Bis ac ter quod pulcrum est ». Theodorus Prodromus in Notit. Mann., t. 7, p. 247 : Τιμᾶν γὰρ ἔγνων τὴν σοφὴν παροιμίαν, Τὴν δὶς τὰ καλὰ, καὶ δὶς ἐξύμνησά σε. Ibi Dutheil.

(³) Vide not., p. 80.

(⁴) Ap., συντέμω.

(⁵) Super nomen σπουδὴν est signum, quo remittitur lector ad imum marginem, ubi hæc sunt imperfecta verba : τὴν μὲν πόλιν τείχεσι περιερίζωσας · αὐτὴ δὲ τῷ κύκλῳ. Videtur junctim scribendum, περιέζωσας. Sed expectandus alius codex. In præcedente oratione, pag. 81, laudavit Marcianum quod urbem incursionibus hostium apertam munivisset.

(⁶) Forsan φαντασώμεθα.

(⁷) Additum οὖν « secunda manu ». MILLER.

τὴν ὀφειλομένην ἐπισκευὴν, εὔκλειαν μὲν ἑαυτῷ, ψόγου δὲ λύσιν τοῖς πρότερον (¹) ἐχορήγησε, συσκιάσας αὐτῶν (²) τὴν ἀμέλειαν. Τὸ γὰρ μὴ φαινόμενον λήθην τῶν ἡμαρτημένων εἰσάγει (³).

Μικρὸν ἔτι μοι πόῤῥω τοῦ ἄστεος τὴν ὑμετέραν δότε διάνοιαν εἰς ἀγρόν τινα τῇ πόλει προσήκοντα, ἔνθα τέμενος ἦν ἔλαττον ἢ λαμπρὰν πανήγυριν δέξασθαι. Τοῖς μὲν οὖν ἐν φαύλῳ θεμένοις τὸν τόπον μετρίαν ἐδίδου συγγνώμην τὸ διεστάναι τῆς πόλεως, καὶ πρὸς τὸν ἐγκαλοῦντα πιθανὸν ὑπῆρχεν εἰπεῖν· « ἐν ἀγρῷ τὸ χωρίον· οὐ πλησιάζει τῇ πόλει· στάδιοι τὸ μέσον πεντήκοντα ». Εἶχον ἐκεῖνοι τοιαύτην ἀπολογίαν εὐπρόσωπον. Ἀλλὰ μισεῖς ῥᾳθυμίαν, κἂν ἔχῃ συγγνώμην· ὡς ἔστιν ἐκεῖσε φοιτῶντα μαθεῖν, φιλοκάλου πολυτελείας κοσμούσης τὸν τόπον. Οὕτως ὀλίγα παραλαβὼν ἱερὰ, καὶ ταῦτα πεπονηκότα τῷ χρόνῳ, πλείονα τὰ τῶν παλαιῶν ἐδωρήσω νέα τῇ πόλει (⁴), καὶ τῶν ἀρχαίων ἑκάστῳ τοσοῦτον προσέθηκας ὅσον ἐποίει τὸ πᾶν νομίζεσθαι σόν.

Ὥρα λοιπὸν ὑμῖν ἐπανελθεῖν εἰς ἄστυ, καὶ τὸν πολυθρύλλητον περισκοπῆσαι νεών. Ἀλλ' ὅρα μή ποτε λάθῃς ἐνδιατρίψας τῷ χώρῳ, πρὸς τὴν αὐτόθι κηλούμενος τέρψιν (οὔτε γὰρ εἰσιέναι σοι ῥᾴδιον ὑπὸ τῆς ἔξωθεν κατεχομένῳ φαιδρότητος), καὶ γενόμενος ἔνδον ὀψὲ μνημονεύσῃς τῆς ἐκεῖθεν ἐξόδου· ὕψους, εὐρυχωρίας, φωτὸς, χρωμάτων ποικίλων, σχημάτων οἰκοδομίας παντοδαπῶν, τούτων ἁπάντων ὁμοῦ, μᾶλλον δὲ μέρους ἑκάστου κατέχειν ἄρχοντος τὸν θεατήν.

Δεδοικὼς τοίνυν ὁ λόγος μὴ τὸ πάρεργον, ὡς εἰπεῖν, ἴσον ὑπάρξῃ (⁵) τῷ ἔργῳ, τοῦτον ἀφεὶς τὸν νεὼν, πρὸς ἑτέραν σου μεταβήσεται πρᾶξιν.

(¹) Fuit « prius τὸ πρότερον ». MILLER.

(²) Ap., συσκιάσας αὐτῷ.

(³) Notum est vernaculum proverbium : « péché caché est à moitié pardonné ».

(⁴) Ap., τῇ πόλει νέα. Sed impositis literis α, β, faciendæ transpositionis indicio.

(⁵) Ap., ὑπάρχῃ, superscripto ξ. Opposita sæpe sunt nomina ἔργον πάρεργον, v. c. apud Eunapium, p. 1, ubi nota; apud Julianum, Ep. 55, ubi Heyler. Plutarchus Mul. virt. 19, p. 257 : πάρεργον τὴν ἐκείνου τιμωρίαν ἐνόμιζον, ἔργον δὲ πρῶτον ἦν αὐτοῖς... ἐκείνην ἀσπάσασθαι. Synesius Insomn., p. 107 : τοῦτο δὴ τὸ λεγόμενον, ἔργου μεῖζον τὸ πάρεργον. Psellus Opusc., p. 60, 7. Aristides Orat, 15, p 229 : τὸ γὰρ δὴ πάρεργον τῶν ἔργων οὐκ ἀτιμότερον. Isidorus Pelus. 5, 108 : τὰ μὲν γὰρ ἔργα πάρεργα εἶναι ἡγούμεθα. Ibi Schottus. Balzacus Socrate Christiano, libro bonæ frugis pleno, pag. 348 : « Ce serait faire ses affaires de ses jeux ».

Ἐπειδὴ γὰρ ἔδοξε βασιλεῖ πολέμῳ σωφρονίσαι (¹) τοὺς ἁμαρτάνοντας, ἔδει τὰς ἐκπεμφθείσας δυνάμεις ἐνθένδε ποιεῖσθαι τὴν πάροδον. Αἱ δὲ ἦσαν ἀνεκτότεραι μὲν ἢ στρατιῶται, οἷάπερ ἐντολαῖς κεχαλινωμέναι βασιλικαῖς, στρατιῶται δὲ ὅμως, οἷς φρόνημα σύνεστι φορτικὸν, καὶ γλῶττα προτρέχουσα τῆς διανοίας (²) καὶ δεξιὰ προπηδῶσα τῆς γλώττης. Ὀρθῆς οὖν τῆς πόλεως γενομένης τῷ φόϐῳ καὶ ταῖς ἐκ γειτόνων ἀγγελίαις ταραττομένης (ἄλλοι γὰρ ἄλλως μηνύοντες τὴν αὐτὴν πάντες ὑπέφαινον ταραχήν), οἱ μὲν εἰσεχέοντο δεῦρο, θρασύτεροι γεγονότες ἡμῖν ἐξ ὧν τοὺς ἀστυγείτονας ὕϐρισαν (ἀνὴρ γὰρ ἐν ὅπλοις τραφεὶς, ἐφ' οἷς ἐτόλμησε πρῶτον ἐπιστροφῆς μὴ τυχὼν, πρὸς ὅλην ἀπερυθριᾷ πονηρίαν)· ὁ δὲ χρηστὸς οὑτοσὶ τῆς πόλεως κηδεμὼν, καὶ πᾶν ὅ τι λυσιτελὲς ἐπινοῶν τε καὶ πρὸς ἔργον ἐκφέρων, ἀφορίσας τῶν οἰκητόρων αὐτοῖς οὓς ἐπιτηδείως ἑώρα διακειμένους, ταῖς διὰ τούτων θεραπείαις λίαν αὐτοῖς ἐμάλαξε τὸν θυμὸν, καὶ χειροήθεις ἐποίησεν.

Ἐκδέχεται τοίνυν ἡμᾶς ὁ νεὼς, ἡ πάλαι προσδοκωμένη μοῖρα τοῦ λόγου, μεῖζον ἢ κατ' ἐμὲ φορτίον. Ὃν γὰρ εἰργάσαντο τέχναι πολλαὶ, λιθουργοὶ καὶ πλακῶν ἐπιστήμονες καὶ οἷς διὰ χρωμάτων ἡ μίμησις, μόνος ὑπογράφειν ὁ λόγος ἐπιχειρεῖ. Καί τοι δοκῶ μοι τὰς τέχνας ὥσπερ ἐν ἀγῶνι (³) κοινῷ πρὸς ἔριν ἀλλήλαις ἐλθεῖν, ἥτις (⁴) ἐπιμελέστερον τὸ προσῆκον ἀποτελέσει. Καὶ χωρὶς τούτων οὔτε πάντα θεάσασθαι ῥᾴδιον, μεθελκομένης τῆς ὄψεως ἐξ ἑτέρου πρὸς ἕτερον, οὔτε λέγειν ὅσα τις εἶδεν· ὥστε διπλῇ τῆς ἀξίας ἀπολειπόμεθα, τοῦ μὲν τεμένους νικῶντος τὴν θέαν, τῆς δὲ θέας τὸν λόγον. Οὐ μὴν ἀλλὰ δύο μοι πρὸς εὐφημίαν εἰσὶν ἀφορμαί· μία μὲν τὸ πρὸς τὸν μάρτυρα σέϐας (ἅπαντας μὲν γὰρ ὅσοι τὴν ἰδίαν ψυχὴν θυσίαν (⁵) ἀνέθηκαν θεῷ προσήκειν ἡγοῦμαι τιμᾶν· ἐξαίρετον δὲ προσοφείλεται γέρας τῷ πάντων ἡγησαμένῳ καὶ πρώτῳ τὸν ὑπὲρ εὐσεϐείας τολμήσαντι βίον· θάνατον (⁶) γὰρ οὐ θέμις

(¹) Ap., σωφρονῖσαι, cum altero accentu, acuto.

(²) Meminit Isocratis ad Demon., § 4 : πᾶν ὅ τι ἂν μέλλῃς λέγειν πρότερον ἐπισκόπει τῇ γνώμῃ · πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

(³) Ap., ἐν ἀγῶνι. « Ἐν supra- scripsit secunda manus » MILL.

(⁴) Ap., ἐλθεῖν ἤ τις.

(⁵) Ap., τὴν ἰδίαν σίαν, sic cum lacuna. « Fortasse θυσίαν ». MILL. Id recepi, sed addito ψυχήν.

(⁶) Fuit S. Stephanus martyrum primus, unde cognomen passim obtinet τοῦ Πρωτομάρτυρος.

εἰπεῖν)· ἑτέρα δὲ τῶν δρωμένων τὸ κάλλος· οὐ γὰρ ἀνέχεται, κηλουμένων ὀφθαλμῶν, ἡσυχάζειν ἡ γλῶττα, καὶ πᾶς, ὅπερ θαυμάζει, τοῦτο πρὸς ἄλλους ἐκφέρει, καὶ παρακαλεῖ πρὸς τὴν θέαν.

Ἕπου τοίνυν ἐμοὶ παρὰ τὴν πρὸς ἕω τοῦ ἄστεος πύλην. Καταβὰς γὰρ ἐντεῦθε καὶ πρὸς εὐώνυμον παρακλίνας (¹), οὐκέτι πρὸς τὴν ὁδὸν ἡγεμόνος δεήσῃ, τοῦ νεὼ περιφανῶς δρωμένου, καὶ πρὸς αὐτὸν (²) ἀρκοῦντος ἰθύνειν. Τὸ μὲν οὖν πάρεργον σκηναὶ (³) παρὰ πᾶσαν τὴν ὁδὸν, ψυχαγωγίαν τινὰ προξενοῦσαι· ἐν προθύροις δὲ γεγονὼς, καὶ πλῆθος βαθμῶν ὑπερβάς (οὕτως (⁴) ἐν ὕψει τὸ τέμενος ἵδρυται), θερινὸν ὁρᾷς ἐνδιαίτημα τὴν ἀπὸ τοῦ καιροῦ θέρμην ἡδίστῳ πραΰνόν σοι (⁵) πνεύματι. Λεπταὶ γὰρ διαψύχουσιν αὖραι ὠχυρωμένον μὲν ἀσφαλείᾳ φρουρίου, δυοῖν ἀμέλει πύργων περιεστώτων τὴν εἴσοδον, κεκοσμημένον δὲ προτεμενίσματος κάλλει τετράσι τε στοαῖς ἁβρυνόμενον (⁶), καὶ τῶν πλευρῶν οὐδὲ μίαν πρὸς τὴν ἐφεξῆς ἄνισον ἔχον. Δηλοῦσι δὲ τὴν τετράγωνον ἐργασίαν οἱ κίονες, ἴσοι τὸν ἀριθμὸν, ἴσοι τὴν διάστασιν ὄντες, ἐκ μιᾶς μὲν ὁρμώμενοι πόλεως, ἐκ μιᾶς δὲ μορφῆς διαλάμποντες, « λευκότεροι χιόνος », κατὰ τὴν ποίησιν (⁷) · ὧν οἱ πρὸς ἀρχομένην ἀκτῖνα τοσοῦτον ὕψος νικῶσι τοὺς ἄλλους, ὅσον ὑπὲρ ἐδάφους ἐκεῖνοι μετεωρίζονται. Τοὺς γὰρ τῷ νεῷ πλησιάζοντας ἐχρῆν ἴσως ἔχειν τι πλέον. Νῦν μὲν οὖν εἰς εὐπρέπειαν τὸ χρῆμα συμβάλλεται τῶν στοῶν· κατὰ δὲ τὴν ἑτέραν τοῦ μάρτυρος ἑορτὴν (ἄγεται γὰρ ὥρᾳ (⁸) χειμῶνος), καὶ πρὸς τὸ παραπέμπειν ἀβρόχους τοὺς εἰσιόντας, ὑετοῦ τυχὸν ἐπινίφοντος. Μία δὲ τούτων, ἡ τοῦ τεμένους προβεβλημένη, δίδωσιν εἴσοδον, ἐν δεξιᾷ μὲν εἰς οἶκον ὑπηρετεῖν ἱερουργίας (⁹), ἐξ εὐωνύμου δὲ πρὸς χῶρον εἰς πρόσρη-

(¹) Ap., ἀνακλίνας, et ad marginem, παρα, id est παρακλίνας. Hoc recepi.

(²) Ap., αὐτόν.

(³) Scripsi σκηναί. In Ap. nitide tantum exaratur initium vocabuli σ et finis αί. Descriptor diligentissimus imitatus est qui potuit ductus literarum quos vidit in codice, et adscripsit *sic*. Cf. p. 100, 120.

(⁴) Ap., ὑπερβὰς οὕτως, ἐν. Distinguere visum est aliter.

(⁵) Ap., πραΰνον σοι.

(⁶) Ap., ἀβρυνόμενον. Et sic alibi, quod mutavi et mutabo.

(⁷) Homerus Il. 10, 437.

(⁸) Celebratur S. Stephani festum d. 27 decembri. Dixit ἑτέραν ἑορτὴν, respectu, ni fallor, ad prius festum translationis scilicet reliquiarum, quod in d. 21 septembris cadebat. Vide Morcellii Calendarium Constantinopolitanum, t. 1, p. 295.

(⁹) Sic Ap. Locus mendosus ex omissione. Forsan, εἰς οἶκον ὑπηρετεῖν ἱερουργίᾳ ἐπιτήδειον · vel bre-

σιν ἀνείμενον τῷ τὴν ἱερωσύνην λαχόντι· καθ' Ὅμηρον (¹), ἔνθα, « λιγὺ πνείοντες ἄηται » βορέης καὶ ζέφυρος, ἄμπελοί τε καὶ διαφανὲς ὕδωρ, καὶ φυτὰ παντοῖα, καὶ χρηστὸς ἱερεὺς, Νέστορος, καθ' Ὅμηρον (²), γλυκίω ῥέων αὐδὴν, ἀδόλῳ δεχόμενος γνώμῃ καὶ μειδιῶντι προσώπῳ τοὺς εἰσιόντας.

Ταῦτά σοι τῆς στοᾶς χορηγούσης ἐξ ἑκατέρας χειρὸς, ὁ πρὸς ἥλιον ἀνίσχοντα τοῖχος δίδωσι βλέπειν ὅσα μὲν θάλαττα φέρειν, ὅσα δὲ γῆ πέφυκε συντελεῖν· καὶ σχεδὸν μὲν ὃ ζητήσαντί σοι μὴ πρόσκειται, πολλὰ δέ σοι μὴ κατὰ νοῦν ἐπιόντα θεάσῃ. Ὦ τέχνης πολλὴν πρὸς τὴν φύσιν παῤῥησίαν ἐχούσης! ὢ λαμπρότητος ἔργων ἡδονῇ κεκραμένης! ἔδει γὰρ τέμενος οὕτω πολύχρυσον ἔχειν ἐγκαλλώπισμα πλούτου.

Ἀπὸ ταύτης δὴ τῆς στοᾶς ἀρξάμενος ὁ νεὼς, μακρὸς ἐῤῥύη (³) πρὸς ἕω, εὐρυνόμενος μὲν ὅσον ἀπῄτει τὸ μῆκος, ἐκταθεὶς δὲ τοσοῦτον ὅσον ἐζήτει τὸ πλάτος, ἀμφοτέροις δὲ σύμμετρος εἰς ὀροφὴν ἀναβαίνων.

Τοῦτο πρῶτον καὶ μέγιστον κάλλος καὶ ἡ συμφωνία (⁴) τῶν ἔργων· τὰ δὲ τούτοις ἀκόλουθα πᾶσα περιφανῶν μαρμάρων πατρὶς ἐνταῦθα δωροφορεῖ. Κοινὸν δὲ κέρδος αἱ πλάκες καὶ τῷ τεμένει πρὸς ἐργασίαν εὐσχήμονα, καὶ ταῖς πόλεσιν εἰς ἀφορμὴν εὐδοξίας. Ὁ γὰρ ἰδὼν καὶ θαυμάσας εὐθὺς ἐπαινεῖ τὴν πέμψασαν πόλιν. Τῶν δὲ κιόνων οἱ κράτιστοι τέτταρες, οὓς ἔβαψεν ἡ φύσις χρώμασιν ἐσθῆτος βασιλικῆς, διορίζουσιν ὅσον οὐ βάσιμον τοῖς εἰς ἱερὸν μὴ τελοῦσι χορόν (⁵). Ἀλλὰ γὰρ ἡ πρὸς ἕω πλευρὰ, τὸ ποικίλον αὐτῆς φιλοτέχνημα καὶ θᾶττον (⁶) εἰσήγαγέ με τοῦ δέοντος, μὴ συγχωρῆσαν ἐνδιατρίψαι τοῖς ἔξω, καὶ, πρὶν διὰ τῶν ἄλλων ἐλθεῖν, πρὸς ἑαυτὸ δικαίως ἐφθακέναι (⁷). Ἐξ αὐτοῦ γὰρ ἐδάφους διάφορος ὡραΐζει κοιλότης τὸν τοῖχον· τοῦ μὲν ὑποκειμένου μέρους ὁμοίως εὐρυνομένου μέχρι τῆς ἐπὶ τῶν ἄκρων ἐφεστηκυίας ἀψῖδος· τοῦ δὲ λοιποῦ κατ' ὀλίγον (⁸)

vius ὑπηρετικὸν ἱερουργίας, vel.... Vernacule *la sacristie*.

(¹) Homerus Od. 4, 567 : Ἀλλ' αἰεὶ Ζεφύροιο λιγυπνείοντας ἀήτας Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους. Del. κ. Ὅμ. mox repetitum.

(²) Homerus Il. 1, 247 : Νέστωρ... Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

(³) Ap., ἐρύη. « Sic, id est ἐῤῥύη ». MILLER.

(⁴) Forsan sine conjunctione : κάλλος, ἡ συμφωνία. Sed periisse mihi videtur nomen quoddam ante καί.

(⁵) De τελεῖν, p. 13, n. 8.

(⁶) Reddo accurate apographi scripturam adulterati.

(⁷) Forsan, δικαίως κελεῦσαν ἐφθακέναι, vel δικαιοῦν ἐφθ.

(⁸) Ap., κατολίγον, sic sæpe adunatis quæ divido. Vide monita p. 44, 6.

συστελλομένου τῷ πλάτει πρὸς τὴν τῆς ἀψῖδος ἀναλογίαν. Εἰς ἀμφοτέρωθεν (1) δσίων ἀνδρῶν συνωρὶς, ἑκάτερος τὰ συνήθη σύμβολα φέρων· ὁ μὲν τὸ τέμενος ἔχων (2) ἐν δεξιᾷ τοῖς θεωμένοις· παρὰ δὲ τὴν λαιὰν τὸν Πρόδρομον ὄψει. Τοῦ κάτω δὲ μέρους παντοδαποῖς μαρμάροις ἀστράπτοντος, λίθος τις ὢν τούτοις τῇ φύσει μὲν εἷς, τῇ δὲ τέχνῃ (3) πολλοὶ γεγονὼς, εὐρεῖαν δμοῦ καὶ πρὸς τὸ πλάτος εὐμήκη θυρίδα, κειμένην ἐν μέσῳ, μόνος ὅλην περιλαβὼν, καὶ πλάκας τὰς ἀμφοτέρωθεν αὐτῆς τῶν περάτων πληρώσας, καὶ δύο κοσμήσας τοὺς παρ' ἑκάτερα τοίχους, οὐ πρότερον ἔληξεν ἕως διχόθεν ἀνέβη καὶ τὴν ἐπικειμένην τῇ θυρίδι κατήλειφε (4) ζώνην, οὐδὲ ταύτην ἑτέρας οὖσαν πλακός. Ζῶναι γὰρ οὕτω μαρμάρων καλύπτουσιν εὐαρμόστως τὸν τοῖχον, οὕτω μὲν ἔχουσαι τῆς ἁρμονίας ὡς ἔργον νομίζεσθαι φύσεως, οὕτω δὲ πεποικιλμέναι χρόαις ἐμφύτοις, ὡς μηδὲν ἀπᾴδειν χειροποιήτου γραφῆς· ὥστε καὶ ζωγράφων παῖδες, οἷς ἐπιμελὲς τὰ κάλλιστα τῶν ὄντων ἐκλεξαμένοις (5) εἰκάζειν, εἴ που δεόιντο κιόνων εἰς μίμησιν ἢ πλακῶν ἀγλαΐας (εἶδον γὰρ ἐν γραφῇ τοιαῦτα πολλά), καλῶν (6) εὐπορήσουσιν ἐντεῦθε παραδειγμάτων.

Μιᾷ ζώνῃ, τὴν ὑπερτάτην φημὶ, καινὸν ἐπίκειται σχῆμα. Κῶνον ἡμίσεα τοῦτο καλούσης γεωμετρίας ἀκήκοα, λαβούσης ἐντεῦθε τῆς προσηγορίας τὴν ἀφορμήν. Τεθέαταί τις τυχὸν ἐν ὑμῖν τὸ δένδρον τὴν πίτυν, ἥτις εἰ μὲν κόρη τὸ πρότερον ἦν (εἰσὶ γὰρ οἳ τοῦτο μυθολογοῦσιν), ὁ δὲ Βορέας αὐτὴν ἐρωτικῇ ζηλοτυπίᾳ διέφθειρε (7), καὶ δεινῶς ἐλεοῦσα τὸ πάθος ἡ Γῆ (8) φυτὸν ἀνῆκεν ὁμώνυμον τῇ παρθένῳ· τοῦτο μὲν οὔτε πείθομαι λέγουσιν, οὔτε πρόκειται λέγειν, ἀλλ' ὅτι φέρει καρπὸν, ὃς ὀνομάζεται κῶνος. Αὕτη τῷ σχήματι τῆς προσηγορίας ἡ πρόφασις. Το-

(1) Ap. sic. Forsan ἔστιν ἀμφ., vel εἱστήκει ἀμφ., vel καὶ ἀμφ.

(2) S. Stephanus, ni fallor, cui fuit ædes dicata.

(3) Ap., εἰς τῆδε τέχνη.

(4) Ap. sic, κατήλειφε. Propter præcedens ἀνέβη, cogitavi de reponendo κατείληφε, et favet vocalium facilis permutatio ει et η. Libanius Jac. Morellii, p. 202 : μὴ λαλήσῃ Σωκράτης, Ἄπολλον, ἔτι ζῶν ἔχων φωνήν; imo λαλήσει. Idem, p. 260 : Σωκράτει μὲν γὰρ οὐδὲν χεῖρον, κἂν μὴ λέγει. Imo λέγῃ.

(5) Ap., ἐκλεξάμενος.

(6) Ap., καλλῶν. Et sic infra, p. 124, 2.

(7) Fabulam narrat Libanius bis, t. 4, p. 1108, et qui e Libanio pendet anonymus in Geoponicis, 11, 10, ubi Niclas. Adde ad Longum 1, 27; 2, 7, Villoison., et interpretes in Seileriana.

(8) Libanius : Γῆ δὲ ἐλεοῦσα τὸ

σοῦτον ἔχω σοι μέρος δι' εἰκόνος εἰπεῖν. Εἰ δὲ τὸ πᾶν ἀκούειν ποθεῖς, ὧδέ πως ἔχει. Ἀνὴρ ξύλων δημιουργὸς, κύκλους ἐξ ἧς αὐτῷ δέδωκεν ὕλης ἡ τέχνη πέντε τὸν ἀριθμὸν, ἕκαστον ἴσα δύο (¹) τεμὼν, καὶ τῶν τμημάτων ἐννέα συνάψας, ἐκ μὲν τῶν ἄκρων ἀλλήλοις, ἐκ δὲ τῶν μέσων τῇ ζώνῃ ἣν ἀρτίως ὑπερτάτην προσεῖπον, ἰσάριθμα τούτοις ἐπέστησε ξύλα κοιλάνας, κάτωθε μὲν ἐξ εὐρέος ἀρξάμενα, κατὰ βραχὺ δὲ μειούμενα πρὸς ἄκρον ὀξὺ, κυρτούμενά τε τοσοῦτον ὅσον (²) τῇ κοιλότητι συναρμόσαι τοῦ τοίχου, καὶ τὰς ἁπάντων κορυφὰς εἰς μίαν συναγαγὼν ἠρέμα τε κάμψας, ἥδιστον ἀπέδειξε θέαμα. Ἀλλὰ γὰρ πέντε μὲν κύκλους δίχα τεμὼν, ἐννέα δὲ μόνον τμημάτων ὑπογράψας τὴν ἐργασίαν, ἐπιζητοῦντας ὑμᾶς εἰκότως αἰσθάνομαι τὸ λεῖπον μέρος τοῦ κύκλου. Αὐτοῦ τοίνυν τοῦ μέρους ἐξίσης διῃρημένου καὶ τοῦ μὲν ἔνθεν, τοῦ δὲ ἔνθεν τῶν ἐννέα κειμένου, ἀψὶς ἀμφοτέροις ἐκ τῆς αὐτῆς ὕλης ἐπίκειται τὰ πρόσω κοιλανομένη, συνεισφέρουσα κάλλους προσθήκην, εἰκόνος αὐτῇ γεγραμμένης ἐν μέσῳ τοῦ προστάτου τῶν ὅλων. Χρυσὸς δὲ καὶ χρώματα τὸ πᾶν ἔργον φαιδρύνει τοῦτο. Καὶ ταῦτα μὲν οὕτω πως μεμηχάνηται· ἐπεὶ δὲ καὶ τῶν στοῶν ἑκατέραν ἔδει μέν τινος μετασχεῖν εὐπρεπείας κατὰ τὴν πρὸς ἕω (³) πλευρὰν, ἔδει δὲ μὴ τοσαύτης ὅσης (⁴) · τὸ μέσον, ἄνευ τῆς ἐκ τῶν κώνων εἰρημένης μοι ποικιλίας, τοῖς λοιποῖς ὡραΐζονται σχήμασιν.

Τοῦ δὲ μὴ τοῖς ἀνδράσι γυναικῶν ὅμιλον ἀναμίγνυσθαι, καίτοι τῆς κάτω θέσεως πλῆθος χωρούσης ἑκάτερον, οὐδενὸς πιέζοντος, διπλῆν εἰργάσω γυναικωνῖτιν (⁵), ἐξ ἴσου μὲν ταῖς κάτω μηκυνομένην στοαῖς, ἐξ ἴσου δὲ ταύταις εὐρυνομένην, μόνῳ δὲ λειπομένην τῷ ὕψει, ὅσον αὐτῆς οἱ τὴν στέγην ἀνέχοντες κίονες τῶν ὑποκειμένων ἡττῶνται.

Τοῦ νεὼ δὲ τὸ στέγος φέρε συλλογισώμεθα, πόσον ὑπεραίρει τῆς γῆς. Κίονες ὑψηλοὶ, σύνδεσμος αὐτοῖς ἐπιζευγνύων τὰς κορυφὰς, τοῖχος

πάθος ἀνῆκε δένδρον ὅμοιον περὶ τοὺς ἐραστὰς διακείμενον.

(¹) Pro ἴσα δύο videtur εἰς δύο vel ἴσα εἰς δύο legendum.

(²) Addidi ὅσον.

(³) « Secunda manus ἕω suprascripsit ». MILLER.

(⁴) Scriptum ὅσης compendio non nitido.

(⁵) Hic sensus vocabuli γυναικωνῖτις nondum est receptum in Lexica veteris linguæ, etsi jam notum adsit exemplum Procopii, quærendum in Cangii S. Sophiæ Descriptione, § 38, ubi de porticu mulieribus in ecclesiis addicto agit, vel in ejus Constantinopoli christiana, 3, c. 38.

ἐπὶ τούτῳ μαρμάροις ἠμφιεσμένος, κίονες ἕτεροι, λίθων ἑτέρα προσθήκη θηρίων πεποικιλμένη μορφαῖς, θυρίδες ἐν ἀψίδων γενόμεναι σχήματι, ταῦτα πάντα τὸ ὕψος ἐστίν. Εἰ δὲ περίεργος θεατὴς πάντα διερευνήσεται, μαρμάρων ἢ χρυσοῦ γυμνόν τι ζητῶν οὐδὲν ἐνταῦθα τοιοῦτον εὑρήσει. Εἴ τινες οὖν ἀπορίᾳ χρυσοῦ καὶ πλακῶν ἐπὶ λίθους καὶ λίθων συνθήκην καταφεύγουσι, τούτοις ἐστὶν ἀπὸ τῆς ἔξωθεν ὄψεως, ταῦτα περιεργάζεσθαι.

Μικροῦ με παρῆλθεν ὁ Νεῖλος. Αὐτὸς μὲν ὁ ποταμὸς οὐδαμοῦ γεγραμμένος ὃν τρόπον ζωγράφοι γράφουσι ποταμούς, ῥεύμασι δὲ καὶ συμβόλοις τοῖς οἰκείοις ὑποφαινόμενος, λειμῶσί τε παρὰ τὰς ὄχθας αὐτοῦ. Καὶ γένη παντοίων ὀρνέων, ὅσα τοῖς ἐκείνου πολλάκις λουόμενα ῥεύμασιν, τοῖς λειμῶσιν ἐνδιαιτᾶται.

Ταύτην ἐπὶ τῶν τοίχων τὴν εὐφροσύνην (¹) αἱ στοαί σοι διδόασιν, ουδὲ πρὸς αὔραν ἔχουσαι φαύλως, δυοῖν διχόθεν ὕπαιθρον, αὐτάς τε καταπνεόντων (²) καὶ διὰ τούτων τὸ μέσον πολλῶν καὶ μεγάλων καὶ πανταχοῦ πεποιημένων εἰσόδων φωτός.

Τοσαύτης οὖν φιλοτιμίας ἐνταῦθα κεκενωμένης, συνελθέτωσαν ἄνδρες πολλῶν ἱστορήσαντες πόλεων ἱερὰ, ἄλλος ἄλλοθι δοκιμάζειν ἔργον εἰδὼς, καὶ πρὸς τοὺς (³) πανταχοῦ βεβοημένους νεὼς κρινέσθω καθάπερ ἐν δικαστηρίῳ τὸ τέμενος ἐκ τοιούτων συνεστηκότι κριτῶν· οἷον ὁ μὲν γραφῆς ἔστω φιλοθεάμων οὐ τῆς ἐν χρώμασι μόνον, ἀλλὰ καὶ τῆς ἐν ψηφῖδι μιμουμένης ἐκείνην (⁴)· ὁ δὲ μαρμάρων δοκιμαστὴς ὧν τὰ μὲν ἐξ ὧν (⁵) μεταλλεύεται προσαγορεύουσι τόπων, τοῖς δὲ τὰ χρώματα δίδωσιν ὀνόματα· ἄλλῳ κιόνων μελέτω τὰς κεφαλίδας περιεργάζεσθαι (⁶)· χρυσῶν ἕτερος μέτρα πολυπραγμονείτω σοφῶς (⁷), εἴ πού τι γέγονεν ἐνδεὲς ἢ περιττόν· ἑκάτερον γὰρ ἀμετρία· ἄλλος κατανοείτω τὸν ὄροφον ἀκριβῶς, ἂν ἄρα μὴ πρὸς τὸ ὕψος ἀπείπῃ· ξύλα γὰρ ἐνταῦθα πολυτελῆ καλαθίσκοις (⁸) κεκαλυμμένα τοῦ τε πρὸς ἰσχὺν ἅμα καὶ πρὸς

(¹) Emendatio εὐφροσύνη recepta p. 42, hinc confirmabitur.

(²) Locus mendosus. Potest corrigi ὑπαίθρων, videlicet στοῶν, sed καταπνεόντων nomine caret suo.

(³) Ap., πρὸς τό.

(⁴) Musivum significatur.

(⁵) Addidi ex conjectura verba, quæ videbantur necessaria, ἐξ ὧν.

(⁶) Addidi περιεργάζεσθαι. Potest aliud verbum inseri, donec plenior codex manum ipsam Choricii reddiderit. Cf. p. 42, n. 3; 118, 7.

(⁷) Ap., σαφῶς. Correxi σοφῶς.

(⁸) Quæresis exemplum simile nominis καλαθίσκος, ex Theophane

κάλλος εὖ ἔχειν. Συνιόντων οὖν τῶν δικαστῶν, καὶ τοῦτο κρίνειν ἑκάστου λαχόντος ὅπερ ἂν ἄμεινον τῶν ἄλλων τύχοι γινώσκων, πάσαις ἡμῖν ὁ νεὼς νικήσει ταῖς ψήφοις.

Εἰ δὲ τοῖς οὕτω ψηφισαμένοις ἐγκαλέσει τις λέγων· « Ἄνδρες δικα-« σταὶ τῶν ἀνακτόρων, τοῦτο μὲν καὶ πρὸ τῆς ὑμετέρας κρίσεως δη-« λον· ἀλλὰ δευτέραν ἐνέγκατε ψῆφον, ἐμφαίνουσαν ὑφ᾽ ὅτου μᾶλλον ὁ « νεὼς τῶν οἰκείων κοσμεῖται »· ἄπορον εἶναι φήσουσι τοῦτο τέχνημα. Τῶν γὰρ ἰσοῤῥόπων οὐ ῥᾴδιον ὅτῳ ψηφίσεταί τις τὴν νικῶσαν εὑρεῖν. Εἰ τοίνυν τις καθ᾽ ἑαυτὸν ἐν ὁδῷ πορευόμενος, ἢ καὶ ἄλλως πολλὴν ἄγων σχολὴν, δημιουργίας νεῶν ([1]) ἐραστὴς, θησαυρὸν εὑρὼν τῇ φαντασίᾳ, οἷα φιλοῦσιν ἄνθρωποι πολλάκις ὑφ᾽ ἑαυτῶν εὐτυχεῖν, τέμενος ἑαυτῷ διατυπώσει τῷ λογισμῷ μέγα τε καὶ λαμπρὸν, καὶ μηδὲ τῷ Μώμῳ ([2]), φασὶ, παρέχον λαβὴν, οὐκ ἂν πλάσειεν ἄμεινον τοῦ διὰ σοῦ γεγονότος. Οὕτως οὐδὲ ἃ πλάττειν τῇ διανοίᾳ δίδως τινὶ κρειττόνων, αὐτὸς ἔργῳ ποιεῖς.

Ἀεὶ μὲν οὖν εἰώθασιν οἱ πρεσβύται πρὸς τοὺς νέους ἐρίζειν, καὶ τὸ κρεῖττον ἀποδιδόναι τοῖς ὅτε ἤκμαζον αὐτοὶ γενομένοις καὶ σχετλιάζειν ἐπὶ τοῖς παροῦσι καιροῖς ἐξ οἵων οἷα τὰ πράγματα γέγονε ([3])· νῦν δὲ πρῶτον φασὶ νενικῆσθαι. Καὶ λέγουσιν οἱ μὲν οὖν ἐν γήρᾳ μηδὲν ἑωρακέναι τοιοῦτον, οἱ δὲ νέοι μὴ προσδοκᾷν ὄψεσθαι παραπλήσιον, ἕως ἂν ἕτερόν τι γένηται ([4]) διὰ σοῦ. Καὶ ταύτην οὐ μόνοι πολῖται τὴν δόξαν τυγχάνουσιν ἔχοντες, ἀλλὰ καὶ ὅσους ἡμῖν ἐξ ἑτέρων ἤγαγε πόλεων ἡ πανήγυρις. Ἐφοίτων μὲν, ὡς εἰκὸς, πεπεισμένοι μηδὲν τῶν παρ᾽ αὐτοῖς ([5]) ἱερῶν λαμπρότερον ὄψεσθαι, τῆς ὑπὲρ τῶν οἰκείων εὐνοίας οὕτως

Cerameo in Thes. Did. V. Καλάθωσις.

([1]) Ap., ναῶν. Scripsi νεῶν, constantiæ causa. Vide p. 89, n. 8.

([2]) Aristænetus 1, 1 : οὕτως σὺν τὴν ἐμὴν ὡραϊζομένην.... οὐδ᾽ ἂν ὁ Μῶμος ἐν ἐλαχίστῳ μωμήσαιτο. Ibi interpretes, p. 239. Alcæus Messenius Epigr. 7, de Dorotheo : Μοῦνος δ᾽ ἐν ἱεροῖσι Διωνύσοιο προφήταις Μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας. Ibi Jacobs.

([3]) Ad hanc sententiam adscriptum est in margine, χρήσιμον. Recepta fuit a Macario in Ροδωνιᾷ apud Villoison. Diatr., p. 49, absque varietate, excepto ultimo vocabulo γέγονεν. Proverbialis est Horatii senex « laudator temporis acti », A. P. 173. Ibi Lambin. Juncturam verborum ἐξ οἵων οἷα videsis supra, p. 50, n. 8.

([4]) Ap., γίνεται. Scripsi γένηται.

([5]) Ap., παρ᾽ αὐτοῖς. Mox Ap., πρὸς αὐτόν. Himerius Orat., 17, § 7 : ταῦτα μὲν ἔνδον παρ᾽ αὐτοῖς

ἐπιτρεπούσης φρονεῖν· τῇ δὲ τοῦ κρείττονος ἐκβιασθέντες ὑπερβολῇ, τέως μὲν ἕκαστος πρὸς αὑτὸν, εἶτα πάντες πρὸς ἀλλήλους, ἔπειτα πρὸς ἡμᾶς ὁμολογοῦσι τὴν ἧτταν.

Εἴργασται τὸ τέμενος καὶ ἡμῖν, οὐ λίθοις δήπου καὶ ξύλοις, ἀλλ' οἷσπερ ἴσμεν ἐργάζεσθαι (¹). Εἶεν.

Τί λοιπὸν ἀπαιτεῖτε τὸν λόγον, καὶ ποῖον ὑμῖν ἕτερον χρέος ὀφείλει; ἢ δῆλον, τὴν ἀγοράν (²). Ἔχει γὰρ οὕτως ὡς ἀδικεῖσθαι σιωπωμένη. Τά τε γὰρ ὤνια σικελική τις (³) ἐστὶν ὀψοποιΐα, καὶ τοὺς θεωμένους ἐπισπᾶται ῥᾳδίως. Οὔκουν ἀκούσῃ τῶν ἀγοραίων τὰς συνήθεις ἀφιέντων φωνὰς, οἷα βοῶντες ἀεὶ διαῤῥήγνυνται προσκαλούμενοι τοὺς παριόντας εἰς πρᾶσιν (⁴). Δεινὴ γὰρ ἡ θέα τῶν ὄψων, καὶ εἰ πρατῆρες σιγῶσι (⁵), καὶ πένητα καὶ φιλοχρήματον ἐρεθίσαι. Τῇ δὲ τῶν ὠνίων περιουσίᾳ τε καὶ τρυφῇ συμβαίνουσιν αἱ σκηναὶ, δάφνης τε κλάδοις (⁶) καὶ ποικίλοις ὑφάσμασι, ἀργύρῳ τε καὶ χρυσῷ λίαν ἐπιμελῶς ἠσκημέναι· ὥστε πρὸς

ἀθύρωμεν. Proposuit Wernsdorf. legendum ἑαυτοῖς. Quidni αὑτοῖς? Attamen verum ἑαυτοῖς esse videtur. Nam Orat. 18, § 3, pro edito παρ' αὐτοῖς, ubi silet Wernsdorf., legi παρ' ἑαυτοῖς in codice. Est παρ' ἑαυτῷ Or. 17, 2.

(¹) Oratione scilicet, verbisque ut potuimus graphicis.

(²) Ap., τί λοιπὸν ἀπαιτεῖτε τὸν λ. κ. π. ἡμῖν.... ὀφείλει ἢ δόλον τὴν ἀγ. Feci correctionem.

(³) Maximus Tyr. Diss. 3, 3, in recensione rerum voluptuariarum habet et σικελικὰς τραπέζας. Lucianus D. M. 9, 2 : μύρα, καὶ οἶνος ἀνθοσμίας καὶ τράπεζαι ὑπὲρ τὰς ἐν Σικελίᾳ. Ibi interpretes Bipontinæ. Addesis Heind. ad Hipp. Maj., § 9.

(⁴) Ap., διαρήγνυνται... πράσιν.

(⁵) Ap., ὄψεων καὶ οἱ πρατῆρες. Correxi; sed malim, servato articulo, legi : ὄψων, εἰ καὶ οἱ πρατῆρες. Philostratus Epist., 43 : οὐδὲ ὁ θεσπέσιος Πλάτων τοῖς σοφισταῖς ἐβάσκηνε· καὶ σφόδρα ἐνίοις δοκεῖ τοῦτο. H. Stephanus et Jacobsius conjecerunt, εἰ καὶ σφόδρα. Nihil tamen mutandum censui, quod vulgata bene se habeat, intelligendo καὶ cum significatione adverbii *tamen*. Sed nuper in schedulam forte incidi, quæ me Philostrateas epistolas edentem latuerat miscellaneas inter chartas sepulta. Inerant collectæ olim varietates codicis 2775, qui duas tantum continet epistolas, primam ac decimam tertiam. Exhibet ille codex, ἐβάσκηνεν εἰ καὶ σφόδρα.

(⁶) Ap., δάφνοις. Facilis fuit correctio δάφνης, ex vocalium solita confusione. Thomas Mag. Epist. 3, § 3 : περὶ γὰρ τὸν στόμαχον περιπεσοῦσα χολὴ πολλή τε καὶ δυσχερὴς συνέπνιγε τὴν καρδίαν καὶ ἀναπνεῖν οὐκ εἴα, καὶ πάντα τὰ δεινότατα ἐποίει. Conjecit Normann. ἐπῄει, sono quidem simili, sententia neque mala. Sed nihil mutandum. Dicitur δεινὰ ποιεῖν ex formula, valde usitata. Aristophanes N. 382 de ventre, qui ex cruditate torminibus ac magno flatuum strepitu vexatur: δεινὰ ποιεῖ εὐθύς μοι καὶ τετάρακται.

ἐμαυτὸν πολλάκις ἐλογισάμην· ἆρα μὴ τοσοῦτον ἐν πανηγύρει χρυσὸν ἡ Ῥόδος ποτὲ προθεμένη Πίνδαρον ἔπεισε μυθολογῆσαι Ῥοδίοις χρυσοῦν ὑετὸν (¹); Ἄργυρος δὲ πανταχοῦ, καθάπερ τῆς χώρας ἡμῖν Ἀττικῶν εὐπορούσης μετάλλων (²). Μέρος γὰρ ἅπαν τὸ πρῶτον φανὲν ὑπόνοιαν δίδωσι τοῦ μὴ τὴν ἄλλην ἀγορὰν ἄργυρον ἔχειν, οὐ μὴν ὅτι πολλοῖς ἠμελημένος ἀπέῤῥιπται (³)· ἀλλὰ μᾶλλον τοῦ πλήθους τὸ τῆς συνθήκης θαυμάσει τις εὐπρεπὲς, ὡς εὐφραίνεσθαί τε καὶ καταπλήττεσθαι τοὺς δρῶντας, ψυχαγωγούσης μὲν τῆς εὐπρεπείας, ἐκπληττούσης δὲ τῆς ἀφθονίας.

Ἀλλὰ καὶ λεπτοῖς καὶ ποικίλοις παραπετάσμασιν ἄλλους ἄλλως ἠρέψαντο τόπους (⁴).

Πολλὴ μὲν οὖν ἐν ὑαλίνοις ἀγγείοις ἡ φλὸξ πανταχοῦ περιλάμπουσά τε τὴν νύκτα καὶ παρέχουσα ταύτῃ πρὸς τὴν ἡμέραν ἐρίζειν (⁵). Τοιγαροῦν εἰ κωμῳδίαν ἐπηγγειλόμην, εἰσῆγον ἂν ἐν εἴδει (⁶) γυναικὸς ἑκατέραν, ὥσπερ τὴν νύκτα τῶν κωμικῶν τις (⁷), καὶ βασκαίνουσαν τῇ νυκτὶ τὴν ἡμέραν ἐποίουν, πυρὸς ἀπολαυούσης τοσοῦτον καὶ δυναμένης πρὸς αὐτὴν ἐκ φωτὸς ἁμιλλᾶσθαι (⁸).

Ἀλλὰ φλόγα μὲν ἄνευ γραμμάτων καὶ παρ' ἑτέροις τυχὸν ὄψεταί

(¹) Ap., ἄρα. Interrogationis signum post nomen ὑετὸν posui. Pindari locus de auro quod Rhodi pluit, extat Ol. 7, 64. Vide notata ad Anecd. Nova mea, p 247. Scripsi Ῥοδίοις. Est ῥοδίων in Ap. Themistius Orat. 26, p. 382, 2 : Ἀμεινοκλῆς Σαμίας ἦλθεν ὁ Κορίνθου ναυπηγός. Editum fuit olim Σαμίων, notante Harduino legi Σαμίας in Mediolanensi libro. Inde receptum nunc est Σαμίας. Equidem in collatione codicis Ambrosiani ab H. Valesio instituta reperi Σαμίοις, quod esse unice verum monstrat quo Petavius est usus Thucydides, 1, c. 13, ὅτι Ἀμεινοκλῆς Σαμίοις ἦλθε · et scribendum monebat Harduinus. Σαμίας, quod nuper contextum sophistæ et adscriptam notulam invasit, ex lapsu calami ortum esse quis dubitet?

(²) Exstat Boeckhii eruditus liber de argenti fodinis Laurioticis Atticæ. Vide et viri ejusdem doctiss. tractatum de OEconomia Atheniensium; Barthelemii Anacharsidem, c. 59; etc.

(³) ἀπέριπται.

(⁴) Vide locum insignem de velis per festos dies ad ædificiorum parietes suspensis, p. 44, 5.

(⁵) Et de publicis *illuminationibus* dictum, p. 101, n. 4.

(⁶) Ap., ἐν εἴδου. Similis conferatur sententia, p. 6, 2.

(⁷) An exstet alia alibi ejus rei mentio non memini.

(⁸) Forsan ἀπολαυούσῃ.... δυναμένῃ. Libanius, t. 4, p. 1112, 33, in descriptione panegyris : δειπνεῖν δὲ ἔνι τῆς ἑσπέρας λαμπρῶς · ἔνθα δὴ πολλοὶ μὲν λαμπτῆρες, ὡς ἐμπεπλῆσθαι φωτὸς τὸ ἄστυ.

τις· πολλὴν εἶδον ἐγὼ πρώην, παρὰ τὸν Νεῖλον γενόμενος, ἐν πανηγύρει τινὶ (¹), ἣν ἐκ τοῦ ποταμοῦ καλοῦσιν οἱ ἐπιχώριοι· ἐξεύρηται δέ τι καινότερον παρ' ἡμῖν. Σκεύη (²) πυρὸς χορηγεῖ φῶς ἅμα καὶ γράμματα, ὥστε, δύντος ἡλίου καὶ σκότους ἤδη τυγχάνοντος, οὐ δεῖται φωτὸς ἑτέρου πρὸς τὴν οἰκείαν ἀνάγνωσιν. Τί οὖν λέγει τὰ γράμματα; « εἰς πολιάν (³) » φησὶν « ἀφίκοιτο βασιλεύς· μακρὸν τῇ κρατούσῃ γένοιτο γῆρας· « τῶν αὐτῶν εἴη τὸν ἱερέα τυχεῖν ». Οὕτω πολλὰς εὐφημίας πυρὸς ἀγγέλοις ἐγράψαμεν. Ταῦτα γυναῖκας οἰκουρεῖν εἰθισμένας προϊέναι παρασκευάζει, καὶ τὰς παρὰ τῶν ἀνδρῶν οὐ δεδοίκασι μέμψεις, οὐδὲ τὸν Ἕκτορος πρὸς Ἀνδρομάχην ὀνειδισμόν (⁴). Τίς γὰρ νῦν οὕτω σύννους ἀνὴρ καὶ σκαιός, ὡς ἐπιτάξαι τῇ γυναικὶ πρὸς οἶκον ἰουσᾶν τὰ αὐτῆς (⁵) μετιέναι; ταῦτα ποιεῖ καὶ δεσπότην οἰκέτῃ μὴ χαλεπαίνειν, εἰ, πρὸς τὴν ἀγορὰν ἀσμένως ὑπορεμβόμενος, ῥᾳθύμως διακονήσει, κἂν ἡ χρεία σπουδαία τις οὖσα τυγχάνῃ. Πέμπεται μέν, οἶμαι, θεράπων ἕτερος τὸν πρῶτον ἐπιζητήσων· βραχὺ δὲ τούτου φροντίσας, ἑαυτὸν μᾶλλον εὐφραίνει· κἂν ὁ δεσπότης αὐτὸς ὕστερον θυμωθεὶς ἐπὶ ζήτησιν ἐκδράμῃ τῶν οἰκετῶν, ἀποτίθεται τὴν ὀργὴν θελγόμενος τοῖς δρωμένοις, καὶ νέμει συγγνώμην, εἰκότως, οἷς ὅμοια πάσχει. Ταῦτα καὶ κόρην τοῦ συνήθους

(¹) Antiqui apud Ægyptios festi, quod incensis circa domos lucernis celebrabant meminit Herodotus, 2, 62. Conf. p. 100.

(²) Ap., σκευή.

(³) Ap., compendio obscuro exhibere fere videtur πολίου. Quod compendium repræsentare non conabor. Nuper editores viri diligentiores voluerunt exprimere typis vel arte chalcographica codicum siglas, malo plerumque successu. In Anecdotis Paris., t. 4, p. 280, eo modo exhibita fuit sigla imperativi ζήτει, ut, cum archetypo si conferatur, magna sit disparitas. In codice nihil omnino habet difficultatis; quippe quæ constet literis ζη, quibus est τ super impositum. Plus literis prodero emaculandis in eadem pagina versibus nonnullis. Alloquitur poetaster martyres duos quorum nomen absorpsit lacuna : Ἀθλοφόρων δυάς, εἷς λαλέω καὶ ζώω, δέρκομαί τ' ὅσσοις Αἵμασι καὶ λιταῖς, πάντ' ἂν ἐφ' ὑμετέραις ** Νεύσειε θεὸς ἄλκιμος ἠδ' ἐλεήμων. Κούρη παρθενίης μήτηρ, δεσπότις ὑμετέρη. In codice non εἷς legi, sed οἷς; nec est lacuna quam esse indicant asterisci, versusque fiet integer, si retraxeris ex sequente nomen κούρη. Sententia fere sine offensione procedet, mutata in melius distinctione : Ἀθλοφόρων δυάς, οἷς λαλέω καὶ ζώω, δέρκομαί τ' ὅσσοις, Αἵμασι καὶ λιταῖς πάντ' ἂν ἐφ' ὑμετέραις Νεύσειε θεὸς ἄλκιμος ἠδ' ἐλεήμων κούρη, Παρθενίης μήτηρ, δεσπότις ἡμετέρη.

(⁴) Hector scilicet Andromachæ, Il. 6, 490 : Ἀλλ' εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε, Ἱστόν τ' ἠλακάτην τε....

(⁵) Ap., σύνους.... τὰ αὐτῆς.

ἐξάγει θαλάμου· ἡ δὲ πρόεισι κεκαλυμμένη μὲν οἴκοθεν, εἶτα κατὰ μικρὸν αὐτῆς ἡ πανήγυρις ἀποκαλύπτει τὸ πρόσωπον, καὶ τῆς συντρόφου καὶ φίλης αἰδοῦς εἰκότως ἐπιλανθάνεται· οὐ γὰρ ὑφορᾶται τῶν ἀστειοτέρων τὰ σκώμματα, πάντων ἀσχολουμένων τοῖς δρωμένοις. Πολίτης γὰρ ξένον παραλαβὼν ὅ τι θέας ἄξιον ὑποδείκνυσι. Πόσοις μὲν γίνεται φιλίας προοίμιον ὁ καιρός! πόσοις δὲ παλαιὰν ἑταιρείαν βεβαιοτέραν συνίστησιν! Αἱ δὲ πρὶν ἀνὰ τὴν Ἑλλάδα θρυλλούμεναι τέτταρες ἑορταὶ (¹), φιλονείκους ἀγῶνας ἀεὶ προβαλλόμεναι, καὶ μερίζουσαι τοῖς ἁμιλλωμένοις τὰ θέατρα καὶ τὰς ψυχὰς ἐκριπίζουσαι πρὸς θυμὸν, ἔχθρας ἀδιαλλάκτους (²) ἐκίνουν· ἀλλ' ἡμῖν ἐκποδὼν δυσέριδες ἆθλοι καὶ δημώδεις φωναὶ, καὶ χορεία τις ἀπειρόκαλος καὶ πρέπουσα ταῖς Διονύσου σκηναῖς. Ἀρκεῖ γὰρ εἰς εὐφροσύνην τὸ τέμενος, καὶ τῆς ἀγορᾶς ἡ φαιδρότης, καὶ τρίτον ὁ καιρὸς, ἡ φιλτάτη πᾶσιν ὀπώρα.

Εἰ δὲ τὸ θερμότατον μέρος τοῦ ἔτους ἡ παροῦσα καθέστηκεν ὥρα καὶ τοῦτο μέγα τῷ τεμένει πρὸς ἔπαινον· εἴπερ ἐν θέρους ἀκμῇ, προσηνῆ καὶ ἄλυπον ἀφίησιν αὖραν.

Ἐγὼ μὲν οὐδὲ τὸν ὕπνον ἄμοιρον ἡδονῆς τὰ νῦν οἶμαι συμβαίνειν. Εἰ γὰρ ἐξ ὧν μεθ' ἡμέραν (³) δρῶμεν, ἢ λεγομένων ἀκούομεν αἱ τῶν ὀνειράτων ὄψεις ὡς τὰ πολλὰ βούλονται φύεσθαι (⁴), τί κωλύει τερπνῶν

(¹) Ludi videlicet Olympici, Pythici, Nemei, Isthmici.

(²) Ap., μερίζουσα..... ἀδιαλλάκτους.

(³) Ap., μεθημέραν. Syllabæ sic junctæ possunt ferri; sed malui divisas exhibere, cum Macario Chrysocephala, ac constantiæ causa in talibus. Est ubi jungunt librarii syllabas omnino separandas. Poetaster in Anecdotis Paris., t. 4, p. 276, 23 : Ῥοδωνιαὶ, κρινῶνες, ὀδμητῶν ἴων, Χρυσάνθεον, νάρκισσος, ἡδὺς καὶ κρόκος. Omnino rescribendum, ὀδμὴ τῶν ἴων, ac forsan χρυσάνθεμον. Quod virgulam post νάρκισσος ponam, juncto ἡδὺς καὶ κρόκος, in causa est sequens versus : Ὁ πορφυρίζων ὑάκινθος ἡδίων. Aliud idem liber ejusdemque carmen, ni fallor, versificatoris, præbet exemplum syllabarum male connexarum, p. 275, 26 : Ἀλλ' ἐνδέδοικα μή... Legendum procul dubio : ἐν δέδοικα.

(⁴) Verba ἐξ ὧν μεθ' ἡμ... βούλονται φύεσθαι excerpsit flosculum Roseto Macarius in Villoisoniana Diatriba, p. 20. De sententia ipsa circa insomnia vide quæ apposui in Anecd. Græcis, t. 1, p. 67, ac Novis, p. 346, usus inter locos plurimos et præclaris Ennii versibus apud Ciceronem Divin. 1, 22, quos nuper mihi relegere fuit perjucundum in accurata nitidissimaque Alani editione. — Notandus usus verbi βούλονται pro εἰώθασι, δύνανται. Nec aliter sæpe verbum θέλειν usurpaverunt. Nicetas Eugen. 1, 349 : Οἱ γὰρ ποθοῦντες ἢ φιλοῦντες πολλάκις Θέλουσιν, οὐ βλέποντες ἀλλήλους ὕπαρ, Ἐν τοῖς ὀνείροις συλ-

ἀπολαύειν ἡμᾶς ἐνυπνίων, καὶ τῶν ὀμμάτων ἡμῖν εὐωχουμένων ἡδίστοις θεάμασι, καὶ τῆς ἀκοῆς ἑστιωμένης (1) λόγων καλῶν, οἵοις εἰκὸς ἐν ὁσίαις πανηγυρίσεσιν ὁμιλεῖν; οὕτω πανταχόθεν κούφη καὶ μετέωρος ἡ πόλις γεγένηται, καὶ πᾶν ἔτος ἡμῖν πλῆρες, ὡς εἰπεῖν, πανηγύρεων. Τῇ γὰρ τῶν ἀνακτόρων προσθήκῃ συναυξανομένων τῶν ἑορτῶν, καὶ βραχείας ἀεὶ μεταξὺ διαστάσεως οὔσης, τῆς ἄρτι πεπαυμένης ἡ μνήμη καὶ τῆς αὐτίκα γενησομένης ἐλπὶς, ἄμφω τὸν ἐν μέσῳ καιρὸν εἰς ἑαυτὰς δαπανῶσαι, πανηγύρεως ἡδονῇ τοῦτον ἐξομοιοῦσιν (2)· ὥστε μὴ ταὐτὰ (3) πάσχειν τοῖς ἄλλοις, οἳ πρὸς τὸ τοῦ χρόνου δυσχεραίνοντες μῆκος τὰς μεταξὺ πολλάκις ἀριθμοῦσιν ἡμέρας καὶ μακροτέραν ἑκάστην ἧ πέφυκεν ἐκ τῆς ἀθυμίας ἡγοῦνται.

Οὐ μὴν τῶν ἑορτῶν ἡ πυκνότης τοῖς ἔργοις λυμαίνεται, πόνων ἀτέλειαν ἔχουσα· ἀλλὰ μᾶλλον τὰς τέχνας αὗται κοσμοῦσι, προθυμοτέρους ποιοῦσαι τοὺς μετιόντας, ὥσπερ τοὺς μακρὰν πορευομένους ὁδὸν αἱ μεταξὺ καταλύσεις, δένδρων, ἂν οὕτω τύχῃ, σκιὰν, πῦρ τε μέτριον καὶ πηγὴν ἀψοφητὶ ῥέουσαν ἔχουσαι (4) Οἵ τε γὰρ πόνοι ταῖς ἑορταῖς κουφότεροι γίνονται, καὶ τοῖς πόνοις αὗται μᾶλλον ἡδίους.

Τοσαύτης τοίνυν πολιτευομένης ἐν ἡμῖν θυμηδίας, ἐπανέρχονται μικρὸν ὕστερον ὅσους ἡμῖν αἱ πόλεις ἀπέστειλαν, ἀχθόμενοι μὲν οἷον ἐκ πανηγύρεως· οἶδε (5) γὰρ ἐκπέμπουσα δάκνειν, ὅσον εὐφραίνει καλοῦσα· ἐπανέρχονται δ'οὖν, τοῖς περὶ τοῦ νεὼ διηγήμασι τὸν χρόνον τῆς ὁδοῦ δαπανῶντες. Καὶ πεύσονται τῶν ἀπιόντων οἱ μείναντες ἐν οἴκοις· « Πῶς τί τὰ τῶν Γαζαίων »; Ὑμῖν οἷον τὸ τέμενος, οἷα τὰ τῆς ἑορτῆς διηγήσονται δὴ τοῖς ἐρωτῶσι, πλείονα μὲν ὧν ἰδεῖν προσεδόκησαν, ἐλάττω δὲ

λαλεῖν καὶ συμπνέειν. Ibi plurima dedi. Vide Krabinger. ad Synesium Calv., p. 111; Saup. ad Xen. Mem. 3, 12 extr.; Bach. ad Xen. Hier. 1, 30; Reisk. ad Constant., p. 306; Victor. ad Aristot. Rhet. 2, 23, p. 314 Gaisfordianæ; Corayum et Episcopum ad Thuc. 2, 38; Dorvill. ad Charit. 3, c. 7 extr., etc.

(1) De metaphora verbi ἑστιᾷν, p. 78, n. 6. Theodorus Prodr. Rhod. 9, p. 414: Ἐπείπερ... Οὐδὲν φαγεῖν θέλοιτε τῶν προκειμένων, Ἐγὼ γελοίους ἐν μέσῳ προθεὶς λόγους, Κἂν γοῦν δι' αὐτῶν ἑστιάσω τοὺς φίλους.

(2) Libanius, t. 4, p. 1111: πανηγύρεων δὲ μελλουσῶν μὲν πόθος ἀνθρώποις, παρουσῶν δὲ ἡδονὴ πεπαυμένων δὲ μνήμη· καὶ γὰρ αὖ τὸ μεμνῆσθαι καθίστησι τοὺς ἀνθρώπους ἐγγὺς τῶν ἔργων αὐτῶν.

(3) Apogr., ταῦτα. Infra Apogr., ἡγοῦντα.

(4) Ap., ἔχουσα.

(5) Illustrationi verbi οἶδε pro εἴωθε inserviat nota 2, p. 15.

ὅμως ὧν ἐθεάσαντο, πάντα καταλέγειν ἀδυνατοῦντες· καίτοι πάντες ὅσοι πρὸς ἑορτὰς ἐκδημοῦσιν, ἀεί τι σπεύδουσι πλέον ὧν εἶδον ἀγγέλλειν, καὶ τὴν αὐτῶν ἅμα κοσμοῦντες ἀποδημίαν καὶ ταύτῃ βουλόμενοι τοὺς ἀκούοντας ὑποκνίζειν.

Ὑπόλοιπόν ἐστί μοι πρὸς τοὺς πάλαι τεμένη δημιουργήσαντας τὸν ἱερέα παραβαλεῖν. Πολὺ μέν γε (¹) ὑπάρχον τὸ μέσον ἀνάρμοστον γίνεται πρὸς παράθεσιν· τί δ' ἂν τις δράσειεν, νομοθετούσης οὕτω τῆς τέχνης;

Ἀλυάττης μὲν οὖν ὁ Λυδὸς (²), ὁ Κροίσου πατὴρ, τὸν ἐν Μιλήτῳ τῆς Ἀθηνᾶς ἐμπρήσας νεὼν, ἐπειδὴ, μετὰ ταῦτα νόσῳ περιπεσὼν, αἴτιον ἔγνω τῆς νόσου τὸ γεγονὸς, δύο τὴν ὑβρισμένην ἐτίμα ναοῖς, τῷ μὲν τὸ πλημμέλημα λύων, τῷ δὲ θεραπεύων τὸ νόσημα· ὥστε μηδέτερον εἰς φιλοτιμίαν αὐτῷ γεγενῆσθαι. Αἱ διὰ σοῦ δὲ κατασκευαὶ γνώμης εἰσὶν εὐσεβοῦς, καὶ τιμὴ τῶν ὁσίων, οὐκ ἀτιμίας ἀπολογία. Αὐτὸς τοίνυν ὁ Κροῖσος ἀναθημάτων περιουσίᾳ πένητας ἔδειξε τοὺς πρότερον ἐπὶ τούτοις ἀγαλλομένους (³)· ἀλλὰ τὴν τοῦ φύσαντος ἐζήλου προαίρεσιν, οὐ δῶρα διδοὺς, ἀλλὰ πολέμου νίκην ὠνούμενος, ὥσπερ ἐκεῖνος ἴασιν νόσου· οὕτω καὶ Κροῖσον ἡμῖν ὑπεραίρεις, ὅσον τὸν Κροίσου πατέρα.

Ἐνταῦθα πέρας τῷ λόγῳ σὺ μὲν οὐ δίδως, ἔργων ἀφθονίᾳ πλουτῶν, ὁ δὲ καιρὸς ἐπιφέρει, πανήγυρις ὤν. Καταβήσομαι τοίνυν, ἄτοπον εἶναι νομίζων, ἐν ἑορτῇ ποιούμενον τὴν ἐπίδειξιν, μέτρον ἑορτῆς ὑπερβαίνειν.

(¹) Ap., μὲν γάρ. Mutavi conjunctionem γάρ, qua impediebar.

(²) Ap. in margine, ἱστορία. Et exstat quidem historiola apud Herodotum 1, capp. 19-22. Apographum, Λοιδός.

(³) De ingentibus Crœsi donis Herodotus 1, 50.

ΧΟΡΙΚΙΟΥ ΛΟΓΟΣ (1)

ΕΙΣ ΑΡΑΤΙΟΝ ΔΟΥΚΑ (2)

ΚΑΙ ΣΤΕΦΑΝΟΝ ΑΡΧΟΝΤΑ.

Ἡ διάλεξις, νῦν πρῶτον ἀρχικὸν τολμήσασα θέατρον, τὴν αἰτίαν ἀποδίδωσι τῆς παῤῥησίας.

Δωρίωνα λόγος τὸν αὐλητὴν τὸν ἀδελφὸν (3), ἐπιτρέψαντός οἱ τοῖς θύμασιν ἐπαυλεῖν Ἀλεξάνδρου (τεθυκὼς γὰρ ἐτύγχανε τοῖς θεοῖς), εἰπεῖν ἄρα λόγος τὸν αὐλητὴν, ὅτι· «Ὦ βασιλεῦ Μακεδόνων, οὐ πάνυ τι πρόσ-« φορον τοῖς αὐλοῖς τὸ ἐπίταγμα· ἡ γάρ μοι τέχνη ἔστιν ἀνθρώποις αὐ-

(1) Debeo hanc præfationem orationis Choricii in Aratium et Stephanum humanitati Milleri viri doctissimi, qui eam descripsit e codice Matritensi, de quo Yriartes Catal., p. 596. Excerpta Macarii apud Villoison. Diatr., p. 20, Ἄρατον exhibent. Sequor scripturam Yriartæ et Milleri. Notum et ex Procopii Cæsar. historiis nomen Ἀρατίου.

(2) Verba δοῦκα.... παῤῥησίας sumsi ex Catalogo Yriartæ, qui vertit « in Aratium Ducam et Ste-« phanum Archontem (sive Prin-« cipem) ». Puto non Ducam, sed ducem esse dicendum. An Ducas ea jam ætate nomen fuerit proprium dubito. Procopius De ædif. 2, 6, p. 226, 24 : σρατιωτικῶν δὲ καταλόγων ἄρχοντα τῇδε καταστησάμενος, ὃν δοῦκα καλοῦσι.

(3) Yr. et Ap., ἰδωρίωνα. Scripsi Δωρίωνα. Mox nominatur rectius Δωρίων. Pro ἀδελφὸν, forsan scribendum Δελφόν.

(4) Yr., « ἐπιτρέψαντος οἷ οἷς (lege οἵοις) θυμασιν ἐπαυτῇ (leg. ἐπαυτεῖ) Ἀλεξάνδρου ». Sic legebat codices ac corrigebat bonus ille vir. Invenit Millerus quod ipso duce exhibeo, nisi quod in vocabulo τοῖς prima litera sit transversa linea notata, idque casu, ni fallor.

« λεῖν ». Δωρίων μὲν οὖν θεοῖς αὐλεῖν (¹) ἐδεδοίκει· ἐγὼ δὲ ὑμᾶς ἀνυμνεῖν, οὓς ἠπόρησεν (²) ἂν ὁ Ἀπόλλων εἴτε θεοὺς μαντεύσεται, εἴτε ἀνθρώπους. Ἀτὰρ ἀρχαῖός με λόγος ἐς τόδε προήγαγε θράσους. Τὸν Διονύσου χορὸν τὰς βάκχας φασὶ τέως μὲν οὐδὲν ἕτερον ἢ ὅσα γυναῖκες ἔχειν· ἀναλαβούσας δὲ τοὺς θυρσοὺς καὶ κατόχους τῷ θεῷ γινομένας οὕτως ἤδη φασὶ τὰς βάκχας εὐδαιμονῆσαι, ὥστε αὐταῖς καὶ αἱ νύμφαι τὰ νάματα μεταβάλλουσι, καὶ οὐ τὰ εἰωθότα ῥέουσιν αἱ πηγαί· γάλα δέ που τὸ ὕδωρ καὶ μέλι ποιεῖ ταῖς ἀμφ' αὐτὸν γυναιξὶν ὁ Διόνυσος (³). Ἆρ' οὖν (⁴) παρόμοιόν τι ταῖς βάκχαις καὶ ἡμεῖς εὐτυχοῦμεν, καί μοι κομψά τε καὶ πότιμα καὶ ἡδέα τὰ ᾄσματα. Ἀρετὴ γὰρ καλὴ μὲν τοῖς ἐπαινέταις ὑπόθεσις, ἡδὺ δὲ ἄκουσμα τοῖς εὖ φρονοῦσιν (⁵). Συγχαίρω μὲν οὖν καὶ ἰδιώτῃ, κύριον ὁρῶν ὄντα τοῦ κτήματος· γάνυμαι (⁶) δὲ ἀτεχνῶς, ὅταν ἴδω ταύτην ἀσπαζομένους ,

« Οἷς λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε (⁷) »·

κοινὸν γὰρ αὐτοῖς τε ἅμα τὸ κέρδος καὶ οἷς ἔλαχον ἐπιτάττειν. Καὶ ἔγωγε, εἰ τέχνην τὴν Ζεύξιδος ἠσκησάμην καὶ κρᾶσις (⁸) χρωμάτων ἐμοὶ τὸ ἐπιτήδευμα ἦν, γυναῖκας ἂν ἐφιλοτέχνησα δύο, καὶ τὴν μὲν Ἀρετήν, Ἀρχὴν δὲ τὴν ἑτέραν αὐτῶν ἐπιγράψας, ἐδημιούργησα ἂν ἀμφοτέρους ἐν μέσῳ, ἔχοντάς τε ἐκ χειρὸς ἑκατέραν καὶ πρὸς ἀλλήλας

(¹) Ap., θε ς αὐλεῖν. Scripsi θεοῖς, quo et ἀνθρώποις ducebat.

(²) Ap., ἀνυμνεῖν υς ἠπόρησεν. Pronomen οὓς visum est sententiæ satisfacere.

(³) Bacchicum est miraculum multis memoratum. Euripides Bacch. 707 : Ὅσαις δὲ (βάκχαις) λευκοῦ πώματος πόθος παρῆν, Ἄκροισι δακτύλοισι διασμῶσαι χθόνα Γάλακτος ἐσμοὺς εἶχον, ἐκ δὲ κισσίνων Θύρσων γλυκεῖαι μέλιτος ἔσταζον ῥοαί. Ibi plurima congessit Jodrell. Adde Elmsley. ad eamdem tragœdiam v. 142 : Ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσῶν. Himerius Orat. 13, 7 : τὴν γῆν λόγος, οἷον αἰσθομένην τῆς ἐπιδημίας αὐτοῦ, ῥεῖν μὲν μέλι καὶ γάλα, καὶ ποταμούς τινας αὐτοῦ τοῦ νέκταρος. Ibi Wernsdorf.

(⁴) In Ap. syllaba ἄρ' est perplexius exarata. Puto tamen non male me legisse.

(⁵) Hanc sententiam, ἡ ἀρετὴ καλὴ... φρονοῦσιν, excerpsit Macarius Chrysocephalas Rhodonia ap. Villois. Diatr., p. 20. Inde sumsi φρονοῦσιν pro φρονοῦσι Apographi.

(⁶) Ap., γάνυμαι, superscripto altero ny. De qua varietate monui ad Philostratum Ep. 46, p. 132.

(⁷) Homer. Il. 2, 25.

(⁸) Ap., κράσις.

ἄμφω συνάπτοντας χρονίαις διαλλαγαῖς. Ἀλλὰ ταῦτα μὲν Ζεῦξις εἰργάσατο ἄν, ἢ καὶ ἄλλος τις ὅμοια Ζεύξιδι γράφων· ἐγὼ δὲ λέγειν οἶδα μᾶλλον ἢ γράφειν· ἐκ (¹) τῆς ἐμῆς ἀνατίθημι τέχνης, μίαν ἀμφοτέροις εἰκόνα (²).

(¹) Fors. ὅς οἶδα... γράφειν, ἐκ.

(²) Sunt in Yriartæ Catalogo, p. 396, et in Roseto Chrysocephalæ ejus orationis fragmenta, quæ inferius reperientur inter reliqua Choricii fragmenta minora.

ΧΟΡΙΚΙΟΥ

ΣΟΦΙΣΤΟΥ ΓΑΖΗΣ

ΕΙΣ ΡΟΔΟΝ (1).

Γραφὴ καὶ ποίησις, ἡ μὲν τοῖς χρώμασιν, ἡ δὲ τοῖς λόγοις· λόγοι γὰρ τῇ ποιήσει τὰ χρώματα (2)· μιμοῦνται δ'οὖν ἄμφω θεῶν τε καὶ ἀνθρώπων σχήματα, πάθη καὶ ἔρωτας. Καὶ ἡ μὲν ἐξ οὐρανοῦ σταγόνας (3) δίδωσι τῇ θαλάσσῃ, καὶ Ἀφροδίτην δημιουργεῖ ἀφρογενῆ (4) τε

(1) Quæ sequuntur, usque ad oratiunculam, cujus argumentum ὅτι πλάσματα λόγων ἐρωτικῶν οὐδὲν λυμαίνεται p. 198, excerpsi ex Spicilegio Romano, t. 5. « Extabant » Maius inquit vir emin., Præfat. pag. xxv, « in codice Vaticano bombycino 1898, miscella complura continente; sed Choricii quidem partes, minimis litteris mirisque compendiis scriptæ, sæpe in codicis angulis evanidæ ac prorsus oblitteratæ, ita ut crebræ lacunæ fiant, præter quam quod multa etiam folia exciderunt. Sunt autem hæ Choricii reliquiæ,... partim ἐκφράσεις *descriptiones*, partim διαλέξεις *dictiones*; partim item ficti argumenti, id est πλασματικὰ συγγράμματα, ut loquitur Photius cod. 160. Una est præterea oratio funebris in adulescentem et familiarem « quem Furiæ torvo dederant spectacula Marti »; quod item genus in Choricio Photius loc. cit. agnovit, dixitque μονῳδίαν, quod nos inscripsimus epitaphium. Denique et Panegyrici frustum habemus, quod pari vocabulo apud Photium quoque πανηγυρικὸς appellatur. Et quidem Photius Choricium ἐκφράσεσι præcipue atque ἐγκωμίοις excelluisse narrat ». Cetera suo loco apponentur.

(2) Horatius : « Ut pictura poesis erit ».

(3) Potest scribi Οὐρανοῦ. Nam innuit poeticam sophista de abscissis Cœli virilibus et in mare projectis narrationem, cujus sunt non paucæ varietates. Vide Muetzel. De Theog., p. 419.

(4) Ed., ἀφρογεννῆ. Respectu forsan ad versum Hesiodi spurium Theog. 196. Vide locos in Ilgenii Opusc., t. 1, p. 13. Poeta Orphicus Procli in Cratylum, p. 116, Venerem dixit natam ex Jovis αἰδοίων ἀφρῷ· ὑπέδεκτο δὲ πόντος Σπέρμα

χαλεῖ, εἰ μὴ τοῦ ἔπους εἰς λήθην ἀφῖγμαι, « ὅτι » φησί (1), « γέντο πολυκλύστῳ ἐνὶ πόντῳ ». Ἡ δὲ τὸν ἐκείνης λόγον ὑποφαίνει τῇ θέᾳ· ποιεῖ γὰρ (2) σχήματα θαλάσσης, καὶ εἴποις ἂν τῇ γραφῇ κινεῖσθαι τὰ κύματα. Ἐκ μέσου δὲ ταύτης ἀνάγει τὴν Ἀφροδίτην ἀμήχανόν τε κάλλος καὶ οἷον ἔπρεπεν Ἀφροδίτῃ κεκτῆσθαι. Ἄγεται δὲ Τριτώνων ὀχήματι· ἄνθρωποι δὲ οὗτοι ἄνωθεν, λαγόνας ἰχθύων φύσιν τὸ ἐντεῦθεν κληρούμενοι (3). Νηρεΐδων τε περὶ ταύτην χορός. Τοὺς δὲ δελφῖνας (4) ἴδοις ἂν καὶ τούτους ὑφ' ἡδονῆς νῦν μὲν δυομένους τοῖς ὕδασι, νῦν δὲ τῶν κυμάτων ἀνίσχοντας.

Τοιαῦτα μὲν τὴν Οὐρανίαν Ἀφροδίτην δημιουργοῦσιν αἱ τέχναι· τὴν δὲ ἑτέραν, Πάνδημον (5) δὲ ταύτην παλαιοί τινες ᾄδειν ἐθέ-

Διὸς μεγάλου, περιτελλομένου δ' ἐνιαυτοῦ Ὥραις καλλιφύτοις τέκ' ἐγερσιγέλωτ' Ἀφροδίτην Ἀφρογενῆ.

(1) Hesiodus Th. 199, ὅτι γέντο πολυκλύστῳ ἐνὶ πόντῳ· ut est scriptum in libris nonnullis. Vide Comment. Lennepii; et Muetzel. p. 427.

(2) Fuit Apellis tabula celeberrima Venerem *anadyomenen* exhibens, de qua exstat in Anth. Plan. 4, 180, Leonidæ Tarentini Epigramma elegans, quod integra commentatione eaque amplissima illustravit Ilgen. Opusc., t. 1. Addatur Fischerus ad Anacr. Od. 51.

(3) Ed., πληρούμενοι. Scripsi κληρ.

(4) Anacreon conferendus l. c. Ibi describuntur δελφῖνες χορευταί· tum χορὸς ἰχθύων δὲ κυρτὸς ἐπι κύμασιν κυβιστῶν, Παφίης τὸ σῶμα παίζει, ἵνα νήχεται γελῶσα. Apuleius Met. 4, p. 85, de Venere: « Ecce jam profundi maris udo resedit vertice... adsunt Nerei filiæ chorum canentes..... jam passim maria persultantes Tritonum catervæ ». Symmachus, 1, 8: « Simul innatat choreis Amathusiam repetens Salis arbitra et vaporis, Flos siderum Dione ». Cur lectioni Schoppianæ *flos* Lectius *et* substituerit non exputo.

(5) De utraque Venere Οὐρανίᾳ et Πανδήμῳ locos collegerunt Meurs. Spicil. ad Theocr. Ep. 13; Reiff. ad Artem. 2, 37, p. 38; Roether. ad Lydum Mens. p. 89; Wakef. ad Lucretii « volgivaga Venere » 4, 1064; Osannus ad Cornut. p. 320; Hommel. ad Plat. Sy. c. 8, p. 86; Solanus ad hæc Luciani Dial. Mer. 7: θῦσαι μὴν τῇ Πανδήμῳ δεήσει λευκὴν μηκάδα, τῇ Οὐρανίᾳ δὲ τῇ ἐν Κήποις δάμαλιν, στεφανῶσαι δὲ καὶ τὴν Πλουτοδότειραν. Hæc est scriptura codicis 2956 consentientis cum recensione Dubneriana. Additum est ad μηκάδα scholium: διὰ τὸ πρὸς συνουσίαν κατωφερές· et alterum ad δάμαλιν· διὰ τὸ σωφρονέστερον καὶ ὑπὸ ζυγὸν τετάχθαι. Balzacus Socrate Christiano p. 296 de oratione liberiore philosophi cujusdam Itali: « Son stile n'a que les mauvaises qualités de Vénus; toutes les bonnes lui manquent; ce n'est pas Vénus Uranie, la pure et céleste Vénus; c'est Vénus la coureuse, que Lucrece appelle *Venerem vulgivagam* ». Hanc qui dixerit « Vénus la salope » jam non memini. Elegantius Voltairius Epistola ad Villetum: « Sans doute ils vous diront que Vénus la friponne, La Vénus des soupers, la Vénus d'un

λουσι (¹) μῦθοι· ταύτης δὲ γνώρισμα γάμοι, καὶ τὸ προέσθαι τοῖς Ἔρωσι βαλεῖν τῷ τόξῳ, (²) καὶ ἄγειν ὅπῃ καὶ βούλεται. Ταύτην δὲ ποιοῦσι νῦν μὲν (³) περὶ κάλλους ἐρίζουσαν· ἀγὼν γὰρ ἦν περὶ τούτου ἀνθρώπων μὲν οὐδενὶ, θεαὶ δὲ πρὸς ἀλλήλας αὐτὸν (⁴) ἐποιοῦντο· κρίνειν δὲ ἔδει ποιμένα, καὶ μῆλον ἦν νικώσῃ τὸ ἆθλον· ἡ δὲ ὅλῳ σώματι φαίνεται τῷ ποιμένι, καὶ ψῆφον ἅμα (⁵) τῇ θέᾳ καὶ τὸ μῆλον ἐδέχετο, καὶ ἐδόκει καλή· ὅθεν, ἡνίκα παίζειν ἐθέλουσι, τοῖς μήλοις ἀλλήλους ἅμα γέλωτι βάλλουσιν οἱ Ἔρωτες (⁶). Νῦν δὲ κατὰ τῶν ἄλλων (⁷) νεανιεύεται καὶ εἰς γῆν ἐξ οὐρανοῦ κατάγει τὸν Δία, καὶ χρυσὸς ἦν καὶ κύκνος ἵπτατο, καὶ οὐδὲ ταῦρον ἐφείσατο ποιῆσαι (⁸) τὸν Δία. Καὶ διὰ ταύτης ἐπιλέλησται μὲν θαλάσσης ὁ Ποσειδῶν, καὶ, τὴν Τυρὼ θαυμάζων, ποτίμοις ὕδασιν ἐπιμίγνυται. Καὶ ὁ Πὰν (⁹) ὁρᾷν ἐδόκει τὴν Ἠχὼ, φθεγγομένην μόνον ἀκούων, καὶ τὴν ἐρωμένην ἠγνόει. Ὁ δὲ Ἀπόλλων δάφνην ἔχων τὸ φυτὸν, τῆς Δάφνης κηρύττει τὸν ἔρωτα. Ἡ δὲ Ἀφροδίτη τοὺς θεοὺς καὶ εἰς ἑαυτὴν ἐπεσπάσατο. Καὶ Ἥφαιστος μὲν συνῴκει τῇ Ἀφροδίτῃ, Ἄρης δὲ τοῦτον ἐζήλου· ἤρα (¹⁰) δὲ καὶ Ἑρμῆς, κοινωνὸν τοῦ πάθους ἔχων Ἀπόλλω.

Ἀλλὰ γὰρ ἔδει καὶ αὐτήν ποτε τῶν ἑαυτῆς πειραθῆναι βελῶν, καὶ γνῶναι οἷα κατὰ τῶν ἄλλων ἀφίησι τὰ τοξεύματα, καὶ οὐδὲ λανθάνειν ἐγένετο. Βοᾷ γὰρ τῇ θέᾳ τὸ ῥόδον Ἄδωνίν τε καὶ Ἀφροδίτην. Ἔμελε δὲ αὐτῷ καὶ ὄρη καὶ κυνηγέσια· τῇ δὲ Ἀφροδίτῃ πάντα ὑπῆρχεν (¹¹) ὁ Ἄδωνις. Καὶ ἔσθ' ὅτε, τὸν κεστὸν ἀφεῖσα καὶ τοὺς αὐτῆς παῖδας τοὺς Ἔρωτας, ἐπὶ νάπας ἐπορεύετο, καὶ ἐπικλίνασα τῇ χειρὶ τὸν αὐχένα ἐθεάσατο τὸν Ἄδωνιν. Ἀλλὰ γὰρ ὀφθέν τι δυσχερὲς ἐπετάραξέ σου τὸν ἔρωτα, καὶ τῷ πόθῳ θρῆνος ἐμίγνυτο.

moment, La Vénus qui n'aime personne, Qui séduit tant de monde et qui n'a point d'amant, Vaut mieux que la Vénus et tendre et raisonnable... ».

(¹) De verbo ἐθέλω hac significatione p. 125, n. 4.

(²) Ed., τὸ τόξῳ. Locus non nitidus. Fors. πρ. τ. ἔρ. τοὺς ἀνθρώπους βαλ. τῷ τ... βούλονται. Cf. p. 132, 14.

(³) Erit infra νῦν δὲ, quod sit adverbii νῦν μὲν antithesis.

(⁴) Mutavi editum αὐτῶν.

(⁵) Mutavi editum ψῆφ' ἅμα.

(⁶) Innuitur tabula picta quam descripsit Philostratus Imag. 1, 6.

(⁷) Sic et κατὰ τῶν ἄλλων statim. Sed hic videtur periisse θεῶν. Cf. p. 144, 2.

(⁸) Mutavi editum ποιῆσθαι.

(⁹) Ed., ὁ πᾶν. Et Πᾶν p. 134, 137.

(¹⁰) Ed., ἥρω.

(¹¹) Formulam εἶναι πάντα τινὶ illustravi ad Anecd. Nova p. 109.

Ἄρης γάρ, ταῦτα μαθών (ἤρα δὲ καὶ οὗτος τῆς Ἀφροδίτης), ἐζηλοτύπει τὸν νέον, καί ποτε ταύτην ἀποῦσαν ἐπιτηρήσας, κλέπτει τῇ θέᾳ τὴν φύσιν, καὶ σῦς δοκῶν εἰς θήραν ἐφείλκετο τὸ μειράκιον. Καὶ ὁ μὲν, ὡς εἰκὸς, ὁμόσε φέρεται τὰς κύνας ἀνακαλῶν, καὶ ἑλεῖν ἠπείγετο τὸ δόξαν θηρίον. Ἀλλὰ γὰρ χαλεπὸν ἀνθρώποις, ὦ Ἄδωνι, θεὸν (¹) ὅτε πολέμιον ἔχουσι. Τοῦτον γὰρ ὕστατον πεποίησαι δρόμον, καὶ, θήραν ἐλπίσας, αὐτὸς ἔκεισο θήραμα (²).

Φεῦ! οἵας ἀγγελίας ἀκούειν ἔδει τὴν Ἀφροδίτην, καὶ ἤκουσε! πληγεῖσα δὲ τῷ λόγῳ τοῦ πάθους ὅλη τε ἦν καὶ οὐδὲν ἐδίδου τῷ λογισμῷ· ἀλλ', εἰς λήθην ἐλθοῦσα τοῦ πρέποντος, ὡς εἶχέ τε ἀνέστη καὶ δρόμῳ διὰ πάντων ἐφέρετο. Οὐ κρημνοὶ ταύτην ἐκώλυον, οὐ φάραγγες ἔστησαν, οὐ ποταμὸς ἐπεῖχε πλημμυροῖς (³) τοῖς ὕδασιν· ὡς ὠμοί τινες ἦσαν οἱ Ἔρωτες (⁴). Εἵπετο γὰρ ἡ μήτηρ ἔκφρων ὑπὸ τοῦ πάθους, ὡς οἱ παῖδες ἐβούλοντο. Οὕτω δὲ φερομένη περιπίπτει ῥόδων φυτῷ, καί

(¹) Ed., ἀνθρώποις ὡς Ἄδωνι θεόν... Scripsi ὦ Ἄδ., propter directam statim ad heroem orationem.

(²) Parili verborum lusu Antiphilus Anth. 9, 14, de polypo qui captus cepit leporem : εἷλε δ' ἁλούς. Ennius Annal. 10, p. 94 : « Quæ nec Dardaniis campis potuere perire, Nec cum *capta capi*, nec cum combusta cremari ». Ibi similia apposuit Columna. Sic et Manilius 4, 30 : « Captus et a captis orbis foret ». Ibi Bentley. Placuit hæc oppositio poetis nostris. Satyrus in Molierii comœdia pastorali passeribus quos ceperat ipse captus amore : « Consolez-vous.... Celui qui vous a pris est bien plus pris que vous ». Dixmerius de fœmina amabili : « On croit la prendre et l'on est pris » Brunius, quem dicimus Pindarum, et Millevia de Amore alato, quem si quis imprudens laqueo velut avem capere gestiet, ab eo captus gemit, dixerunt, ille : « Il tient encore dans le réseau perfide Les oiseleurs qui pensaient l'avoir pris »; hic : « Et c'est l'oiseau qui prendra l'oiseleur ». Quos locos quum conferebam cum simili Parnyi sententia p. 351, « Et c'est lui qui prendra l'oiseleur », non memineram, vel ignorabam Arnaldum Bacularem poetam Lethæum, in Odario Anacreontico nec illepido, « L'oiseau oiseleur » ante illos dixisse : « Cet oiseau des autres diffère; Car c'est lui qui prend l'oiseleur ». Lubet etiam cum Enniana antithesi « nec cum combusta cremari » comparare Racinianum Pyrrhum, Trojæ incensorem illum, qui quum Andromacham arderet, in hæc erumpit verba, heroica minus quam declamatoria : « Brûlé de plus de feux que je n'en allumai ».

(³) Notum adhucdum epithetum ex Hesychio uno, apud quem : πλήμμυρον, μεστὸν, πεπληρωμένον. Hesychium emendant viri docti non emendandum, ut videtur.

(⁴) Suspecta sententia mihi quidem. « Nam adversus eam crudeles erant Amores »; qui forsan non solabantur matrem, sed ferme ludibundi eam per avia ducebant.

πως ἀβροτέρα οὖσα τὸ σῶμα (καὶ τί γὰρ ἄλλο ἡ (1) Ἀφροδίτη;), καὶ μηδὲν ἔχουσα περικαλύπτον τὼ πόδε (οὐδὲ γὰρ τούτου προνοεῖσθαι παρέσχε τὸ πάθος)· οὕτως οὖν ἔχουσα, ἀκάνθῃ πληγεῖσα συμμεταβάλλει τῷ ῥόδῳ τὴν θέαν (2), καὶ τοῦ αἵματος τὸ χρῶμα τοῖς ῥόδοις φύσις ἐγένετο (3). Ἦν γὰρ ὅτε λευκὸν ὑπῆρχε, καὶ εἰς τόδε μεταβέβληται, καὶ τὴν πληγὴν εὐτυχεῖ τῆς Ἀφροδίτης. Καὶ εἴποις ἂν αὐτὴν εἰκόνα τοῦ χρώματος ὑπάρχειν τῷ ῥόδῳ. Τούτῳ στεφανοῦνται μὲν αἱ παστάδες· πρέπει γάρ, οἶμαι, τὰ τῶν Ἐρώτων ἔργα φυτῷ (4) κοσμεῖσθαι. Οἷον πρὸς ἀλλήλας αἱ Χάριτες, τοῦτο καὶ Διονύσῳ μιχθὲν μιμεῖται σωτηρίαν ἀνθρώπων (5). Ἤδη τοῖς ῥόδοις καὶ λόγοι παττόμενοι, χαρίεν τί τε καὶ ἐπαφρόδιτον γίνεται (6).

Ἀλλὰ γὰρ εὐμενὴς ἡμῖν ὁ θεὸς ἐπιφαίνοιτο, καὶ δοίη πάλιν καὶ ἔαρ ἰδεῖν καὶ ῥόδον ὑμνῆσαι.

(1) Ed., ἤ.

(2) Ed., θεάν,

(3) Conf. p. 143.

(4) Ed., ἔργων. Quod mutavi, ut lector curreret, qui talibus hærere non debet. Sed quod sequitur φυτῷ non sic fuit nude a Choricio relictum. Fortasse : τὰ τῶν Ἐρώτων Ἐρώτων φ., vel Ἐρ. ἔργα Ἐρώτων φυτῷ.

(5) Ed., κοσμεῖσθαι, οἷον... Χαριτες · τοῦτο... Distinxi aliter. Sed non intelligo quid velit μιμεῖται σωτηρίαν ἀνθρώπων.

(6) Scripsi παττόμενοι pro πλαττόμενοι. Reliqui γίνεται, et si statim pluralis numerus, λόγοι γίνονται, reponendum videretur. Sed potuit Choricio λόγοι παττόμενοι nominativus esse absolutus, quæ figura illi placuit. Significat sermones floridos, vel sermones qui rosam florem eximium describunt. Et forsitan meminit Aristophanici Phidippidis patri dicentis N. 1334 : πάττε πολλοῖς τοῖς ῥόδοις. Meminerat omnino Manuel Palæologus Or. 4, p. 252 : κἂν διαπτύσῃς αὐτὴν καὶ τοῦτο μυριάκις, συχνοῖς τισι πάττεις ῥόδοις. Meminerat et Symeon Metaphr. Epist. 3 : ὁ τοῖς σκώμμασιν ἐκείνοις βαλλόμενος τοῖς καλοῖς, οὐχ ὕβρεσι μᾶλλον ἢ ῥόδοις πάττεσθαι δόξει.

ΗΘΟΠΟΙΙΑ ΠΟΙΜΕΝΟΣ (¹).

Τίνας ἂν εἴποι λόγους ποιμὴν, ἐκ σφοδροτέρου χειμῶνος ἔαρος ἐπιλάμποντος. Νόμῳ δὲ τῆς ἠθοποιΐας ἑπόμενοι, ποιμενικόν τε καὶ (²) ἀφελὲς αὐτῷ τὸ ἦθος περιθήσομεν.

Ὦ καινοτέρου φωτὸς, ὃ πάλαι μὲν ἐπόθουν, ἰδεῖν δὲ οὐκ (³) εἶχον, εὔχεσθαι δὲ μόνον ἐλείπετο. Νῦν ἥλιος μὲν εὐμενὴς, ἀὴρ δὲ διέλυσε τὰς ὀφρῦς, καὶ πνεῦμα μέτριον, καὶ χειροήθης ἡ θάλασσα, γῆ δὲ τοῖς ἄνθεσι ζωγράφων τέχνην μεμίμηται. Νῦν δὲ ἐγχορεύουσι (⁴) Μοῦσαι τοῖς ὄρνισι, τοῖς λειμῶσιν αἱ Χάριτες, ὁ Πὰν τοῖς ποιμνίοις, ταῖς δὲ γνώμαις (⁵) οἱ Ἔρωτες. Πάντα μετέστραπται καὶ γέγονεν εὐμενῆ, καὶ σπένδεται τάχα, καὶ πόλεμος οὐδαμοῦ. Θαῤῥεῖτε νῦν, αἶγες καὶ θρέμματα, καὶ πόαν (⁶) χρονίαν ἀσπάζεσθε· Πρώην γὰρ ὁ Ζεὺς πολὺς ἐπεχύθη τῇ γῇ (⁷), καὶ οὗτος ὁ λαμπρὸς ἥλιος ἐκρύπτετο τοῖς νέφεσι πολε-

(¹) Quam, Codicem sequutus Vaticanum, Choricio tribuit Maius vir emin. Ethopœiam, et ineditam esse putavit, ipse jam edideram, ante hos triginta annos et quod excurrit, inter notas ad Marini Proclum p. 76, ex codice Regio 1038, in quo lemma : Ἠθοποιΐα Προκοπίου σοφιστοῦ Γάζης. Qui Procopius fuit Choricii magister, ut dictum pag. 1, nota 1. De nomine auctoris potest ergo dubitari. Et proferam, p. 173, Declamatiunculam aliam de vere, cum parili nominum confusione. Addidi lemma, Ἠθοποιΐα ποιμένος.

(²) M., ποιμενικόν τε ἀφελές. Inserui καί. Verba νόμῳ... περιθήσομεν desunt meæ editioni, quippe quibus careat codex Regius.

(³) M., δ' οὐκ Malui δὲ οὐκ Regii codicis.

(⁴) Edidi e cod. R. συγχορεύουσι. Melior lectio Vaticana.

(⁵) Sic et mea editio. Sunt γνῶμαι hominum quos sollicitat amor cogitationes. Sed id quam contorte! Forsan ταῖς δὲ νομαῖς.

(⁶) Mea editio, ποιὰν, quum sit in codice Reg. ποίαν, de quo monere tunc neglexi.

(⁷) Ζεὺς videlicet ὑέτιος, ὄμβριος. Libanius t. 3, p. 334 : οὐδὲ ὁ Ζεὺς ὄμβρων ἡνίας ἔχων ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα. Codex 3025, ἀφῆκεν ὄμβρον. Non displicet repetitio. Libanius Epist. 250 : ὁ γεωργὸς, ὅταν ὁ Ζεὺς οὐχ ὕῃ, ὕσαι τὸν θεὸν αἰτεῖ. Caret repetitione non injucunda ejusdem Epistola 40 : ἠρόμην εἴ μου ποιεῖται

μούμενος, ἀὴρ δὲ καὶ δένδρα συνεδονεῖτο τοῖς πνεύμασι· θάλασσα (1) δὲ μετέωρος ᾔρετο καὶ ναύταις ἠπείλει πολέμιον (2), οἶά τις λέων ταῖς ἀγέλαις ἐπιβρυχώμενος (3)· χείμαῤῥοι δὲ ταύτην μιμούμενοι τὰ προστυχόντα κατέσυρον. Ἐθάῤῥει δέ πως οὐχ ὁδοιπόρος ὁδὸν, οὐ ναύτης τὸ σκάφος, οὐ κυνηγέτης τὴν θήραν. Οὐ νομή τις ἦν, οὐκ ἀγέλαι πρὸς ταύτην ἐφοίτων. Εἱστήκει καὶ τὰ δένδρα καθάπερ ἐν πένθει τὴν κόμην ἀποκειρόμενα ( ).

Ἐγὼ δὲ καὶ ταυτὶ τὰ πρόβατα, μηδὲν πλημμελοῦντες (5), ὥσπερ ἐν εἱρκτῇ τῷ σπηλαίῳ δεσμῶται γεγονότες ἐκαθήμεθα (6). Καὶ τὰ μὲν φυλλάδα (7) ξηρὰν ἐκ θέρους ἀπόθετον ἐσιτίζετο, καὶ ἦν αὐτῶν (8) ἐλεεινὰ τὰ βληχήματα· ἐγὼ δὲ τυρῷ διέζων νεαρὸν οὐδὲν ὑποφαίνοντι.

Τὸ δὲ ψυχρὸν τῆς ὥρας τῆς εἱρκτῆς ὑπῆρχε βαρύτερον (9). Οὐ γὰρ

μνήμην πρὸς τοὺς φίλους. Cui non placebit scriptura codicis 3035? πρὸς τοὺς φίλους ὥσπερ φιλου. Est obscurior in fine Philostrati Epistolæ 45 repetitio : οἶσθα τὶ χρὴ ὄνομα θέσθαι τῷ τοιῷδε · ἐγὼ δὲ εἰπεῖν ἔχων, οὐκ ἔχω. Codex 2775 : ἔχων οὐ λέγω. Id est nitidum, ac, me quidem judice, edito ænigmati præferendum.

(1) Mea editio, θάλαττα.

(2) Mea editio, πόλεμον. Et notavi in codice esse ad marg. scriptum : γρ. πολεμικῶς. In quo falsus fui. Nam codex, quem serius inspexi aliud exhibet : γρ. πολέμιϊον. Quod corrigendum, πολέμιον. Sic ea sæpe legere librarii opinamur quæ codex non exhibet, præcipue quum compendiis vocabula curtantur obscurius, aut scriptura vetustate obliteratur, vel si properemus nimium. Quod viris etiam me eruditioribus accidit, exercitatioribusque et diligentioribus. Mirationem nulli non facit nomen Περπούρου in epigrammate Anecdotorum Paris. t. 4, p. 387 :Περπούρου τὸ πρόσωπον ἐμοὶ προσιόντος ἀπαρκεῖ. Ipse reperio in meo apographo : τερπνὸν ὅλον τὸ πρόσωπον. Et nunc inspecto rursus manuscripto, reperio τερπν ὅλον, literis pallidis valde, ac male formato lambda ut rho esse videatur. Meam lectionem, nomine Περπούρου procul amandato, confirmat Strato sic editus Anth. 12, 225 :Τερπνὸν ὅλως τὸ πρ... In eadem sylloge versus exstat de Theologo non perspicuus, p. 341 : Ἡ γνῶσις ὄντων, Γρηγόριος νῦν βλέπων. Codex distinctissime νοῦν βλέπων. Rursus initium pentametri elegiaci mendosum est pag. 344, 5, Πατρικῶν λαγόνων. Monet editor doct. legendum πατρικίων, quod ipsum exhibet ferme codex. Nam compendio inclusus est accentus acutus, qui κίων non κῶν integris literis legere jubet.

(3) Mea, βρυχόμενος. Melius Maiana.

(4) Maiana : ἀποχειρούμενα.

(5) Mea e cod., si bene descripsi, πλημμελοῦντα.

(6) Mea, καθήμεθα.

(7) Mea, φυλλίδα, nomen rarius. Præfero alteram lectionem.

(8) M., αὐτῷ. Fines ω et ων sæpissime confunduntur. Epigramma in Anecd. Paris. t. 4, pag. 382, 9 : Πλὴν φωσφόρον ζῶ μὴ βλέπω, ἄν σε βλέπω. Codex : μὴ βλέπων, recte, compendio noto.

(9) Sic et mea. Codex Reg. βαθύτερον, superscripto ρ.

ἦν οὐ πόδας ἑτοίμως (¹) κινεῖν, οὐ χεῖρας εἰς δέον ἐκτείνειν, οὐ καλάμοις ἐμπνεῖν, οὐχ αὐλοὺς ἐναρμόζεσθαι (²). Καὶ καθεύδειν ἔδει καὶ δι' ἡμέρας, ἐγκαταδύντα (³) τοῖς θρέμμασι καὶ τοῖς ἐκείνων ἐρίοις παραμυθούμενον. Οὐδὲν δὲ μούσης ἠκούετο, ἀλλα καὶ χελιδὼν ἡ λάλος ἐκάθευδεν, οἶμαι (⁴). Ἤδη τι καὶ τῆς ἀράχνης ἐμφωλεύει τῇ σύριγγι (⁵). Πάντα δὲ σιγᾷν ἐδόκει, πλὴν ὅτε Ζεὺς ἀστράπτων κτύπον (⁶) ἐπῆγε δεινόν, ὥσπερ ἢ σκεύη (⁷) κινῶν ἢ μετασκευάζων τὸν οὐρανόν. Πολλάκις τοῦτον ἱκετεύων ὑπέμνησα · « Τί τοσοῦτον, ὦ Ζεῦ, λελυπήκαμεν (⁸); Παῦσαι πάντα συγκρούων, μὴ συντριβῇ πάλιν (⁹) καὶ δεήσῃ (¹⁰) νέα (¹¹) δημιουργεῖν. Μή τι σοὶ Γιγάντων πάλιν πλῆθος ἐπανέστη (¹²) πολέμιον »; Τί δεῖ λέγειν; ἦν γὰρ πλέον οὐδέν, ἕως ἑκὼν ἐπείσθη. Τάχα δὲ κέκμηκε (¹³) πάντα κινῶν, καὶ καθεύδει νῦν ἐκ πόνου μακροῦ. Ὅθεν νῦν πάντα σπένδεται καὶ λαλεῖ, καὶ νεάζειν ἔοικε τὸ γῆρας ἀποδυσά-

(¹) Mea, ἑτοίμως οὐ πόδας.

(²) Mea, ἁρμόζεσθαι. Sequens καὶ non est in Maiana.

(³) Maiana, εἰσκαταδύντα.

(⁴) Fuisse patet Procopium ex eis qui hirundines opinantur non per hyemem peregre evolaread regiones meliore sole calentes, sed remanere somno et torpedine vinctas, donec ver aerem fecerit tepidiorem. Quam opinationem rejicere videntur viri qui nunc in studio historiæ naturalis maxime florent. Permanet tamen dubii nonnihil. Exstant non facile neganda hominum doctorum et diligentium et oculatorum testimonia. Sed ea de re quæ habeo collecta plurima negligo; aliorum res est.

(⁵) Bacchylides pacis descriptione : ἐν δὲ σιδαροδέτοισι πόρπαξιν αἰθᾶν ἀραχνᾶν ἱστοὶ πέλονται. Catullus 13 : « tui Catulli Plenus sacculus est aranearum ». Ibi Dœring. Byron *Giaour*, de Hassani aula deserta : The lonely spider's thin grey pall Waves slowly widening o'er the wall ».

(⁶) Maiana plene distinguit post ἐδόκει. Mea, πλὴν ὅτι. M., καὶ κτύπον.

(⁷) Sic M. Mea, σκευήν.

(⁸) Sic M. et mea. Proponebam olim : λελύπηκάς με.

(⁹) M., πάλιν. Mea, πόλις. Prætuli πάλιν, quod pastor de urbe parum esse debeat sollicitus. Πάντα intelligo de rerum universitate, de mundo. Sic πάντα in Daphnidis voto desperatissimo : πάντα δ' ἔναλλα γένοιντο.

(¹⁰) M. et cod. Reg. δεήσει. Scripseram δεήσῃ quod et nunc retineo. Ut fit sæpius, permutatæ sunt vocales η et ει. Epigramma Anecd. Paris. t. 4, p. 332, εἰς τὴν λάρνακα, τ. ἁ. Παντελεήμονος : Ὕδωρ πέτρας πρὶν, νῦν μύρα, πλὴν καὶ μύρων ἰαμάτων ῥοῦς· τοῦτο θαῦμα θαυμάτων. Fortasse πλεῖν, id est πλέον : « Aqua ex rupe olim (manavit), nunc unguenta; ac plus quam unguentorum, medelarum profluvium : id miraculorum est miraculum ». Sic versiculos intelligo.

(¹¹) M., νέα. Mea, νέαν.

(¹²) Maiana, πλῆθος αὖθις ἐπανέστηκε. Mea, πάλον (mendo typorum pro πάλιν) πλ. ἐπανέστη.

(¹³) M., καὶ κέκμηκε, et mox καθεύδειν.

μενα (1). Σκιρτᾶτε νῦν, αἶγες, καὶ τοῖς πηδήμασι πρὸς οὐρανὸν διεγείρεσθε μέσον (2). Ἐμπίπλασθε τῆς πόας, πλὴν (3) εἴ τις δι' ἔρωτα πρὸς φυτὸν μεταβέβληται, καὶ σώζει τὸ κάλλος εἰ καὶ τὴν φύσιν μετέβαλε (4). Καλὸς ὁ Νάρκισσος, ἀλλὰ τὸ πάθος εἶχε τοῦ κάλλους ἀνάξιον (5). Καλὸς Ὑάκινθος, ἀλλὰ γίνεσθε τοῦ Ζεφύρου (6) φιλανθρωπότεροι καὶ φείδεσθε μειρακίου καλοῦ. Εἰ δὲ καὶ (7) πίνειν δεήσει, πρὸς πηγὴν ἄξω καὶ καθηγοῦμαι τῇ σύριγγι. Ὑμεῖς δὲ τοῖς μέλεσιν ἕπεσθε. τῷ γὰρ ἀπολειφθέντι (8) λύκος ἔσται ζημία.

Εἰ δὲ καὶ μεσημβρία λυπήσει (9), ὑπὸ πίτυν ἄξω τὸ ποίμνιον. Καὶ ἄνωθεν μὲν ἀηδὼν ἐαρινὸν ἀναφθέγξεται· ὡς δὲ φασὶ (10); τὸν παῖδα ζητεῖ καὶ οἷα μήτηρ ὀδύρεται· ἐγὼ δὲ πρὸς ταύτην ἁμιλλήσομαι τῇ πηκτίδι, τὰ δέ μοι πρόβατα τάξει κάτω κείσεται (11) τῶν μελῶν ἀκροώμενα. Τότε μᾶλλον ὁ Πὰν τὴν Ἠχὼ βοήσει κόρην οὔτε φθεγγομένην οὔτε σιγῶσαν (12), πλησίον δὲ δοκοῦσαν ἀεὶ καὶ λανθάνουσαν, καὶ νόθῳ φωνῇ παραμυθουμένην τὸν ἐραστήν.

Νῦν κύκνοι καὶ χελιδόνες ὑπὲρ κεφαλῆς ᾄδουσι τὸν αἰθέρα περιπλανώμενοι (13). Ὁ δὲ Ἀπόλλων ἥδεται δάφνῃ στεψάμενος, καὶ φυτὸν

(1) Exhibeo lectionem Maianam, excepto quod, pro ἀποδυσάμενον, scripsi ἀποδυσάμενα. Meæ, non solœcæ quidem, sententia non melior : ὅθεν δὴ σπένδεται καὶ λαλεῖ καὶ νεάζειν ἔοικε τὸ γῆρας ἀποδυσάμενος · cum varietate marginali ἀποδυσάρεια. Quæ varietas potest firmare quam feci correctionem, ἀποδυσάμενα. Exspectandus codex integrior. Choricius p. 140 : πάντα σπένδεται τοῖς ἀνθρώποις ..... Cf. p. 134. Præivit Gregorius Naz. Orat. 43, p. 703, et ipse sophista : νῦν μὲν αἰγιαλοῖς κύματα σπένδεται, ἡλίῳ νέφος, ἀέρι δὲ ἄνεμοι, γῇ δὲ φυτοῖς, φυτὰ δὲ ὄψεσι.

(2) Mea, ἐγείρεσθε, et μέσον male jungit sequenti sententiæ. Rectius distinxit Jacobs. ad Antholog. Palat. t. 4. p. 342.

(3) Maiana, πάλιν.

(4) Mea, καὶ εἰς τὴν φ. μετέβαλλε.

(5) Mea, ἀλλὰ τοῦ κάλλους εἶχε τὸ πάθος ἀνάξιον. Sic mutaveram codicis scripturam τοῦ πάθους. Melius priorem genitivum τοῦ κάλλους mutavissem, quod videram, sed serius.

(6) Mea, γίγνεσθε Ζέφ.

(7) Maiana, εἰ καί.

(8) Exspectabatur potius, τῇ γὰρ ἀπολειφθείσῃ.

(9) Maiana, εἰ κἂν πηγὴ μυρία λυπήσει.

(10) Mea, ὡς, φησί.

(11) Mea, κατακλείσεται. Proponebat Schæferus κατακείσεται.

(12) Hoc loco utebar ad Theophilactum Simoc. Epist. 36, p. 273, ubi plurima de Panis in Echo nympham amore. Confer Choricium supra p. 131, et infra Descriptione horologii, p. 154.

(13) Non minima pars est avium in descriptionibus veris rhetoricis. Gregor. Nazianzenus myrothecium siccat Orat. 43, p. 704. Libanius, memoratis illis Pandionis filiabus, pergit p. 1052, 28 : ἀλλὰ καὶ τὰ

ἔχων ἣν κόρην ἔχειν ἠβούλετο (1). Νῦν τοῖς λειμῶσι περιβομβοῦσιν (2) αἱ μέλισσαι· ἄξω τὰ πόλλα (3) τῶν κηρίων, καὶ τούτων ἀμέλγων τὸ μέλι ἐγκαταμίξω τῷ γάλακτι (4). Καὶ τί μοι πρὸς τοῦτο νέκταρ ἐκεῖνο, τὸ μάτην θρυλλούμενον πόμα;

Νῦν ἀγέλαις Ἔρωτες ἐγχορεύουσι (5). Καὶ ταῦρος μὲν ἐρωτικὸν ἐμυκήσατο, κριοὶ δὲ φριμαξάμενοι τῶν ἀρνῶν ἐπιβαίνουσιν. Οὐδ' ἐγὼ νῦν μάτην ἑστήξομαι· ἀργεῖν γὰρ μόνον ἐστὶν ἀφόρητον. Ἄξω τὴν ἐρωμένην καὶ τὴν ἀγέλην μιμήσομαι (6), ἀντὶ δὲ στρωμνῆς πόα μαλακή τις ἡμῖν ὑποκείσεται (7). Ἐπιπάσω (8) αὐτῇ τῶν ἴων καὶ κρίνων πολλά, μᾶλλον (9) δὲ ῥόδων, ἵνα καὶ τὴν Ἀφροδίτην τιμήσωμεν. Οὐδὲ γὰρ

ἄλλα τῶν ὀρνίθων γένη φαίνεται πανταχοῦ πετόμενα. Codex 963, φέρεται. Hoc fere malim, quia graphicum est magis. Ceterum verba illa sæpe permutantur, quod monstravi ad Nicetam Eug. pag. 73, ad OEd. Col. 1682, ad Proclum in Cratylum p. 105. Vide et Meineck. ad Men. p. 378. Palladas Anth. 10, 84; Ω γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενὲς, οἰκτρὸν, Συρόμενον κατὰ γῆς καὶ διαλυόμενον. Vaticanus codex, et Reg. 1630, cum supplem. 352, φερόμενον. Est συρόμενον correctio Planudea, parvæ auctoritatis. Usus permutatione modo memorata, conjicio φαινόμενον, quæ lectio belle convenit antithesi διαλυόμενον, « ostensum et mox evanidum ». Idem Epigr. 96 : Ποίῳ τρόπῳ γὰρ περιγένωμαι τῆς Τύχης, Τῆς ἐξ ἀδήλου φαινομένης ἐν τῷ βίῳ; Planudès : τῷ βίῳ φανερουμένης. Mutatio pessima. Permutationis ejusdem ope legere malim, Τ. ἐξ ἀδ. φερομένης ἐν τ. β. Sic decem poematioli versus iambum habebunt in sede quarta.

(1) Mea, βούλετο, quod mendum typorum correxi ad Theophyl. Simoc., p. 306. Codex ἠβούλετο. M., ἐβούλετο. Sed mox consentiunt Vatic. et Reg. in ἠδυνήθη. Est ἐβούλοντο p. 132, 14.

(2) Mea, ἐπιβομβοῦσιν.

(3) Maiana, ἄξω πολλά. Jacobs. ad Anthol. Pal., p. 542, conjecit ἕξω pro ἄξω. Refero tempus ad ἄγω, ἄγνυμι.

(4) M., ἀμέλγων ἐγκ. γάλ.

(5) Mea, συγχορεύουσι. Potest lector hærere. Infra, p. 141 : χορεύει τα ποίμνια.

(6) Daphnis Theocriteus, obscœnæ libidinis phantasiis mentem obsessus, ὅκ' ἐσορῇ τὰς μηκάδας οἷα βατεῦνται, et se fieri hircum cupit furialiter.

(7) Plato, Polit. § 15 : μαλακὰς δὲ εὐνὰς εἶχον, ἀναφυομένης ἐκ γῆς πόας ἀφθόνου. Gregorius Naz. Orat. 1, p. 5 : τὰ πολλὰ δὲ αὐτῷ (pastori) μελήσει... σκιὰ καὶ δόνακες, καὶ ἐν καλῷ τῆς πόας κατακλιθῆναι. Eustathius, Olympum montem describens, Opp. p. 360 : ὑδάτων πηγαὶ καθαραὶ, πόαι μαλακαί... εἰ μὲν γὰρ ὑπέλθοι (viator) δένδρου σκιὰν, αὐτίκα τοῦτον ἐπιξενώσονται κάτωθεν μὲν γῆς εὐναὶ μαλακαί. Aristænetus descriptione loci amœni 1, Epist. 3, p. 13 : πόα μαλακή..... ἐπὶ τοῦ πεδίου κατακλίθημεν ἢ τῶν πολυτελεστάτων δαπίδων. Ibi plurima apposui, p. 268. Fontainius Adonide : « Couché sur des gazons, il rêve au bruit de l'eau ».

(8) Mea, ἐπισπάσω. Apte corrigebat Schæferus ἐπιπάσω.

(9) Maiana : Ἔρωτες ἐγχορεύουσι· μᾶλλον, mediis omissis.

αὐτὴ (1) διαφυγεῖν ἠδυνήθη τὸν Ἔρωτα· σοβαρὸν γὰρ τὸ παιδάριον καὶ θρασὺ καὶ κατὰ τοῦ τυχόντος ὁπλίζεται· λυπεῖ δὲ τὴν Ἀφροδίτην, οὐδὲ τὴν τεκοῦσαν αἰδούμενος, ἵνα μὴ μέγα φρονῇ μόνη (2) καὶ τεκοῦσα καὶ διαφυγοῦσα τὸν Ἔρωτα. Τί οὖν ἐκεῖνος; αἵρει τὸ τόξον, καὶ προσγελᾷ τὴν μητέρα, καὶ βέλος τι σμικρὸν ἐγκατέθηκε (3)· καὶ Ἄδωνις ἐξαίφνης ἐδόκει καλὸς, καὶ ῥᾷον (4) ἄν τις εἶδεν αἰγὸς συζύγου τράγον αὐτὸν (5) ἀνιστάμενον ἢ τὴν Ἀφροδίτην Ἀδώνιδος. Σιωπῶ τὸ πάθος τῇ θεῷ χαριζόμενος, μὴ καὶ λυπήσω λέγων, καί μοι δείξῃ (6) τὴν ἀγέλην ἀνέραστον. Πλὴν αἵματι τῆς Ἀφροδίτης τὸ ῥόδον ἡμῖν ἠρυθραίνετο (7).

Τοιαῦτα τῆς ὥρας ἀπολαύων, εὔξομαι μετὰ τῆς ἀγέλης καὶ θέρος ἰδεῖν, καὶ σιωπῶ τὸν χειμῶνα καὶ ἔαρ αὖθις ἡμῖν ἀναλάμψαν (8).

(1) Mai., οὐ γὰρ αὕτη.

(2) Mea sine μόνη. Notulæ meæ de Amore qui suam sæpe vulnerat matrem addesis quæ ad Aristænetum 1, 8, p. 348, monuimus interpretes; et ego etiam ad Moschum 1, 21 edit. sec., ubi apposui Meleagri versiculum, Ἄγριον οὐδ' αὐτῇ μητρὶ φίλῃ τιθασόν, ex Anth. 5, 178.

(3) Mea : αἴρει τὸ ξίφος κ. πρ. τὴν τεκοῦσαν, καὶ βέλους τι μικρὸν ἐγκατ.... Jacobsius ibid. tentabat : αἴρει τόξον ὑψόσε... βέλος.

(4) Maiana, καλός· ῥᾷον.

(5) Mea sine αὐτόν.

(6) M., δείξω. Mea, δείξῃ. Cod., δείξει. Permutatio solita vocalium η ει meam lectionem probabilem facit. Sic confusa participia ἠθισμένος εἰθισμένος in Palladæ epigrammate sic nunc edito, Anth. 10, 48 : quum dixisset poeta non debere judicem ex causidico fieri vel eloquentissimo, ita pergit in Jacobsiana : Πᾶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος, οὐδ' ἐν ἑταίρῳ Σεμνότερον δικάσαι, μὴ ῥυπαρῶς, δύναται. Est πῶς γὰρ in Palatino, qui et οὐδὲν habere videri dicitur. Equidem in Palatini apographo οὐδὲν reperi. Jam sumta Casauboni conjectura ἑταίρας, sic scribendum propono distichon : Πῶς γὰρ, μισθαρνεῖν εἰθισμένος οὐδὲν ἑταίρας σεμνότερον, δικάσαι μὴ ῥυπαρῶς δύναται; « Quonam enim modo, qui solet accipere mercedulas quolibet non severius prostibulo, judicare potest non sordide »?

(7) M., ἠρυθαίνετο. Mea, ἠρυθραίνετο, quod servavi. Est ἠρυθραίνετο forma in oratione soluta usitatior. Libanius, t. 4, p. 1050 : κρατοῦντες δὲ ἤδη τοῦ οἴνου καὶ τυραννοῦντες, τό τε σῶμα ἠρυθραίνετο, πρόχειρος τε ἦν εἰς ὀργὴν, καὶ ὕβριζε μὲν ἑτέρους. Est ἑτέρους debilissimum, nec μὲν habet redditionem. Bene codex 1000, ὕβριζεν εἰς ἑταίρους. Librarii passim hæc nomina confuderunt, ut jam non difficilis sit electio. Eumathius 3, p. 85 : παρειὰ λευκὴ· τὸ λευκὸν ἄκρατον, ἐς ὅσον οὐκ ἠρυθραίνετο. Codex 2897 : ἠρυθαίνετο. Idem 1, p. 21 : ἐρυθαίνεται τὴν παρειάν· ubi nihil mihi e codice illo enotavi. In auctoribus id genus, qui colores utriusque orationis temere miscent, criticus hærere potest.

(8) Mea, καὶ, σιωπῶν τὸν χειμῶνα, ἔαρ αὖθις ὑμῖν αναλάμψαι.

ΗΘΟΠΟΙΙΑ ΕΜΠΟΡΟΥ (1).

Ποίους ἂν εἴποι λόγους ἔμπορος θαλάττιος, ἐπιφανέντος ἔαρος.

Εἶδον ὅπερ ηὐχόμην, καὶ προῆλθεν εἰς ἔργον ἡ γνώμη. Οἴχεται πόλεμος ἐκ τῶν νεφῶν ἀπειλούμενος, καὶ νεάζει τὸ φῶς, καὶ πάλιν ἥλιος μεθ' ἡμῶν. Διαλέλυται δέ μοι μετὰ τῆς ὥρας ἡ λύπη.

Καὶ νῦν ἡ θάλασσα φίλη καὶ τοῦ θυμοῦ μεταβέβληται. Πάντα σπένδεται τοῖς ἀνθρώποις, οὐρανὸς, ἀὴρ, ἀστέρες, ἡ θάλασσα. Ὁ μὲν γὰρ νιφάσι βάλλων ἀεὶ, τὸν περὶ τῶν οἰκημάτων ἐπήνεγκε κίνδυνον· οἱ δὲ τὴν θέαν ἀπέκρυπτον· ὁ δὲ συνῆγε τὰς ὀφρῦς (2)· ἡ δὲ συνεδονεῖτο τοῖς πνεύμασι. Νῦν πάρεστι καθαροῖς ὀφθαλμοῖς τὴν Ἄρκτον ἰδεῖν τὴν φίλην ἡμῖν καὶ πανταχοῦ τὸν πλοῦν ἀπευθύνουσαν· οὐ γὰρ ἀνέχεται συγκαταδῦναι τοῖς ἄλλοις (3), ὅπως μὴ ναύτην παρίδῃ πλανώμενον· ἀλλ' ἕστηκεν ἀεὶ τοῖς ἐν πελάγει τὰς πόλεις κηρύττουσα. Πάρεστιν ἰδεῖν καὶ τὸν μέγαν Ὠρίωνα, κἂν τοῖς ἄστροις κυνηγετοῦντα τῷ σχήματι (4). Ἂν ἴδω τὴν Ἀνδρομέδαν, ἐλεῶ τὰ δεσμὰ καὶ τὴν ἐκείνης τύχην ὀδύρομαι· ἀλλ' ὅταν ἴδω τὸν Περσέα, τὴν δεξιὰν ἐπὶ τὸ κῆτος ἐπαίροντα (5), «Θάῤῥει»

(1) Ex Spicilegio Romano, t. 5, p. 415. Addidi lemma.

(2) Forsitan intervertendæ sententiæ : ὁ δὲ συνῆγε τ. ὀ. οἱ δὲ τὴν θ. ἀπ. Libanius eumdem tractat locum descriptione veris, t. 4, p. 1052, 2 : τότε δὴ καὶ..... τὴν νύκτα ποιεῖ τερπνὴν τὰ ἄστρα φαινόμενά τε καὶ οὐ κρυπτόμενα · καὶ γίγνεται ἀγρυπνοῦντι θέαμα ἥδιστον πεποικιλμένον τοῖς τόποις ὁ οὐρανός. Corrigendum τύποις e codice 965. Gregorius Naz. de vere Oratione 43, p. 705 : νῦν σελήνης κύκλος φανότερος καὶ ἀστέρων χορὸς καθαρώτερος.

(3) Ovidius lib. 476 : « liquidis quæ caret Arctos aquis ». Hyginus Astron. 2, 2 : « Hoc signum, ut complures dixerunt, non occidit ». Ibi interpres.

(4) Scilicet τῷ σχήματι, quo exhibetur in tabulis cœlestibus. Adest etiam ante pedes lepus cœlestis.

(5) Et id de tabulis cœlestibus capiendum, quæ Perseum exhibent dextra erecta harpen tenentem.

τῇ κόρῃ φημὶ, καὶ παραμυθοῦμαι ταύτην ἐν ἑαυτῷ (1) καὶ τῆς τύχης αὐτῇ συνήδομαι. Γέγηθα νῦν μὲν τὰς πλειάδας ὁρῶν, αἳ τὸ ἔαρ ἡμῖν πρυτανεύουσι (2)· νῦν δὲ τὴν Ἀργὼ σκάφος ἐν οὐρανῷ παλαιὰ κηρῦττον μυθολογήματα, τὸν Πελίαν, τὸ κῶας, τὴν Μήδειαν, τοὺς ἔρωτας, τὸν Ἰασόνα.

Τί τοίνυν ἔτι μέλλω καὶ πρὸς τὸν πλοῦν ἀναδύομαι; ἀπεῖπον ἐφ' ἑνὸς χωρίου καθιδρυμένος, καὶ δαπανῶν ἀεὶ καὶ τοῦ κέρδους ἐστερημένος· ἃ γὰρ ἐμπόρια δεδώρηται, ταῦτα χειμὼν ὑπανάλωσε, καὶ σύνοικος οἴμοι! μηδὲν τοῦ χειμῶνος ἀνεκτοτέρα· ἐπέκειτο γὰρ ἀεὶ πρὸς ζημίαν φέρουσά τι καινότερον· καὶ « Δεῖ μοι » φησίν, « ἐσθῆτος παραμυθουμένης τὴν « ὥραν ». Παρέσχον, ὡς οὐκ ἂν ἠβουλόμην· ἡ δὲ πάλιν ἦν γυμνὴ, πάλιν τὴν ζημίαν ἐπέτεινε. Καὶ ἥδε φησίν· « Ἡ τοῦ δεῖνος κόσμῳ περιλάμπει « χρυσῷ, καὶ δεῖ με τῶν παραπλησίων τυχεῖν ». Ἐγὼ δὲ πρὸς ταύτην· « Μὴ καὶ τοῦτο, γύναι, παραμυθεῖται τὴν ὥραν »; Εἰ δὲ παρεῖδον αἰτοῦσαν, « Ἄτιμος ἐγώ » πολλάκις ἐβόα, « καὶ λόγος οὐδεὶς ἐμοὶ (3) παρὰ « σοῦ ». Καὶ ἦν ἀνάγκη καὶ δι' ἡμέρας ζυγομαχεῖν, βοσκημάτων δίκην συγκαθειργμένων, ἕως μοι διαῤῥυὲν οἴχεται τὸ βαλάντιον. Ἀλλὰ νῦν ἐνδείας, νῦν κακῶν ἐλευθέρωμα, νῦν ἐπιμιξίαι ταῖς πόλεσιν ἐλευθέριοι. Οὐκ ἔτι μοι κωλύσει τὸ σκάφος ἡ θάλασσα· ἤδη καὶ ναύτης τοῦ πελάγους κατατολμᾷ, καὶ ὁδοιπόρος ᾄδει, καὶ ποιμένες αὐλοῦσι, καὶ χορεύει τὰ ποίμνια. Νῦν ὄρνιθες ᾄδουσι καὶ (4) ποικίλῳ τινὶ φθόγγῳ πλέκουσι ξένην μουσικήν. Καὶ τὰ δένδρα νῦν ἐπείγεται πρὸς γονὴν, καὶ γῆ διαφόροις ἐμπομπεύει τοῖς ἄνθεσιν, ἄστρων δίκην ἐκλάμπουσα, καθάπερ ἁμιλλωμένη πρὸς οὐρανόν (5).

(1) Est ἐν ἑαυτῷ pro ἐν ἐμαυτῷ. Videsis not. ad Eunap. p. 342. Ethopœia sequente p. 143, est ἑαυτῆς pro ἐμαυτῆς.

(2) Sufficiet Isidori locus Origg. 3, 70, p. 910, de pleiadibus : « hos Latini vergilias dicunt a temporis significatione, quod vere exoriantur. Nam occasu suo hyemem, ortu æstatem primæque navigationis tempus ostendunt ».

(3) Fortasse ἐμοῦ. Significat οὐδεὶς λόγος ἐμοὶ « nullum est mihi jus loquendi »; λόγος ἐμοῦ, « nulla mei apud te ratio habetur ». Hoc melius.

(4) Addidi καί. Quæ conjunctio poterit tolli ex Philostrati Epist. 1: διδόντες καὶ δεόμενοι, καὶ ξυγχωροῦντες καὶ μὴ, καὶ καθαπτόμενοι καὶ ἀπολογούμενοι. Codex 2775 : δεόμενοι, συγχωροῦντες καὶ μὴ, καθ.

(5) Columella 10, 96 : « Pandite nunc varios terrestria sidera flores » Malherbius oratione ornatissima : « L'Orne comme autrefois nous reverroit encore, Ravis de ces pensers que le vulgaire ignore, Égarer

Τί οὖν; ἐπιϐήσομαι τῆς ὁλκάδος, θαῤῥήσω τὸν πλοῦν. Πολλοὺς ἔχω κοινωνοῦντας ναύτας τοῦ πράγματος, οἳ πρὸς τῷ κέρδει καὶ ποικίλην θέαν καρπούμεθα. Ὁ μὲν πρὸς Σικελίαν ἐπείγεται, καὶ τὴν Αἴτνην ὁρᾷ καὶ πῦρ ἐσθ' ὅτε χεόμενον, καὶ τὴν Ὀδυσσέως ὄψεται Χάρυϐδιν (¹)· ὁ δὲ, πρὸς Ἰταλίαν ἐλθὼν, πόλιν ὁρᾷ μεγίστην, ἐν ᾗ τῆς οἰκουμένης τὰ τρόπαια. Ἕτεροι τὰς νήσους ὡσὰν ἐν μέσῳ χορῷ περιπλέουσιν. Ὁ δὲ τὴν Τροίαν ὁρᾷ καὶ τὴν ταύτης τύχην ὀδύρεται, τὴν Ἑλένην εἰς μνημὴν λαϐών· ἀλλὰ πάλιν γυναῖκες, πάλιν τῶν οἴκοι κακῶν μνημονεύσομεν. Ἕτερος τὴν Ἀττικὴν ἀφικόμενος ὁρᾷ τὸν Πειραιᾶ, τὰς νήσους, τὴν Σαλαμῖνα, καὶ παῖδας Ἀθηναίων, καὶ παλαιὰ διηγήματα· ὡς ἠπείλει Ξέρξης, ὡς πάντα κεκίνητο, ὡς ὁ γῆν ὑϐρίσας καὶ θάλατταν ὑπ' Ἀθηναίων ἐδάκρυεν (²). Ἡμεῖς δὲ τὴν Κύπρον καὶ τὴν ταύτης Ἀφροδίτην οὐ περιπλεύσομεν· ἀποϐήσομαι τῆς νεὼς, ὄψομαι νῆσον Ἀδώνιδος, καὶ τὴν Ἀφροδίτην παραμυθήσομαι, τὴν εἰκόνα τοῦ πάθους, τὴν μνήμην τοῦ ἔρωτος (³)· καὶ ᾄσω τῷ κυνηγέτῃ (⁴) τὸ κάλλος, τὴν ῥώμην, τὰς χάριτας, τῶν παίδων τὰ τόξα, τὸν ζῆλον τοῦ Ἄρεος (⁵), τὴν ἄωρον τελευτὴν, τὴν ἀγγελίαν, τὸν δρόμον, τὴν πληγὴν, τὸ αἷμα, τὸ ῥόδον αὐτὸ, φυτὸν εὐτυχὲς, Ἀφροδίτης πάθος εἰκονίζον τῇ θέᾳ.

Εἶτα τὴν ἐμπορίαν ἀνύσας, πλουτήσω τοῖς χρήμασι, ἀλλ' ἕως ἴδω τὸ γύναιον.

à l'écart nos pas et nos discours, Et couchés sur les fleurs, comme étoiles semées, Rendre en si doux ébats les heures consumées, Que les soleils nous seraient courts ». Ibi Menagius. Non memineram ad AEneam Gazæum p. 252 quis poeta flores cœli dixerit sidera. Is est Marius Victor Genes. 1 98 : « Astraque distinctis cœlum pingentia zonis, Floribus ætheriis varios vibrare colores ».

(¹) Odyss. 12, 235.

(²) Γῆν ὑβρίσας, per quam videlicet ingentem fossam perduxerat, montem Atho classi pervium facturus; θάλασσαν, quam ponte junxerat, quam flagellis cædi jusserat et insanis lacessiverat conviciis (vid. Herod. 7, 23, 35). Sed non memini ὑπ' Ἀθηναίων δακρῦσαι Xerxem. Illacrymavit quidem, immensum exercitum quum esset contemplatus, reputans forsitan tot hominum myriadibus certissimum imminere occasum; sed Abydi, dum iter faceret in Græciam, ac diu antequam cum Atheniensibus confligeret (Herod. 7, 45). Illa tamen verba sensu latiore possunt intelligi de dolore summo quo Regem affecerit Atheniensium victoria.

(³) Deest verbum a quo pendeant εἰκόνα, μνήμην. Fortasse sunt loco proprio mota, quæ fuerunt primum in margine posita e regione sententiæ parilis ac vicinæ, Ἀφροδίτης πάθος εἰκονίζον τῇ θέᾳ, varians scilicet lectio, quam quidem prætulerim. Conf. similia p. 133, 6.

(⁴) Forsan, τοῦ κυνηγέτου.

(⁵) Vide pp. 131, 16; 132, 1.

ΗΘΟΠΟΙΙΑ ΑΦΡΟΔΙΤΗΣ (1).

Τίνας ἂν εἴποι λόγους Ἀφροδίτη, ἐν τῷ ζητεῖν τὸν Ἄδωνιν πληγεῖσα ταῖς ἀκάνθαις τὸν πόδα.

Τοῦτό σοι, Τύχη, πρὸς ἐπιβουλὴν ὑπελείπετο· μηδὲ ζητῆσαι τὸν Ἄδωνιν, μηδὲ δραμεῖν ἐπ' αὐτὸν, μηδὲ παραμυθήσασθαι τῷ δρόμῳ τὸν πόθον, μὴ κειμένῳ περιτυχεῖν, μὴ περιπλέξασθαι πεπτωκότι, μηδὲ φίλτατον καλέσαι νεκρόν. Ἤρκει τοὺς ὀφθαλμοὺς καὶ μεμυκότας ἰδεῖν, ἤρκει μοι πρὸς θέαν καὶ σιγῶντα τὰ χείλη· οὔπω μοι πάντως ἀπέλιπον οὐχ ἐρύθημα τὸ πρόσωπον, οὐχ ἄνθος τὴν παρειὰν, οὐ τὴν κόμην αἱ χάριτες. Εἰ δὲ καὶ τὴν αἰτίαν ἠρόμην τοῦ πτώματος, τάχα μοι καὶ κείμενος ἐβόα τὸν Ἄρεα (2).

Ἀλλ' οἷα καὶ λέγειν προήχθην; ἐγὼ πείσομαι πεπτωκέναι τὸν Ἄδωνιν; Ἔτι περίεστι καὶ θηρᾷ, καὶ μὴ παροῦσαν τάχα τὴν Ἀφροδίτην ζητεῖ· ἐγὼ δὲ μέλλω, καὶ κάθημαι μάτην δεθεῖσα τῷ πάθει τὸν πόδα. Ἀλλὰ γὰρ πάλιν τὸν Ἄρη λογίζομαι· πάλιν τέθνηκεν Ἄδωνις· δεινὸς γὰρ ὁ θεὸς, βλοσυρὸν ὁρᾷ, πρὸς αἷμα κέχηνε, ποθουμένην ὄψιν ἐλεεῖν οὐκ εἰδώς. Ὢ δεινῆς ἀπορίας! ὢ δυστυχημάτων ὑπερβολῆς! τίνος κατηγορήσω; τίνας δὲ μέμψομαι; τὴν Τύχην; τοὺς ἐμοὺς παῖδας; Ἐκ τούτων Ἄδωνιν ἔγνωκα, ἐξ ἐκείνης Ἄρης ὡπλίζετο. Νῦν τῶν ἑαυτῆς (3) πειρῶμαι βελῶν, νῦν τὴν ἐμὴν φλόγα μεταμανθάνω, νῦν τῆς ἐμῆς ὠδῖνος αἰσθάνομαι. Ἀφροδίτῃ ταῦτα (4), ἣν ἔτεκε Ζεὺς, ἣν οὐρανὸς ἤνεγκεν, ἣν ἐκόμησε (5) φύσις, ἐξ ἧς πῦρ καὶ βέλη καὶ πάντα πόθῳ συνήπτετο. Μήτηρ ἐγενόμην Ἐρώτων, τόξα παρέσχον, ἐπτέρωτο τὰ παιδάρια, καὶ

(1) Ex Spicilegio Romano t. 5, p. 418. Lemma addidi.

(2) Vide p. 142, n. 5.

(3) Vide p. 141, n. 4.

(4) Fors. ταῦτα πέπονθε, ni subaudiatur; vel Ἀφροδίτη ταῦτα.

(5) Ed., ἐκόμισε, quod in ἐκόμησε mutavi. Malim ἐκόσμησε.

τούτοις ἄβατον ὑπῆρχεν οὐδέν. Ἐπῆλθον γῆν, ἐνέδυσαν κῦμα, τὸν ἀέρα διέπτησαν, ἐνεχόρευον ἄστροις, καὶ κατὰ θεῶν ποτὲ ἐτάττοντο. Οὐδὲν τὴν ἐμὴν ὑπέκυπτε δεξιάν (¹). Εἴ τις τὴν Ἀφροδίτην ἐλύπει, ἔβλεπον (²) τοὺς παῖδας· ἐπένευον, ἐκίνουν οὗτοι τὰ βέλη καὶ τὸ παθεῖν ὑπελείπετο. Οἶδεν ὁ Ζεὺς τῶν ὅλων δεσπότης πειθόμενος Ἔρωτι. Οἶδεν ὁ Ποσειδῶν ἐν μέσῃ τῇ θαλάσσῃ φλεγόμενος. Οὐ παρεῖδον τὸν Πᾶνα, τὴν Ἥραν· οὐ παρῆλθον τὸν (³) Ζέφυρον. Βορέας πεπείραται, καὶ τῶν Ἀνέμων τὸ βέλος ὤφθη ταχύτερον. Ἀπόλλων ὠδύρατο βαλλόμενος (⁴). Τί δεῖ λέγειν ἄνθρωπον ἐραστήν; καὶ λέοντος οἶστρον, καὶ ταῦρον τῷ πόθῳ... τῶν (⁵) παίδων καὶ τρόπαια πανταχοῦ, καὶ πάντα τῆς Ἀφροδίτης πεπλήρωται. Ὡς... οἱ καλοὶ παῖδες ὡπλίζοντο καὶ τὸν πόλεμον οἴκοθεν εἶχον, καὶ τοῖς ἐμοῖς... ἔγνων ἐκεῖθεν ἰδοῦσα τὲ (⁶) θαύματα, ἔπασχον, ἠπόρουν, ἐγέλων, ἐ... γενέσθαι· τὸν χεστὸν ὑπεσκόπουν μή τις ὑποκλέψας λανθάνῃ καί... Εὑρίσκω τοὺς Ἔρωτας· ὑπέκυψα τῇ γονῇ. Λοιπὸν ἐπῄνουν τὸν Ἄδωνιν... τὴν κόμην ἐδόκουν κεχρᾶσθαι, ἐν τοῖς ὀφθαλμοῖς ἐνοικῆσαι τὰς Χάριτας, ἐκ τῶν χειλέων τοξεῦσαι τοὺς Ἔρωτας· αἱ δὲ παρειαί, οἴμοι! Συνεθήρων (⁷), ἐπόθουν, ἐμίσουν ἐντεῦθεν τὸν Ὄλυμπον. Ἐκείνου καὶ θεῶν ἥττητο ὄψις παρ' ἐμοί, καὶ πάντα τοῦ μειρακίου γέγονε δεύτερα. Ἐθήρα, καὶ τὴν θήραν ἐθαύμαζον· λεόντων ἐδόκει θρασύτερος, ὑπὲρ τὰς ἐλάφους πηδῶν. Ὄλυμπον τὴν ὕλην, οὐρανὸν ἡγούμην τὰς νάπας. Ὅτε τοῦτον εἶχον, τοῦ συνήθους λαμπρότερον ἐδόκουν βλέπειν τὸν ἥλιον. Μίαν ἠγάπων θέαν, τὸν Ἄδωνιν. Μίαν ἀκοὴν ἐπόθουν, τὸν ἄνθρωπον· οὐδείς μοι λαλῶν ἤρεσκεν, ὅτι μὴ λέγων τὸν Ἄδωνιν.

(¹) Fortasse scribendum : οὐδὲν οὐ τῇ ἐμῇ ὑπέκυπτε δεξιᾷ. Infra, ὑπέκυψα τῇ γονῇ. Et p. 146, 15.

(²) Lacunæ trium punctorum capaci, quæ est in Maiana lacunarum omnium mensura (ἐλύπει... λεπον), inserui ἔβ. Sic mox δεσπότης scripsi pro tribus punctis. Nil secure proponi potest.

(³) Ed., Ἥραν οὐ... ηλθον τόν. Lacunam resarcivi probabiliter.

(⁴) Ed., Ἀπόλλων... βαλλόμενος. Inserui ὠδύρατο. Sed aliud potuit scribere verbum sophista; non nego.

(⁵) Ed., πόθῳ... τῶν. Forsan πόθῳ μανέντα; νίκαι τῶν. Omnes, quod modo dixi, lacunæ tribus punctis in editione significantur, quæcumque fuerit, ut videtur, illarum in ipso côdice amplitudo.

(⁶) Sic Ed. Forsan τά.

(⁷) Ed., οἴμοι, συνεθήρων. Distinxi, puto, melius, ut genæ non simul venarentur. Sed exclamatio αἱ δὲ παρειαί, οἴμοι! nimia est ac ridicula. Si fieret exclamatio, οἱ ὀφθαλμοί, οἴμοι! esset probabilior. Sed jam sunt oculi memorati.

Ἐλύπει ταῦτα τὸν Ἄρην, καὶ τὸν φθόνον ὑπέτρεφε· καὶ πρὸς ἔργον ἦλθεν ἡ γνώμη (¹). Ἐγώ σοι τοῦ πάθους αἰτία· δι' ἐμὲ καὶ Ἄρης πολέμιος. Τούτων ἀκούσασα διεπτόημαι, καὶ γέγονα τῇ φήμῃ μετέωρος, καὶ κόσμου μοι λόγος ὑπῆρξεν οὐδείς. Δρόμος ἐπῆλθέ μοι, καὶ πόδες γυμνοὶ, καὶ τὰ ἐν ποσὶ παρορώμενα. Ἐντεῦθέν μοι τὸ πάθος δεινότερον ἦν, καὶ βέβλημαι τὴν μὲν καρδίαν τῷ πόθῳ, τῇ δ' ἀκάνθῃ τὸν πόδα.

Τοῦτο σύμβολον ἔστω τῆς τύχης, καὶ τοῖς μετὰ ταῦτα τὴν εἰκόνα δεῖξαι (²) τοῦ πάθους. Τοὐμὸν αἷμα φύσις γενέσθω τῷ ῥόδῳ (³). Καί τις τὸ ἄνθος ἰδὼν οὐ παραδώσει τῇ λήθῃ τὸν Ἄδωνιν· ἀλλὰ, τὴν αἰτίαν ζητῶν, ἀκούσει τὸ πάθος, τὸν πόθον, τὴν φήμην, τὸν δρόμον, τὴν πληγὴν, τὸ αἷμα, τὴν τοῦ ῥόδου μεταβολὴν, καὶ ἐπὶ πᾶσι τὸν Ἄδωνιν.

(¹) Eadem locutione usus est initio Ethopœiæ præcedentis, p. 140.

(²) Forsan, δείξαι, δείξει.

(³) Conf., p. 133.

ΗΘΟΠΟΙΙΑ ΦΟΙΝΙΚΟΣ (1).

Τίνας ἂν εἴποι λόγους ὁ Φοῖνιξ τῆς μὲν πρεσβείας ἀποτυχὼν, βοηθοῦντος δὲ τοῖς Ἕλλησιν Ἀχιλλέως, ὅτε πρὸς αὐτὸν ὁ Ἀγαμέμνων στείλας τὴν Βρισέως ἐξέπεμψε.

Συνήδομαι μὲν τοῖς Ἕλλησιν, ἀλλὰ δακρύω τὸν Θετταλὸν, τοῖς μὲν εὑροῦσι σωτῆρα, τὸν δὲ πεσόντα πρὸς ἀδοξίαν Ἑλλήνων καὶ γέλωτα Τρωϊκόν· οὐδὲ Τρῶες γὰρ, οἶμαι, τῶν ἡμετέρων ἀνήκοοι παθημάτων.

Καλῶς εὗρεν Ἀγαμέμνων ὅθεν τύχοι συμμάχων, καὶ λήψεται δίκην, ἀπειθοῦντα στρατιώτην αἰσχύνας. Εἴθε τοῦτο συνέβη πρὸ τῆς ἡμῶν πρεσβείας τὸ θήραμα! Νῦν δὲ τὰ καθ' ἡμᾶς ἀτυχία καὶ λόγοι· ὁ σοφὸς οὐχ ἔπεισεν Ὀδυσσεύς· Αἴας ὑπερώφθη μετὰ τοῦ γένους καὶ τοῦ Διός· ὁ δὲ πρεσβύτης ἐγώ (οὐ γὰρ ἔχω λέγειν διδάσκαλος) ἐπὶ τούτοις εἰπεῖν (2) οὐδὲν ἔσχον πιθανὸν, οὐ πολιὰν, οὐ λόγους, οὐ δάκρυα. Παρεμυθεῖτο δέ με τοῦ παιδὸς τὸ φιλότιμον, καὶ τὸ δοκεῖν εὐκλείας μᾶλλον ἢ κόρης ἐρᾷν· νῦν δὲ μετέστραπται πάντα, καὶ ταύτην βλέπων ὑπέκυψε (3). Τί δὲ μὴ μεθ' ἡμῶν αὐτὴν λαβόντες ἐδείξαμεν Ἀχιλλεῖ (4); ἀκοῆς γὰρ κρείττων εἰς πόθον θέα (5). Τοιγαροῦν οὐκ ἀντέσχεν ἰδὼν, περιβαλὼν

(1) Ex Spicilegio Romano, t. 5, p. 420. Historiæ contraria hypothesis est hujusce Ethopœiæ. Achilles enim post Patrocli mortem statim cepit consilium pugnandi, nec exspectavit dum sibi Briseidem redderet Agamemnon. Et Agamemnonem alloquutus, Δῶρα μὲν, inquit, αἴχ' ἐθέλησθα παρασχέμεν, ὡς ἐπιεικὲς, ἤτ' ἔχεμεν, παρὰ σοί· νῦν δὲ μνησώμεθα χάρμης Αἶψα μάλ'. Il. 19, 147. Vel oblitus est Homeri sui sophista, vel eum non est sequutus, neutro modo excusandus. —Addidi lemma.

(2) Si ἐπὶ τούτοις significat, quod significare videtur, « post illos », animadvertendum est Phœnicem verba fecisse, non post duos legationis socios, sed post Ulyssem et ante Ajacem. Vide Il. 10.

(3) Conf. n. 1, p. 144.

(4) At si ipsi secum Briseidem adduxissent legati, non minor exprobranda fuisset Achilli mollities animi et morbosa mulieritas.

(5) Philostratus Epist. 5 : οἱ ὀφθαλμοὶ ξύμβουλοι τοῦ ἐρᾷν· σὺ δὲ ἀκοὴν σπάσας, ἐρᾷς. Videsis quæ ibi adtuli, et supra, p. 55, n. 1.

δὲ τὼ χεῖρε, καὶ δακρύσας ὑφ' ἡδονῆς ὁ γεννάδας. « Διὰ σέ » φησίν, « ὠργίσθην, διὰ σὲ διαλλάττομαι ».

Ταυτί σοι Χείρων παρέδωκε; ταῦτα μετ' ἐκεῖνον ἐγώ; Ὁ μὲν ἤσκει τὼ πόδε πρὸς δρόμον, ἐγύμναζεν εἰς ὅπλα καὶ βέλη καὶ πολέμου παρασκευήν· κρατεῖν ἐδίδαξε θηρίων· ὡς ὤφελεν ἔρωτος! Ἐγὼ δὲ πρὸς λόγον δραμὼν ([1]) ἀνῆγον τὴν γνώμην, ἐπαίδευον, ἀπέδειξα στρατιώτην τὸν παῖδα καὶ ῥήτορα· « μουσικὴν » εἶπον, « ἔγνως, ἵνα μετρῇς τὸν « θυμόν, ἵνα ῥυθμίζειν οἶσθα ([2]) πρὸς ἡδονὰς τὴν ψυχήν, ἅτε χρὴ πη- « δώσαις ἐπιφέρων ἐκ λόγου ζυγόν. Ἔχε πρὸς ὕβριν μετρίως, καὶ πα- « ροινοῦντα φέρειν ἐπίστασο ».

Τούτων ἀκούσας ὑπερέχηρεν ([3]) ὁ Πηλεύς, καὶ χρηστὰς εἶχεν ἐπ' ἐμοὶ καὶ τῷ παιδὶ τὰς ἐλπίδας. Καί με συνεκπέμπει πρὸς Ἴλιον. Μετὰ ([4]) γῆρας ὤφθην στρατιώτης, ἵνα καὶ σύμβουλος ([5]), καὶ τοῖς τοῦ παιδὸς ἐπεγραφόμην καλοῖς· καθεῖ... Ἀλλ' ἐν ἐπαίνοις ἐγώ. Ἔπιπτεν ὁ Κύκνος ([7]), καὶ τῆς εὐκλείας ἀπέλαυον. Πόλεις ἠριθμοῦντο... ὁ Φοῖνιξ ([8]) ἐν ἐπαίνῳ καὶ φήμῃ. Νόσος εἶχε τὴν Ἑλλάδα, καὶ πέπαυται... καὶ τοῖς ἀρίστοις ἐπεγραφόμην. Τὰ δὲ μετὰ ταῦτα δακρύω λέγων. Ἐρ...δος τὰ πρῶτα ἔλεγεν· ἠπείλουν, ἐλοιδοροῦντο. Ἠδίκει μὲν Ἀγαμέμνων... λαβεῖν ([9]) ἐπ' ἀριστείᾳ δοθέν· ἐπ' αὐτῷ δὲ πάσχει τὴν ψυχὴν Ἀχιλλεύς, καὶ πέρας οὐκ ἦν ἔρα... οὐδὲ δίδωσι τῇ γνώμῃ λήθην ὁ πόθος. Ἀχιλλεὺς μὲν ἐπὶ τούτοις ἡδέως... πτώματα· ὁ μὲν ἀποστὰς τῶν Ἑλλήνων, ὁ δ' ἐντρυφῶν τῶν... Ἑλλήνων γὰρ εἰς τὸν παῖδα παροινίαν, τὴν ἄμετρον ὀργὴν Ἀχιλλέως, συμφορὰς ἐπὶ τούτοις Ἑλλήνων πιπτόντων ἄλλων ἐπ' ἄλλοις· καί περ ἀπειλοῦντος, ὅπερ οἶδε ποιεῖν· πλὴν ἀλλ' ἐδόκει· καὶ πρέσβεις ἡμεῖς, καὶ πᾶσα

([1]) Sic M. Non assequor quid velit δραμών.

([2]) Sic M. Fortasse εἰδῇς. Statim M, ἅτε χρῆ. Pro edito πηδώσας, scripsi πηδώσαις. Hiulcus locus.

([3]) M. ὑπερέχηρεν. Tempus est alibi vix obvium.

([4]) M., πρὸς... μετά. Inserui Ἴλιον. Fors. παρὰ pro μετά.

([5]) Forsan, στρατιώτης ἅμα καὶ σύμβουλος. Mox Ed., ἀπήλαυον.

([6]) Fors. καλοῖς καθηγεμών· ἀλλ'. Sed puto lacunam esse ampliorem.

([7]) De Cycno Colonarum urbis rege, quem Achilles interfecit, vide Fischer. Indice Palæphati; Dacer. ad Dictyn 2, 12; Clavier. Hist. Gr., t. 1, p. 292; Meziriac. ad Ovid., t. 1, p. 237.

([8]) Ed., ἠριθμοῦντο... ὁ Φοῖνιξ. Deest ἐκπερθόμεναι, vel ejus sensus aliud verbum. Erant numero tres et viginti. Vide Declam. Patrocli.

([9]) Forsan, τὸ γέρας λαβών.

τῆς Ἑλλάδος ἐν ἡμῖν ὑπῆρχεν ἐλπίς. Καὶ πολλὰς μηχανὰς εὑρόντες πεῖσαι ψυχὴν ὀργῇ καὶ πόθῳ κρατουμένην, οὐκ ἔσχομεν· ἀλλ' ἦν ἄρα μία μηχανὴ ποθοῦντι, τῆς ἐρωμένης ἡ θέα. Ταύτην οὐκ ἐπῆλθε μαθεῖν, οὐκ ἐμοὶ τῷ πρεσβευτῇ (¹), οὐκ Ὀδυσσεῖ τῷ σοφῷ, οὐκ Αἴαντι τῷ γεννάδᾳ. Τὸ μὲν πάντων ἀποτυχεῖν σοφώτερον ἐποίει πρὸς τὸ τυχεῖν Ἀγαμέμνονα· στείλας γὰρ εἰς σχῆμα πένθους τὴν κόρην, ὅπερ ἤθελεν ἔτυχεν. Οὐ γὰρ ἤνεγκεν ὁ τοῦ Πηλέως τὸ θέαμα, τὸν δὲ θυμὸν αὐτοῦ διέλυεν ἡδονή, καὶ διδασκάλου κρείττων γυνή, καὶ κορὴ σοφοῦ, καὶ συγγενείας (²) αἰχμάλωτος· καὶ τὸν ἐκ λόγου καὶ τέχνης ἔρωτα παρῆλθε πειθώ (³). Λοιπὸν ὁ Θέτιδος νικάτω τοὺς ἥρωας. Οὐ γὰρ καλύψει τὴν αἰσχύνην ἡ νίκη. Τίς ἡμῖν ἔσται ταῦτα μαθὼν ὁπλίτης; εὐκλεεῖς (⁴), ὦ Χείρων, γεγόναμεν. Εἴθε κἀγὼ μὴ παρῆν! οὐ γὰρ ὅμοιον αἰσχύνεσθαι παρόντα, καὶ πόῤῥω τούτων ἀκούειν. Σὺ δὲ νῦν, Ἀχιλλεῦ, τῆς αἰχμαλώτου μετὰ τῆς ἐντεῦθεν ἀδοξίας ἀπόλαυε (⁵).

(¹) Forsan πρεσβύτῃ. Non potuit, ut senex et amoris ineptas cupiditates oblitus, Achillis mentem percipere.

(²) Ajax scilicet et Achilles fratres erant patrueles. Vide et infra Declamationem Patrocli.

(³) Sic Editio. Forsan, suadente sententia, καὶ τὴν ἐκ λόγου καὶ τέχνης ἐρωτικὴ παρῆλθε πειθώ.

(⁴) Potest in εὐκλεεῖς quidem inesse ironia. Attamen nullus fere dubito quin ἀκλεεῖς sit rescribendum.

(⁵) Ed., ἀπόλαβε. Rescripsi secure ἀπόλαυε. Propter formæ et pronunciationis similitudinem ἀπολαύω et ἀπολάβω constanti permutatione confusa esse notissimum. Videsis not. ad Aristæn., p. 519; ad Planud. Metam., p. 492; ad Anecd. Gr., t. 1, p. 379; Reisk. ad Liban., t. 3, p. 382. Theophilus Alex. Diss. De homine cui similis rei, p. 22 : εἶτα ἀπέθανεν ταλαίπωρος (leg. ὁ ταλ. ex cod. 1013)... γινώσκων ἀκριβῶς, ὅτι ἄλλοι τὰ ὑπ' αὐτοῦ... συναχθέντα κληρονομήσουσι καὶ ἀπολαύσουσιν ἀχαρίστως αὐτῶν. Codex male ἀπολάβωσιν.

ΕΚΦΡΑΣΙΣ ΩΡΟΛΟΓΙΟΥ [1].

Ἡ τῶν παρόντων ἔκφρασις ἔργων δεῖ μὲν λόγου πρὸς τὴν τέχνην ἁμιλλωμένου · εἰ δὲ τούτων ἐλάττων ὀφθείη, καὶ τοῦτο τοῦ ποιήσαντος θαῦμα, ὅτι κρείττων γέγονε πράττων ἢ ψιλῶς εἰρηκότες ἡμεῖς. Ὅθεν εἰς ἔπαινον αὐτῷ τελευτᾷ [2], καὶ τῷ ἀγαθῶν αἰτίῳ τὴν πρέπουσαν εἰς δύναμιν ἀποδίδωσιν εὐφημίαν, δι' ὃν ἡ πόλις τῶν ἁπάντων ἀπολαύειν ἔσχεν εὐτυχημάτων.

ΕΚΦΡΑΣΙΣ.

Ἄλλοι μεν ἄλλα ὁρώντων [4], καὶ, εἴγε βούλοιντο, λέγοιεν · οἱ μὲν

(1) Ex Spicilegio Romano, t. 5, p. 422, cum lemmate hocce latino : « Choricii monitum de subsequentibus descriptionibus. » Ipse lemma feci græcum, quod ad descriptionem quæ sequitur solam pertineat.

(2) Forsan αὕτη τελευτᾷ. Sed finis deest in codice.

(3) Maius vir eminent. Præfatione, p. xxvi : « Est autem in libro nostro apprime notabilis publici horologii apud Gazam descriptio ; in qua hand scio an rotarum quasi machinationem, vel perpetui cujusdam motus jam tum in oriente usum cognoscere liceat. Aquei certe motus, sed vulcanii tantummodo mobilis artificii mentio fit »... Atque ibidem idem in nota subjecta : « Gazæum horologium sæculo septimo, id est Choricii ætate, stupori fuisse videmus. Ecce autem initio sæculi noni, teste annalista Saxone ad Christi annum DCCCVII, paris fere artificii horologium, sed tamen aqueum, a rege Persarum Abdalla missum fuit ad Karolum Magnum imp., Aquisgrani sedentem, quod attulit ejus legatus cum monachis, qui de Hierusalem urbe legatione pariter sui patriarchæ Thomæ fungentes veniebant. Sic ergo annalista Saxo : *Misit* (prædictus rex) *horologium ex aurichalco arte mechanica mirifice compositum, in quo* XII *horarum cursus ad clepsydram vertebatur, cum totidem æreis pillulis, quæ ad completionem horarum decidebant, et casu suo subjectum sibi cymbalum resonare faciebant ; additis in eodem horologio ejusdem numeri equitibus, qui per duodecim fenestras completis horis exibant, et in cursu egressionis suæ totidem fenestras, quæ prius erant apertæ, claudebant. Nec non et alia multa in eodem horologio erant* ».

(4) Erit ὁρώντων imperativus.

Αἰγύπτου Πυραμίδας, οἷα δὴ τὰ Αἰγυπτίων ᾀδόμενα· ὁ δέ τις ἐπιδημῶν Βαβυλῶνι (1) Βὴλ Διὸς ἱερὸν ἴδοι, καὶ ἑτέρους ἐφ' ἑτέρῳ, ἄλλον ἐπ' ἄλλῳ, πύργους ὀκτώ (2)· ὅμως δὲ (3) παραλαβέτω τὸν Ἥφαιστον, καὶ θεῶν οἴκους αὐτῷ παρεχέτω δημιουργεῖν, « τοὺς Ἥφαιστος ἐποίησεν εἰδυίῃσ πραπίδεσσι », καὶ, « ἀμφιγύην » εἶναι λεγέτω τὸν αὐτὸν θεὸν, ἀεὶ καὶ προσεδρείας τὴν αὐτοῦ τέχνην δεομένην εἰδώς· τοιοῦτον γὰρ τὸ μὴ κινεῖσθαι προσκαρτεροῦντα τοῖς ἔργοις (1). Εἰδυίας οὖν ἔχων φρένας καὶ σῶμα ἐφ' ἑνὸς ἱδρυμένον χωρίου, νῦν μὲν τὴν ἀσπίδα τὴν Ἀχιλλέως (4), ἔργον ἐξαίσιον Ὁμήρῳ, ποιεῖ, καὶ διακονοῦσιν αὐτῷ πρὸς τὴν χρείαν ζῆν εἴδωλα δοκοῦντα, καὶ τὴν φλόγα ζωπυροῦσιν αὐτομάτῳ φορᾷ (5)· εἰς τὴν Φαιάκων δὲ νῆσον ἐλθὼν, κύνες ἦσαν Ἀλκίνῳ φύλακες τῆς αὐλῆς· οἱ δὲ κύνες οὐχ οἱ συνήθεις οὗτοι καὶ ζῶντες, χρυσὸς δὲ νὴ

(1) Martialis Spectac. 1, Schneidewianæ : «Barbara pyramidum sileat miracula Memphis, Assyrius jactet nec Babylona labor ».

(2) Herodoti verba 1, 181, apposita videsis ad similem Choricii locum p. 105.

(3) Forsan ἄλλος δέ. Quæ sequuntur poetica verba ex Il. 1, 607 desumpta : ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις Ἥφαιστος ποίησ' εἰδυίῃσι πραπίδεσσι. Iotacismus peperit scripturam editionis ἰδίῃσι, cetera menda memoria vacillans. Reposui saltem εἰδυίῃσι, quum sic dedisse Sophistam ipsum pateat ex sequentibus : « εἰδυίας οὖν ἔχων φρένας. Potuissem et ἰδυίῃσι ponere ob ἐποίησεν, vel ἐποίησ' εἰδυίῃσι. Est et similis alius locus Od. 7, 92 : κύνες Οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσιν.

(4) An hæc interpretatio allegorica epitheti ἀμφιγυήεις aliunde nota sit, non memini.

(5) Mentio clypei a Vulcano in Achillis usum fabricati me ducet obiter ad Electræ Euripideæ locum difficilem, v. 440 : Νηρῇδες δ' Εὐβοΐδας ἀκτὰς λιποῦσαι Ἡφαίστου χρυσέων ἀκμόνων μόχθους ἀσπιστὰς ἔφερον τευχέων· ἀνά τε Πήλιον ἀνά τε πρυμνᾶς Ὄσσας ἱερὰς νάπας Νυμφᾶν σκοπιὰς κόρας μάτευσ'· ἔνθα... Ut brevis sim, aliorum opiniones non memoro. Nereides, ut est et in Plautina Epidico, 1, 34, Achilli arma ferunt. Unde? e domo Vulcani : vid. Il. 18, 369. Quæ domus est sita Liparen inter et Siciliam, teste Virgilio AEn. 8, 422 : Intelligo igitur Εὐβοΐδας ἀκτὰς non de insula Eubœa, sed de locis circa Siciliam et mare Siculum, quum fuerint et in insula et in Magna Græcia coloniæ Eubœensium, Trojano bello recentiores quidem; sed tales anachronismi in poeta ferendi. Relinquunt ergo Nereides « Euboicas oras, Euboicum litus », quæ vocat Virgilius, et iter ad Trojam faciunt, « perlustrantes oculis » montes quos habitavit Achillis pueri magister Chiron. Lego enim ἀνα... κόραις ματεῦσ', scilicet ἀναματεῦσαι. Dixit quidem vir præcipuus ab hoc dorismi genere abstinuisse tragicos. Sed ipse novit apprime dorismos nonnusquam in atticorum poetarum tragœdiis reperiri δωρικωτάτους.

(6) De follibus Vulcani mirabilibus vid. Il. 18, 468.

Δία καὶ ἄργυρος τὴν Ἡφαίστου κίνησιν ἔχοντες (¹). Ταῦτα μὲν οὖν μῦθός τε ἦν ἐμοὶ καὶ λόγος ἐδόκει, καὶ Ὅμηρος ἐτρύφα τῇ τέχνῃ λέγων ἐπ' ἀδείας ἃ μήτε ἦν, μήτ' ἐγένετο πώποτε· νυνὶ δὲ τοῦ παρόντος Ἡφαίστου ἔργα καὶ τέχνην ἰδὼν,... ταῦτα (²), κἀκείνοις ἀληθέσιν εἶναι συγχωρεῖν ἐπιτρέπω.

Λέγειν οὖν ἐθέλοιμι ταῦτα καὶ εὔχομαι. Νικᾷ γὰρ λόγον ἡ θέα, ἀμηχανοῦσα καὶ αὐτὴ πρὸς ὅ τι δέοι, φερομένη ἐς πάντα· μεταπηδᾷ γὰρ ἄνω καὶ κάτω, καὶ πάντα βλέπειν ἐθέλει· εἶτα, θᾶττον ἤπερ ἔδει μεθισταμένη, τῆς ἐφ' ἑκάστῳ τοιούτων ἀκριβείας ἐκπίπτει. Οἶδα τοῦτο παθών. Οὔτε γὰρ τοῖς πρώτοις ἐκαρτέρουν (³) ἐπιθυμίᾳ τῶν ἄλλων, τὰ δὲ δεύτερα πρὶν ἔχειν ὡς ἔδει, ἐπὶ θέας ἀνεχώρουν ἑτέρας· καὶ ἦσαν ὀφθαλμῶν ἑλιγμοὶ, καθὰ τοῖς ὁρῶσι τὸν πρὸς Νείλῳ λαβύρινθον, Ἰωνικός τις ἔφησε συγγραφεύς (⁴).

Πόθεν οὖν ἀρκτέον ἂν εἴη; τί δὲ πέρας, ὦ φιλότης, ἐπιθήσομεν τῷ λόγῳ (⁵);

Οἶκος ἔστιν ἐν μέσῃ τῇ πόλει μέτρα φέρων, ἀντιπρόσωπος μὲν τῇ βασιλείῳ στοᾷ. Ἐξ εὐωνύμου δὲ χωρίον ἄπειρ... θέρους. Διτταὶ δὲ τούτου κιόνων προσέστηκε συζυγία (⁶)· πρὸς τὴν ἕω καὶ δύσιν μεμερισμένοι, πολλῷ... οῦντες τὸν κατόπιν οἶκον δρᾶσθαι, ὥστε μηδένα τοῖς δρωμένοις παρενοχλεῖν· Ὁ μαρμάρων πτύχις τῶν κιόνων τὰ μέσα (⁷) συνε... ἐμπεπηγότων σιδήρου κωλύων τοῦτο τῶν εἴ τις προπετὴς καὶ ὑπερβῆναι φιλονεικεῖ. Ἀλλὰ καὶ Γοργὼ... βλοσυρὸν... τοῖς ὅσοι γνώμῃ προσελθεῖν αὐθαδεστέρᾳ τολμῶσιν, ἐναλλάττουσα τοὺς ὀφθαλμοὺς ὁπόσα τῆς ἡμετέρας... ἀποτέμνων ὁ Περσεὺς, εἴ τις ἐλύπει, λίθον ἔδει γενέσθαι φανερῶς. Ταύτην ἂν εἶπεν ἡ τραγῳδία αἱματωπόν τε καὶ δρακοντώδη κό-

(¹) Vide Odyss. 7, 91.

(²) Sic Ed. Forsan ἐθαύμασα ταῦτα, et mox συγχωρῶν.

(³) Ed., ἐγκαρτέρουν. Forsan ἐνεκαρτέρουν.

(⁴) Ed., ὁρῶσι... είλῳ. Lacunam implevi; adeo supplementum certum esse videbatur. Respicitur Ionicus scriptor Herodotus 2, 148, in labyrinthi descriptione : αἵ τε γὰρ ἔξοδοι διὰ των στεγέων, καὶ οἱ ἑλιγμοὶ διὰ τῶν αὐλέων ἐόντες ποικιλώτατοι, θῶυμα μυρίον παρέχοντο. Et hic memoriter locum Herodoti allegavit sophista, nomenque ἑλιγμοὶ retinens ejus sensum erat oblitus.

(⁵) Ed., ἐπιθήσομεν... ω.

(⁶) Sic Ed. Forsan διττὴ δὲ τ. κ. προέστηκε συζ.

(⁷) Ed., παρενοχλεῖν ὁ μαρμάρων πτύχις · τῶν κ. Distinxi aliter. Forsan πτυχὶς potius quam πτύχις scribendum. Sed sine codice luditur opera. Locus est alte corruptus.

ρην (¹). Εἰ τοιούτους εἶχε... φέρει τῷ πεπληγέναι μέλλει τοὺς τὸ παρὸν ἔργον δρῶντας ἐκπλήξει... τῶν ἔργων ἡψάμην. Θύραι γὰρ παράκεινται, καὶ τάς γε τῆς ἡμετέρας κρύπτ... γραφὴ δὲ ταύτας. Ὅθεν εἴ τις ἴδοι κοσμεῖ, ἅπερ ἀναπετάσαντες, εἰ μὲν ἄνωθεν... τὸν ὕμνον, πρῶτον ἔσται τῷ λόγῳ. Διὸ μενέτω τὴν ἑσπέραν καὶ τὸ ἑ... Ἀλλὰ προέλαβε τῇ παραδόξῳ κινήσει... μάλων φοβεῖ τοὺς θεατάς.

Τὰ δὲ μέσα ταῦτα σκοπῶμεν ὡς ἔχει. Χαλκοῖ (²) τινες ἀετοὶ πρὸς ἕνα στοῖχον ἑστᾶσι ταῖς ὑποκειμέναις ὥραις ἴσον ἔχοντες ἀριθμόν. Στεφανηφοροῦσι δὲ πάντες, οὐ κορυφὴν ἐστεμμένοι, οὐδὲ νίκην δηλοῦντες ἰδίαν· ἄκροι δὲ ποδῶν ὄνυχες εἰς ταὐτὸν ἐλθόντες συνέχουσι τοὺς στεφάνους, καραδοκοῦντος ἑκάστου τὸν ὑπ' αὐτῶν Ἡρακλέα, πηνίκα τῶν ἐπικειμένων ἔξίοι θυρῶν, παραλλάξαντος αὐτοὺς τοῦ πρὸς τούτων ἑστῶτος ἡλίου· βαδίζει γὰρ οὗτος μετρῶν τὴν ὥραν κινήσει. Ὡς δὲ τούτων ἄρχων βασιλικὸν ἀνείληφε σχῆμα, λαιᾷ μὲν χειρὶ τὸν πόλον ἀνέχων, ἀνατάσει δὲ δεξιᾶς ἀφεῖναι κελεύων τὰς θύρας, ὥσπερ οἱ τοὺς ἵππους ἐξιέναι τῶν βαλβίδων κελεύοντες. Καραδοκῶν οὖν ἐφέστηκεν ἀετὸς ὁπότε τῶν ἐπικειμένων ὁ τοῦ Διὸς Ἡρακλῆς ἔξίοι θυρῶν ὥρας ἀγγέλλων· ὁ μὲν πρῶτος τὴν πρώτην, πρὸς δὲ τὸν ἀριθμὸν οἱ λοιποί. Δώδεκα μὲν γὰρ ὧραι, πᾶσαι δὲ εἰσίν. Ἡρακλῆς οὐκ ἀργός, μὰ Δία, καὶ πράττων οὐδέν· ἀργεῖν γὰρ ὅλως οὐ φίλον ἦν Ἡρακλεῖ. Οἱ πάλαι δὲ ἆθλοι· καὶ νῦν ἔργον αὐτῷ οὐχ Εὐρυσθέως ἔτι, ἀλλὰ τέχνης ἀνάγκη. Συνδιῄρηται δὲ τοῖς ἄθλοις διττὴν ἑξάδα πληρῶν.

Πρῶτον οὖν ἀγώνισμα λέων, καὶ ἡ Νεμέα χωρίον αὐτῷ. Ἀνεῖλε καὶ τὴν ὕδραν, εἰ καὶ φιλονείκοις ἐτέμνετο κεφαλαῖς. Ἠρυθρία δὲ νικῆσαι κάπρον, ἀλλ' ὅμως ἐνίκα. Χρυσᾶ ἐλάφῳ ἐπεφύκει τὰ κέρα, καὶ γέγονεν Ἡρακλεῖ (³). Ἀλλὰ μὴν ὄρνιθες ἐλύπουν τὴν καρδίαν, καὶ ἔργον ἦσαν τοῦ τόξου. Οὐδὲ τὰς Ἀμαζόνας ἀκεραίους ἀφῆκεν· εἰ μὲν ζωστῆρά τινα ζητῶν οὐκ ἂν εἴποιμι, ἐμίσει δὲ γυναῖκας, ἀντιανείρας (⁴) ἀκούων. Αὐγείαν κόπρος ἐλύπει, καὶ ταύτης ἐλεύθερος ἦν. Ἡ δὲ Κρήτη ταῦρον μὲν

(¹) Orestes Euripideus v. 249 : Ὦ μῆτερ, ἱκετεύω σε, μὴ ἐπίσειέ μοι Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας. Respexit procul dubio hunc locum Choricius; sed Furias innuit poeta, non Gorgonas.

(²) Ed., χαλκοί.

(³) Ut hic γέγονεν Ἡρακλεῖ, sic mox τὰ μῆλα ἦν Εὐρύσθει.

(⁴) Homerum sequitur Il. 3, 189 : ἤματι τῷ ὅτε τ' ἦλθον Ἀμαζόνες ἀντιάνειραι.

εἶχε δεινὸν, ἀλλ' οὐχ ὥστε νικᾷν Ἡρακλέα. Τί δ' ἂν εἴποις Διομήδους τὰς ἵππους (¹); οὐ μέχρι τούτου φονικαί τε ἦσαν καὶ ἴσαι θηριοις; Ἀλλὰ καὶ Γηρυόνης (²) ἐκόμα βουσὶ, καὶ τρεῖς αὐτῷ κεφαλαί· μετὰ δὲ τῶν βοῶν, οἶμαι, καὶ ταύτας ἀφῄρατο. Οὐδὲ τὸν ᾅδην ἀφῆκεν ἀπείρατον ἀρετῆς, πρὸς τὸν ἐνταῦθα κύνα μάχην ἀράμενος καὶ δείξας ἡλίῳ τὸ τέρας. Ἔδει καὶ μήλων χρυσῶν Εὐρυσθεῖ πρὸς ἐσχατιὰν κειμένων τῆς γῆς· Ἑσπερίδων μὲν τὰ μῆλα, δράκων δὲ φύλαξ ἦν οὐ φορητὸς ἐς ἀλκήν· ἀλλ' ὁ μὲν ἔκειτο βληθεὶς, τὰ δὲ μῆλα ἦν Εὐρύσθει. Ταῦτα Ἡρακλέος ἔργα καὶ πόνοι.

Ἐντεῦθεν ὧραι καὶ στέφανοι, καὶ χαλκὸς παρὰ φύσιν ἐπτερωμένος. Τὰς οὖν χαλκᾶς ἀπωσαμένῳ θύρας, καὶ σὺν ἄθλῳ (³) φανέντι ἐφέπεται μὲν ἄνωθεν ἀετὸς, πτέρυγάς τε ἁπλώσας καὶ πόσιν ἀμφοτέροις ἴσον ἴσῃ κεφαλῇ τὸν στέφανον ἐπιφέρων, βραχὺ δὲ διατρίβει καθάπερ ἀπολαύων ἡρωϊκῆς κεφαλῆς. Εἶτα τοῦτον ἀφεὶς Ἡρακλεῖ, καὶ διαστήσας τὼ πόδε, μετεωρίζεταί τε καὶ ὃν εἶχε τόπον λαγχάνει, ταῖς πλευραῖς ἐπιθεὶς τὰ πτερὰ καὶ συνάγων αὖθις ἐφ' ἑαυτὸν, θήραν ἀποδοὺς ἀγαθήν· ἀλλ' οὐ συνῆλθε λαχών. Πρός γε μὴν (⁴) τοὺς στεφάνους προκύπτει μὲν Ἡρακλῆς ὡς ἂν ὁρῷτο πᾶσιν ὡς ἐν μέσῳ σταδίῳ, κἆτα πρὸς ἰδίαν ἐτράπετο χώραν, οὗπερ ἐπόθει τυχών· ἀετὸς δὲ τῷ στεφάνῳ διακονεῖ· ὅ τε Ζεὺς μὲν Ἡρακλέους πατὴρ, ἀετὸς δὲ ὄρνις Διός. Ὡς οὖν ἐξ οὐρανοῦ καὶ πατρὸς μισθὸν ἱδρώτων στεφανοῖ νενικηκότα τῇ μνήμῃ τοῦ πάθους, καὶ ὑπερίπταται καὶ κρατεῖ τῶν ὀρνέων, καθάπερ οὗτος ὑψοῦτο τῇ φήμῃ. Οὐ δεῖται δὴ κήρυκος ἀναγορεύοντος τοὺς στεφάνους.

Ἐν ἑτέρῳ δὲ τόπῳ μέσην ἐπέχοντι χώραν, μεγάλῳ τε καὶ καταπλήττειν εἰδότι, καὶ προβεβλημένῳ τῶν ἄλλων, οὔπω μὲν ἴουλον ἕλκει, ἕστηκε δὲ γυμνὸς, πλὴν ὅσα τῶν ὤμων ἐξῆπται κατόπιν ἡ λεοντῆ, ἀνέχει δὲ τῇ λαιᾷ ἠχεῖον (τοῦτο καλεῖται λέων, ἔφησεν ὁ τεχνίτης)· ἐκ μέσου δὲ κρέμαται καὶ σαλεύει· καθώπλισται δὲ κορύνῃ τὴν δεξιὰν, ἀντὶ ἰδικῆς καὶ τῆς ἐκείνου βοῆς, ἀνατείνει τε ταύτην, καὶ δίδωσι πληγὴν τῷ χαλκῷ. Ὁ δὲ μετέωρος ὢν καὶ τοσαύτῃ ῥώμῃ πληγεὶς, βοᾷ τε μέγα καὶ παρατείνει τὸν ἦχον. Ὑφ' ἑνὶ μὲν οὖν ἄθλῳ μία πληγὴ, ἐφ'

(¹) Ed., τοὺς ἵππους.

(²) De Geryonis mytho eruditissima legenda est Dewittii dissertatio celeb. antiquæ artis interpretis.

(³) Ed. συνάθλῳ.

(⁴) Ed., μέν.

ὥρᾳ δὲ δευτέρᾳ διττή· συλλέγει γὰρ ἐφ' ἑκάστῃ καὶ τῶν φθασάντων ἄθλων τὸν ἀριθμὸν, μέχρι πληρώσας ὡς... ταῦτα... θει τὴν ἀκοὴν ἀποκναίοι, τὴν ἑβδόμην πρώτην ἡγεῖται καὶ μίαν ἠχεῖ... τὰς ἄλλας ὑποσημαίνων· τοσαῦτα φωνήσειεν ὁ χαλκὸς εἰς ἑξάδα δευτέραν... ἢ καὶ πάρεστι θέα. Πόῤῥω δὲ λαχοῦσι τὴν στάσιν εἰδέναι τοῦ χρόνου τὸ... δηλοῖ (¹) δὲ τοῦτον εἶναι δασύ τε γένειον καὶ κέρας ἐν μετώπῳ διττόν· ἐς... ἐδίδου τὸν Πᾶνα· ποθῶν δὲ τὴν Ἠχὼ, αἰσθάνεται τοῦ χαλκοῦ, και... καὶ περιφέρει τὸ πρόσωπον, εἴ πως ἴδοι τὴν κόρην, στροφὰς στρεφόμενος (²) ὁποίας ἔρως ἀτυχῶν ἐμποιεῖ. Εἴποις (³) δ' ἂν αὐτὸν καὶ τὸν Ἡρακλέα θαυμάζειν ὁπόσος καὶ οἷος.

Ἔδει δὲ Πανὸς παρόντος μηδὲ Σατύρους ἀπεῖναι. Ἐπιγελῶσι δὲ, καὶ κωμικῶς μὲν εἰληφότες τὸν Πᾶνα, πρόσωπον δρῶντες ἐρωτικόν τε καὶ ἄγριον, καὶ ἦθος κεκραμένον (⁴) ἥμερόν τε καὶ ἀπηνές. Ἀλλ' οὗτοι μὲν ὑπὲρ κεφαλῆς τοῦ νεὼ, καθ' ὃν ὁ τῆς Ἀλκμήνης δρᾶται γυμνός. Ὁ δὲ τοῦ Τυδέως στάσιν λαχὼν δεξιὰν, ἦν ἄρα καὶ νῦν τῇ σάλπιγγι φίλος. Ἐπιβοᾷ γὰρ Ἡρακλεῖ πρὸς ἆθλον πέμπτον ἐλθόντι, καθάπερ ἐν Σκύρῳ τὸν Πηλέως εὑρών (⁵). Τοιοῦτον γὰρ ἦγε καὶ τότε τοῦτο μέτρον, ἴσας ἡμέρᾳ (⁶).

Οἰκέτης δέ τις ἀκούσας λουτροῦ φέρει παρασκευὴν τῷ δεσπότῃ, ὡς εἰκὸς, ἤδη τῶν ὄψων ἡτοιμασμένων· ἃ δὴ φέρων ἄλλος ἐξ ἀγορᾶς ἀρχομένης ἡμέρας, ἐπείγεται. Ἐοίκατον δὲ ἄμφω δυσκόλῳ δεσπότῃ διακονεῖν· οὐ γὰρ ἂν τόσοῦτος ὑπῆρχεν ὁ δρόμος.

Καὶ ποιμὴν δὲ ἐκεῖνος τὴν ἔναντι στάσιν λαχὼν, παραδοὺς τῇ λαιᾷ,

(¹) M., δηλεῖ.

(²) M., στεφόμενος. Correxi στρεφόμενος. Reddendum id verbum epigrammati Anecdotorum Paris. t. 4, p. 527, 17 : Σταφεῖσα δ' αὕτη πρὸς νοητὸν φωσφόρον, Ἄνω πρὸς αὐτὸν, ὡς σελήνη πρὸς πόλον. Legere suadet vir d. σταθεῖσα vel ταφεῖσα. Legendum omnino quod exhibet nitide codex, στραφεῖσα.

(³) M., εἴπας.

(⁴) Ed., κεκραμμένον.

(⁵) Libanius de Diomede in insula Scyro tubicine, t. 4, p. 1035 : Διόμηδες φίλτατε, μακρὰν ἀπ' ἐμοῦ καταβόα τῇ σάλπιγγι : verba sunt Achillis. Apud Statium Achill. 2, 50, Ulysses, Scyrum cum Diomede profectus, secum lituo bonum duxit Agyrten; et ibid. 201 : « Grande tuba sic jussus Agyrtes Insonuit ». Atque Philostratus Junior, Icon. 1, Ulyssi et Diomedi comitem dat tubicinem innominatum. Ibi Jacobs., collato Drelincurtii Achille p. 29, 585. Sed et memorabitur p. 170, in descriptione tabulæ pictæ Diomedes signum certaminis tuba daturus, et in Patrocli Declamatione acuit tubæ clangoribus in pugnam militum animos.

(⁶) Editio sic.

ποιητικῶς εἰπεῖν (1), τὴν καλαύροπα, ἥδεταί τε καὶ μειδιᾷ, καὶ ἀνυψοῖ πρὸς θαῦμα τὴν δεξιάν. Ἀλλὰ ταύτῃ μὲν ἀμφὶ τοῖς ἄθλοις ἦχος καὶ θαῦμα καὶ σάλπιγξ. Ἀναλαβὼν δέ τις τῶν ἄνωθεν ἀγώνων, ὁ σοφὸς οὑτοσὶ μείζονι τοῦτον δίδωσιν Ἡρακλεῖ.

Τοξότης μὲν οὗτος ὑπὸ τῷ Διομήδει σταθείς· ὁ δὲ ἆθλος μῆλα πάλιν χρυσᾶ. Βέλος μὲν οὖν οὗτος ἐπέθηκε τῇ νευρᾷ, ἑλκομένῃ μὲν ἐπὶ μαστὸν χειρὶ δεξιᾷ, τῆς εὐωνύμου δὲ τόξον ὠθούσης, τὸ μὲν ἀμφοῖν τῷ βέλει τὸ μῆκος προκυπτούσης ἔξω τῆς προβεβλημένης ἀκίδος. Πρὸς ἀκριβῆ δὲ θέαν συνάγει τὸ βλέμμα ἐπὶ λεπτοῦ σκοποῦ μᾶλλον ἀφεῖναι τὸ βέλος (2).

(1) Qui poeta innuatur non memini. Eadem loquutio p. 170, 13.

(2) « Imperfecta in codice scriptio est. Quamobrem in margine adnotatur : Ζήτει τὸ λεῖπον · *quære quod deest* ». MAIUS.

ΕΚΦΡΑΣΙΣ ΕΙΚΟΝΟΣ

ΕΝ ΤΗ͂Ι ΠΟΛΕΙ ΤΩΝ ΓΑΖΑΙΩΝ ΚΕΙΜΕΝΗΣ (¹).

Ἔρως δὲ καὶ Ἔρωτος τὰ τοξεύματα πάντως φοιτᾷ καὶ διὰ πάντων διέρχεται, καὶ οὔτε (²) Ζεὺς ἐλεύθερος, ὅταν ἐθέλωσιν Ἔρωτες. Ἀλλ' ὁ σεμνὸς καὶ ὕπατος, καὶ ᾧ τὸ σθένος οὐκ ἐπιεικτὸν, Σεμέλην τε ποθεῖ καὶ Ἥραν περιεργάζεται, καὶ βοῦς Εὐρώπῃ δοκεῖ καὶ νήχεται θάλασσαν ὑπ' Ἔρωτος κυβερνώμενος· κἂν φανῇ χρυσὸς, οὐ φαίνεται Δανάη (³) παρθένος. Ὁ δὲ Ποσειδῶν, δοκοῦν ἐκείνοις, ἀποστὰς θαλάσσης, πρὸς ἤπειρον μετοικίζεται. Καὶ θεὸς Ἀπόλλων διώκει μὲν φεύγουσαν, νικῶν δὲ ἡττήθη φυτὸν κρατήσας, ἀλλ' οὐ παρθένον, τὴν Δάφνην. Ἤδη δὲ τῇ τεκούσῃ προσπαίζουσι μὲν Ἔρωτες· ἐκεῖθεν δ' ἄρα πρὸς Ἄδωνιν ἐνεπτόητο, καὶ βοᾷ τὸ ῥόδον τὸν ἔρωτα.

Οὗτοι δὲ καὶ κατὰ Φαίδραν, ὡς ὁρᾷς, ἀνετείναντο τὰ τοξεύματα.

Ἀθῆναι ταῦτα (⁴), καὶ θέρους ἀκμὴ, καὶ μέσον ἡμέρας. Ὁ δὲ καιρὸς δηλοῦται τοῖς πράγμασι. Θήρα γὰρ ἐνταῦθα καὶ κυνηγεσία, ἐσθῆτές τε τὰ σώματα διαψύχουσαι. Καὶ Θησέως ὕπνος οὐ μὰ Δία νυκτὸς ἐπιστάς· οὐ γὰρ ἂν οἰκέτης αὐτῷ πρὸς ἀποσόβησιν τῶν λυπούντων παρε-

(¹) Ex Spicilegio Rom., t. 4, p. 428. « Mira item est » Maius ait Præf., p. xxvi, « magnæ variæque in eadem urbe picturæ descriptio, quam eruditi cum Philostrati et Luciani imaginibus comparabunt ». Vix intelligi potest quid hoc sit picturæ, εἰκόνος, magnæ, imo maximæ et variæ, tam variæ scilicet ut absurda sit confusio temporum et personarum. Quum plurimæ sint lacunæ, integer codex pictorem absolvet forsan et descriptorem.

(²) Forsan οὐδὲ, « et ne Jupiter quidem liber est ».

(³) Ed., Δανάος.

(⁴) Idem usus neutri pronominis in inscriptione ap. Strabonem 3, p. 133 : Τάδ' ἐστὶ Πελοπόννησος.... Vide Anecd. Gr. t. 4, p. 376.

καθέζετο (¹). Μέση δὲ τῶν βασιλείων (²) ἡ κλίνη, σεμνὴ καὶ μάλα τρυφῶσα, ὑπείκουσα μὲν, ὡς δοκεῖ, τῷ καθεύδειν ἐθέλοντι, χρωμάτων δὲ παραλλαγῇ τὸ ξανθὸν ἀεὶ τῷ κυανῷ παραπλέκουσα.

Τὰ δὲ βασίλεια πυκνοῖς ἐς ὕψος ἀνέχεται κίοσι, καὶ πρὸς, διπλῆν στοὰν τὸν θεατὴν παραπέμπονται. Ἰδοὺ γάρ σοι καὶ πρὸς βάθος εἰσδύονται. Εἰσόδους γὰρ ἡ τέχνη μιμεῖται κοιλαινομένη τοῖς χρώμασι. Ὁ δὲ τοῖχος ἐνδὸν ἀψῖσι πυκνοτέραις διείληπται πρὸς ἀγαλμάτων, ὡς εἰκὸς, ἐσκευασμέναις ἀνάθεσιν. Οἱ δὲ κίονες λευκοὶ μὲν πάντες, οὐ λεῖοι δὲ πάντες, κοιλότησιν ὀρθαῖς κεκολαμμένων τῶν ἄκρων· ὁμοῦ δὲ πάντες χρυσίῳ λαμπρῷ τὰς κορυφὰς ἀποστίλβοντες. Ὀφρὺς δὲ τούτοις ἐπίκειται· ἀλλ' οὐδὲ ταύτην παρεῖδεν ἀκόσμητον ὁ ζωγράφος, ἀλλὰ τοῖς ἐπικειμένοις ἐποίκιλλε γράμμασιν, εἰκόνας ἐν εἰκόσι μιμούμενος.

Ἀλλ' εἴ τί σοι γεγύμνασται πρὸς αἴσθησιν λεπτοτέραν ἡ θέα, καὶ καθαρῷ φωτὶ τῶν σμικροτέρων ἀντέχεται, δίδου μοι ταύτην, καὶ σκόπει. Πῇ μὲν γὰρ κυνηγετήσας ἐστὶν Ἱππόλυτος, καὶ λέοντα τῷ δόρατι βαλὼν οὔπω διανάσταντα (ὤκλαζε γὰρ, ἔτι τὸν θυμὸν ὑποτρέφων, καθήμενος, τῶν ποδῶν τοὺς μὲν πρόσω τείνας, τούτοις δὲ αὐτὸς ἐφιζάνων ὑπὸ γαστέρα κειμένοις... δρῶντα... πρὸς ἔπαινον διανίστησι, χεῖρας αἴροντα μετεώρους τῷ θαύματι, καὶ δίκην ἔχειν οἰόμενος τῆς ἀρνὸς ...μενος. Ὁ δὲ κυνηγέτης τὸν μὲν ἔστησε πόδα, τὸ γόνυ κυρτώσας μετέωρον, τὸν ...τυχὼν, ἀποστραφεὶς προτείνει τὴν δεξιάν· ἑαυτὸν τῆς θήρας πρὸς τοὺς ὄπισθεν οἰκέτας... πνεύμασι παρασύρεται. Ἱππολύτου δὲ τὸν ἵππον τῇ μὲν οἰκέτης ἕλκει, τῇ δὲ τοῦ δεσπότου πρὸς ἔπαινον ἀνατείνεται. Οἰκέτης δέ τις ἄλλος τὰς ἄρκυς ὤμοις ἐπαίρεται. Ταύταις γὰρ τὰ λανθάνοντα τῶν θηρίων, ὕλαις τισὶν ἢ σπηλαίοις εἰσκαταδύντα, περιστοιχίζεται.

Καὶ ταῦτα μὲν ἐκ δεξιᾶς εἰσιόντι προσαντήσειε τὰ γράμματα. Ἐκ δὲ τῆς ἑτέρας λαβύρινθον ὅρα καὶ τὸν Θησέα τῷ Μινωταύρῳ διαμαχόμενον.

Δεινὸν δὲ τὸ θηρίον, ἀνὴρ καὶ ταῦρος· ἑκάτερον ἐλλιπὲς, τῇ δὲ θατέρου προσθήκῃ πληρούμενον· ἄνθρωπος ἐς ὤμους, τῷ βοὶ τὸ λεῖπον δεχόμενος. Τοιγαροῦν αὐτοῦ καὶ τοῦ κέρως ἀντέχεται τῇ μὲν εἰς γῆν κατασπᾶν, τῇ δὲ καὶ πλῆξαι βουλόμενος, ἤδη τῇ λαιᾷ πρὸς πληγὴν ἐπειγόμενος.

(¹) De quo servulo plura, p. 160. (²) Ed., βασιλειῶν. mox ἀψίσι.

Πύλη δέ σοι προσελθόντι τὸ στόμα τοῦ λαβυρίνθου παρίστησιν.

Ἡ δὲ τοῦ Μίνω Ἀριάδνη παρθένος ἐρᾷ Θησέως, παιδὸς ἔτι καὶ καλοῦ μειρακίσκου, καὶ, τὴν τύχην ἐλεήσασα, προτείνει μῖτον αὐτῷ· ὅπερ, ἐξημμένος τῆς θύρας, τῷ τε σκολιῷ τῆς εἰσόδου λυόμενος, καὶ συμπλανηθεὶς εἰσιόντι, χειραγωγήσει (¹) τούτῳ τὴν ἔξοδον αὖθις. Ἐρωτικὸν δέ τι καὶ βλέπει καὶ φθέγγεται, τῇ τοῦ Θησέως ἐπανόδῳ τὸν γάμον τηρήσασα, ἔδνα λαχεῖν ἐξ ἀρετῆς περιμένουσα τοῦ Μινωταύρου τὸν φόνον. Ὡς δεινὸς τοῖς Ἀθηναίοις ὁ φόρος, παῖδες κατηφεῖς καὶ δακρύοντες, ἐς προῦπτον ὄλεθρον τῷ Μινωταύρῳ δοθέντες. οὓς Ἀριάδνη θεασαμένη καὶ τὸν Θησέα τούτοις συναριθμούμενον, ἐρᾷ, δακρύει, καὶ πέπονθε (²) καὶ τῶν δεινῶν τὴν λύσιν σοφίζεται.

Τοιαῦτα μὲν ἐκ περιουσίας παρέῤῥιπται τῷ ζωγράφῳ ποικίλματα.

Ἐν ἄλσει δὲ μέσῳ πεποίηται τὰ βασίλεια· καὶ συνυψοῦται τὰ δένδρα καὶ περαιτέρω προέρχεται, καὶ τῆς ὕλης ἡ κόμη μετέωρος ἀπῃώρηται. Τοῦ δὲ τέγους ὁ ταὼς καθίπταται. Εἴποις δ' ἂν αὐτὸν, πολλῇ κομῶντα τῇ πτερώσει, ἀπεστράφθαι πρὸς ταύτην ἡδόμενον, καί τι παρημελημένον διορθοῦσθαι τῷ στόματι· τάχα δέ τι καὶ δάκνον ἀμύνεται τῇ δέῤῥει πρὸς αὐτὸ διϊχνούμενος. Τῷ δὲ ταῷ τὰ πτερὰ πολλὰ καὶ πυκνὰ καὶ ἄλλα ἐπ' ἄλλοις, καὶ κύκλοι τινὲς ἐν τούτῳ (³) διαφόρῳ φωτὶ καταστράπτουσι χρωμάτων. Ταῦτα γὰρ δίδωσιν αὐτοῖς πρὸς εὐμορφίαν ἡ φύσις, αὐτομάτῳ κάλλει τὸν ταὼ στεφανώσασα· ὅθεν ἔσθ' ὅτε, τῇ πτερώσει γαννύμενος, ἀνορθοῖ ταῦτα μετέωρα, καὶ πρὸς βαθύν τινα κόλπον κοιλαίνει τὸ μέλαν, καὶ παστάδα μιμεῖται τῷ σχήματι.

Πρὸς Διὸς, ὦ φιλότης, μηδὲ τὰς πρὸς θάτερον ἄκρον παραδράμωμεν (⁴) ὄρνιθας, ἃς πελειάδας μὲν εἶπεν ἡ ποίησις (⁵), Ἀφροδίτης δὲ τὸ χρῆμα (⁶) κατὰ δυάδα νεμόμενον. Θηλὺ γὰρ ταῦτα καὶ ἄῤῥεν ἐπ' ἀλλήλοις ἡδόμενα ἔρωτι. Τούτων ἡ μέν τι περισκοπεῖ καὶ πρὸς αὐτὸ τῇ κεφαλῇ μεταφέρεται· τὸ δὲ πρὸς ταύτην ἀφορᾷ πλείονι φίλτρῳ κρατούμενον, ὡς ἔοικε.

(¹) Ed., χειραγωγήσῃ. Permutatio fiit solita vocalium.

(²) Forsan, πέπονθε τὰ δεινὰ, quod firmatur et sequentibus verbis τῶν δεινῶν. Choricius supra, p. 84: ὁ παῖς ἔπαθέ τι δεινόν.

(³) Forsan ἐν τούτοις, scilicet τοῖς πτεροῖς, vel ἐν ταὐτῷ.

(⁴) Ed., περιδράμωμεν.

(⁵) Tragici poetæ, alii, etiam prosæ scriptores.

(⁶) Forsan τὸ κτῆμα.

Τοιαῦτα μὲν ὁ ζωγράφος φιλοτιμεῖται τοῖς βασιλείοις ἐκ τῆς τέχνης τὰ θαύματα.

Μέσος δὲ ἐν μέσοις Θησεὺς, οὐ Μινωταύρῳ μαχόμενος, οὐ Κερκύονα βαλὼν, ἢ Σίνιν (¹) παύων τῆς ὕβρεως· ἀλλὰ ταῦτα μὲν ἂν ἴδοις ἐν ἑτέρᾳ γραφῇ· τὸ δὲ παρὸν, πρὸς τὸ τῆς ἡμέρας μῆκος ἀποκαμὼν, ἐπὶ κλίνην ἐτράπη, καὶ διαναπαύει τὸ σῶμα, τῆς μεσημβρίας τὸ πνῖγος (²) ἀποπεμπόμενος ὕπνῳ. Καὶ τῇ παρούσῃ γυναικὶ διελέγετο, οὐ σὺν αὐτῷ κατακειμένῃ· νυκτὸς γὰρ ἡ κοίτη τοῖς σώφροσιν· ἐπὶ δίφρου δέ τινος παρακαθέζεται. Καὶ Θησεὺς μὲν μεταξύ τε λέγων πρὸς ὕπνον, ὡς εἰκὸς, συνηρπάζετο, καὶ ἡμιτελῆ τὸν λόγον ὑποχαυνώσας τῷ πάθει. Ὅθεν δὴ τοῦ Ὕπνου (³) τὸ ταχὺ λανθάνον, καὶ ὡς κλέπτει τὸν νοῦν καὶ κατασύρει τὰ βλέφαρα, δηλῶν ὁ ζωγράφος σκιοειδῆ τινα καὶ πτερωτὸ ἀπειργάσατο· στροφίῳ δὲ λευκῷ τὴν κεφαλὴν ἀναδούμενος, τὴν κατὰ πάντων νίκην ἐδηλώσεν. Ἄκραις δὲ χερσὶν ἐπ' ἀλλήλαις κειμέναις ἐπικλίνας τὸ μέτωπον, καθεύδει νῦν ἡδέως, ὅπερ ἐστὶ παθῶν, δηλῶν (⁴) τὴν φύσιν ἔργῳ τε ἅμα καὶ σχήματι· ἀποκρύπτει δὲ τὴν θέαν· οὐ γὰρ προορᾷ τις ἐρχόμενον ὕπνον. Τοιγαροῦν οὐ πρόσθεν, ἐξ ἀφανοῦς δὲ παρέστηκε τῇ κλίνῃ ταῖς χερσὶν ἐρειδόμενος, καὶ, εἰ παρῆν Ὅμηρος, εἶπεν ἂν ὁ ποιητής (⁵),

« Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μυθον ἔειπεν ».

(¹) Ed., Ἰσίνιν. Inde feci ἢ Σίνιν, favente solita vocalium permutatione ι η υ. Sic p. 162, 2, νενόμηκα est in editione. Joannes Geometra Hymno 1, 1 : Χαῖρε, χάρις χαρίεσσα, χαριτόκε, χάρμα τοκήων. Est in χαριτόκε mendum metricum. Codices 965, 352 Suppl., χαρητόκε, et in illo glossa, ἡ τεκοῦσα τὴν χαράν. Sed vereor ut compositum sit legitimum χαρητόκος. Et pro χάρις χαρίεσσα, quod est subineptius, habent κόρη χαρίεσσα. Inserviet eadem permutatio corrigendæ Eudociæ de Ægide, Violario p. 29 : δι' ὅλου τοῦ κύτους λεπτά τινα καὶ ἰσχνὰ πηχώδη ἐξ ὕλης, καὶ αὐτὰ ὁμοίως. Est πηχώδη in codice, sed manifeste mendoso. Natum est id vocabulum ex confusione literarum τρ et π, quam monstravit oculis Bast., Comm. palæogr. p. 751, et pronunciatione simili vocalium ι et η. Legendum τριχώδη, quod habet Eustathius ad Il. 5, 738, cujus verba descripsit Eudocia. Habet Eustathius et ὁμοίας.

(²) Ed., πνίγος.

(³) Ed., ὕπνου. Somni deastri personam introducendam esse visum est. Vel deerit δαίμονα, post σκιοειδῆ τινα. Distinxi statim ante ἄκραις plene, quum ἐπικλίνας mihi sit Θησεύς. Infra παρέστηκε Somnus. Verba ὅπερ ἐστὶ παθῶν, δηλῶν corrigenda in medio jacent, ut alia plurima.

(⁴) Il. 2, 59.

Ὁ δὲ Θησεὺς ὕπνῳ τε καὶ τῷ σφοδρῷ τῆς ὥρας παρειμένος τοῖς μέλεσιν, ἀνέχεται μὲν ἐπι... στέφανον δὲ ὁ χιτὼν ὕλῃ τε χρυσῇ καὶ ποικιλτοῦ τέχνῃ πρὸς τοῖς ἄκροις ἁβρύνεται· δοκεῖ δὲ... ὅσον ἀφεῖται τοῦ σώματος μέρος ἐν καθαρᾷ τῇ θέᾳ τὸ λευκὸν ὑποδείκνυσι... ἐν ὑπαίθρῳ προσκαρτεροῦντος τοῖς ἄθλοις καὶ τὸν ἥλιον ὅλῳ δεχομένου τῷ σώματι... Φαίδρα βδελύττεται τῆς ψυχῆς τὸ κάλλος κατανοεῖν ἀγνοήσασα... μὲν χειρὶ, ἐπικαμφθεῖσι δὲ δακτύλοις τὸν τράχηλον ἐπιτίθησι· τῆς κ... ἐξ ἄκρου γὰρ ἀγκῶνος καταλαβοῦσα τὸν πῆχυν (¹), ἀναπαύει τῇ κόμῃ τὴν μασχάλην αὐτῷ καταψύχουσα. Ποῦς δὲ λαιὸς ὀρθῇ τῇ κνήμῃ συνέσταλται τὸ γόνυ φέρων μετέωρον· τοιαῦτα γὰρ τοῖς καθεύδουσιν ἐν ἀγνοίᾳ αὐτοματίζεται σχήματα.

Εἶδεν οἰκέτης (²) ὑπνοῦντα τὸν δεσπότην, καὶ τοῦ πάθους μετέλαβεν. Οὐ συγχωρούσης δὲ τῆς τύχης, ὕπτιον ἐπὶ στρωμνῆς αὐτῷ καθεῖναι τὸ σῶμα, στρωμνὴν ἀναγκαίαν ἐργάζεται, αὐτὸς ὑπνῶν, αὐτὸς ἑαυτῷ καὶ κοίτη γινόμενος· ὀκλάζων μὲν τῷ ποδὶ καὶ τούτῳ ἐπικαθήμενος, ἑστηκότι δὲ θατέρῳ, ἑτέραν ἐφ' ἑτέρᾳ τὼ χεῖρε βαλὼν, καὶ μικροῦ πρηνὲς ἐπιῤῥίψας τὸ πρόσωπον. Ὄργανον δέ τι φέρει τῶν ἐνοχλούντων ἀλεξητήριον (³)· ὅπως δὲ μὴ λάθῃ περιῤῥυὲν, ὀρθὸν τοῦτο στήσας τὸ σῶμα ἀνέκλινε λαιῷ συνέχων τῷ πήχει, καὶ πρὸς ἀσφάλειαν τῇ χειρὶ τὴν κεφαλὴν ἐρειδόμενος.

Ἑταῖρος δέ τις αὐτοῦ προνοῶν, καὶ τὸν ἐκ τοῦ διαστῆναι τὸν δεσπότην κίνδυνον αὐτῷ ὑφορώμενος, καὶ μᾶλλον ἔτι δυσχερὲς ἐφιζάνον ἐκ

(¹) Ed., τὴν πῆχυν. Sic genus corruptum in Joannis Geometræ Hymno 2, 23 : Χαῖροις παρθενικαῖς μετὰ ἀστράσιν οἷα σελήνη Πόμπιμος ἐς δόμον ὡς ἐς πόλον ἑρπομένη. Codex, 352 Supplèm. : χ. παρθενικοῖς μέσον ἄστρασιν οἷα σελ. Πόμπιλος (sic) ἐς δ. ὡς π. ἑρπ. Codex autem 993 : χ. παρθενικοῖς μέσον ἄστρασιν ο. σελ. Πόμπιμος ἐς δ. ὡς π.... Glossator explicat Πόμπιμος adscripto προοδεύτρια, sed hic est potius reddendum per πεμφθεῖσα. Nec juvat præpositionis ἐς suppressio, quæ versum facit breviorem. Transponenda videntur nomina πόλον δόμον, et distichon sic refingendum : Χαίροις παρθενικοῖς μέσον ἄστρασιν, οἷα σελήνη, Πόμπιμος ἐς πόλον ὡς ἐς δόμον ἑρπομένη. Et sumsi pronunciationem ἄστρασιν, quæ grammaticis placet præ altera ἀστράσιν. Sic variatur Hymno 3, 7 : Χαῖρε, κόρη, μυριόμμασιν ἀστράσιν οἷα σελήνη Μεστὰ φαεινομένη φωτὶ περισσοτέρῳ. Codex 552 nil mutat in μυριόμμασιν, sed exhibet ἄστρασιν, et, quod utilius est, μέσσα φαεινομένη.

(²) Idem ille servus, de quo p. 157.

(³) Umbellam gestat, qua videlicet muscas abigat. Scripsit Paciaudius commentarium de umbellæ gestatione.

τῆς τούτου ῥᾳθυμίας, ἀποσκεδάσει τὸν ὕπνον. Ὅλος μὲν οὐ πάρεστιν ἐπ' αὐτὸν, μὴ καὶ δόξῃ τὴν αἰτίαν παρέχειν τῷ πράγματι, τοῖς ποσὶ ψοφῶν καὶ ὅλος ἅμα φαινόμενος· προκάλυμμα δέ τινα τῶν κιόνων ποιῶν καὶ πρὸς ἑκάτερα μερίσας αὐτὸν, τὰ κάτω μὲν ἀποκρύπτει τοῦ σώματος, ἡμιτελής δέ τις φαινόμενος καὶ ῥᾳδίαν ἑαυτῷ τὴν φυγὴν ἐκ τῆς τοῦ δεσπότου προσλαγχάνων αἰσθήσεως, προβάλλει τὴν μὲν κεφαλὴν πρὸς θέαν, τὴν δὲ χεῖρα πρὸς κίνησιν. Ἵνα γὰρ μὴ καλέσας ὀνόματι τῷ τοῦ ῥήματος ἤχῳ βάλῃ τὸν δεσπότην λαθὼν, χειρὶ προσάγει τὴν χεῖρα, καὶ τοῦ βραχίονος ἀντεχόμενος, τὸ βραχὺ τοῦ ὕπνου τάχα δυσχεραίνει καὶ ἐπιμέμφεται. Τὸν δὲ πρὸς τοῖς ποσὶν ἴσως τι προσλυπήσαντα ὅλῳ καθεύδειν ἀφῆκε τῷ σώματι. Ἐλευθεριάζει γὰρ τῷ ὕπνῳ ἅπας τε κλιθεὶς, καὶ τὸν δεσπότην αὐτὸν ἐναντίᾳ τῇ σχέσει μιμούμενος. Ἔοικε δὲ τῶν ἐπ' αὐτῷ ζώων πεπιστεῦσθαι τὴν ἐπιμέλειαν, τοῖς αὐτῶν τραχήλοις ἐναποδήσας ἀθύρματα. Ταῦτα δὲ τῆς τοῦ κρατοῦντος ἠρεμίας λαβόμενα, εἰς μάχην ἀλλήλοις συνήρχοντο. Ἡ δὲ κύων ἔοικεν ἐν μικρῷ τῷ σώματι καὶ μήτηρ εἶναι σκυλάκων, καθειμένη τοῖς τιτθοῖς καὶ πληρουμένη τοῦ γάλακτος· ἡττηθεῖσα δ' οὖν, μεταστραφεῖσα ἐχώρει, τὴν κέρκον ἐφ' ἑαυτὴν ἀνακλάσασα, καὶ τὸν ἰχνευτὴν ὑποφεύγει διώκοντα, καὶ δειλίᾳ μὲν αὕτη, θυμῷ δὲ ἐκεῖνος τοῦ κρατοῦντος ἐφάλλεται. Ὁ δὲ μηδὲν αἰσθανόμενος, τὼ πόδε ἐπαλλάξας περὶ δεξιὸν ἀγκῶνα μετέστραπται· ἀριστερῷ δὲ διῃρημένῳ καὶ τῆς κορυφῆς καταπίπτοντι τῆς τοῦ δεσπότου κλίνης ἐφάπτεται, τοῖς ποσὶ καταχείμενος. Ἡ δὲ ἐλέφαντι καὶ χρυσῷ καὶ Νίκῃ κεκόσμηται, γλύμμασι διῃρημέναις πτέρυξιν ἄκρᾳ τῇ κεφαλῇ τὴν κλίνην ἀνέχουσι· ποικίλου δὲ κροσσοὶ παραπετάσματος τοῖς ποσὶ περικρέμανται.

Θησεὺς μὲν καθεύδει, καὶ τὴν τύχην οἰχέται βιάζονται.

Φαίδραν δὲ ἐκείνην οὐ κατέχει νήδυμος ὕπνος. Ἀνθ' ὕπνου δὲ ταύτῃ τὴν καρδίαν ἔρως ἐνέμετο. Ἀλλὰ τί πάσχεις, ὦ γύναι· ἀνόνητον πονεῖς, οὐδ' εὐτυχοῦντος τοῦ ἔρωτος. Πῶς γὰρ δὴ καὶ πείσεις τὸν καὶ σωφρονεῖν ἐπιστάμενον; τί σαύτην αἰσχύνεις, ἀνόμῳ κοίτῃ πλησιάζειν ἐθέλουσα; βραχύ τι μεταστρέφου, καὶ δίδου τῷ συνοίκῳ τὸ βλέμμα, καὶ μὴ τὸ παρὸν μέμφου, τὰ μὴ παρόντα ζητήσασα. Αἰδοῦ δὲ τὸν σύνοικον καὶ καθεύδοντα, καὶ μεταφέρου τῆς εἰκόνος πρὸς ἣν ἀφορᾷς. Ἱππόλυτος γὰρ, ὡς ἔοικε, σωφρονεῖ κἂν (¹) τοῖς χρώμασιν;

(¹) Ed., κᾆν.

Ἀλλὰ τί τοῦτο πέπονθα; τί τοῦ ζωγράφου τέχνῃ πεπλάνημαι; καὶ ζῆν ταῦτα νενόμικα, καὶ λανθάνειν τὴν θέαν ὅτι πέφυκε γράμμασιν. Οὐκοῦν περὶ τῆς Φαίδρας, μὴ πρὸς ἐκείνην φθεγγώμεθα (¹)... σχῆμα ταύτης ἐλέγχει τὸν ἔρωτα. Ὁρᾷς ὑγρὸν τὸ βλέμμα; καὶ νοῦν τῷ πάθει μετέωρον; καὶ σῶμα στηριγμάτον ἐπιδεόμενον (²); ψυχὴν ὥσπερ ἀποδημοῦσαν καὶ ζῶντος ἔτι τοῦ σώματος; Δίφρος ὁ μὲν αὐτῇ πρὸς ἕδραν ὑπέστρωται· ὁ δὲ πρὸς τῇ κεφαλῇ, ὡς εἰκὸς, ὑποκείμενος, ἀνέχει τὸν νῶτον καὶ πέμπει τῷ σκίμποδι. Ὁρᾷς δὲ πῆχυν καὶ πάθει λυόμενον (³) καὶ μόλις ἄκρῳ τῷ δακτύλῳ τὴν παρειὰν ἐπιψαύοντα; ἄμφω διεστήκασι, μεθ' οὓς ἕτερος ἀπεῖπε τῇ στάσει, καὶ κάμπτεται τοὺς ὤμους ἔχων ἐν μετεώρῳ σφ... πους ποδὶ λυομένῳ συνέρχεται· ἑκατέρου γὰρ τὸ μὲν ἀνέχει, τὸ δὲ ἐπικλίνεται· λεπτῷ δὲ... ῥητῶν ὑπέδειξεν. Ὁ μὲν χιτὼν ἑκατέρωθεν λεπταῖς καθόδοις ἐξ ὤμων ἐς πόδας ποικίλλεται... αὐτὴ δεομένη στηρίγματος, πινακίῳ διπλῷ κατὰ τῆς κλίνης κειμένῳ (⁴)

(¹) Ed., φθεγγόμεθα. Perpetua confusio vocalium ω et ο. Poetaster in Anecdotis Paris. t. 4, p. 347, 4 : τῇ νόσῳ Ἕστηκα βληθεὶς, ἐξερύσαι δ' οὐ θέλω, Ὠθῶ καθ' αὑτοῦ τὸ ξίφος, θανεῖν θέλω. Finis, prioris verbi θέλω est in codice obscurus. Lego θέλων. — Sed hæc correctio non est omnino ejusce loci; non delenda tamen.—Ibidem p. 337, 31 : Ἀμφότερον σοφίης ἐπίστορα πάντα καὶ ἀπάσης, Καὶ κρατερῶν πολέμων τ' ἔργα διδασκομένων. Addidit editor voculam « sic ». Sed non sic codex, in quo diserte διδασκόμ, cum compendio finali quod μενον omnino significat. Et τ' post ἔργα adeo debile est et tenue, ut putem nullum esse. Jamque recte procedet sententia : Καὶ κρατερῶν πολέμων ἔργα διδασκόμενον. Ibidem, p. 295, 5 : Ποίων δοκεῖν χρὴ τῶν δικαστηρίων Τυχεῖν ἐκεῖθεν; Monemur esse in codice δικαιοτηρίων, quod non fuit in δικαστηρίων mutandum, versu breviore, sed in δικαιωτηρίων. Procopius Gazæus Epist. 52 Maianæ : ἤδη καὶ δευτέραν ἐπέστειλα, κἂν ἔτι σιγήσῃς, τάχα καὶ τρίτην προσθήσομεν, ἕως σέ τις ἐπεισέλθῃ αἰδὼς, καὶ τὴν σὴν φωνὴν εὐτυχήσομεν. Lego εὐτυχήσωμεν. Tangam simul et epigramma aliud Anecdot. Paris. t. 4, p. 366. Ibi Anonymus, qui ex Anthologia 9, 360, Metrodorus est vocandus : Οὐκ ἄρα τῶν δισσῶν μόνον αἵρεσις, ἢ τὸ γενέσθαι Μηδέποτ' ἢ τὸ θανεῖν. Scripsit editor μόνον pro lectione codicis μόνων. Sed hæc mutatio hic non facit satis. Oportuit μόνου saltem corrigi. At melior Anthologiæ est scriptura ἑνός. Puto fuisse in antiquo libro, τῶν δισσῶν ᾱ, quæ sigla potest significare pro re nata πρώτος vel εἷς, per casus omnes, et male nunc lecta fuit μόνον, quod abiit in pejus μόνων. Theodorus Prodr. Rhod. 5, p. 214 : Πρὸ γὰρ ἑαυτῶν ἐκτιθέντες εἰς μέσων Σκευῶν τὰ πολλά. Legengendum εἰς μέσον. Sed id vix fuit notandum, quum mendum sit typorum, idque leve.

(²) Ipsa Phædra in Hippolyto Euripidea, 198 : αἴρετέ μου δέμας.

(³) Phædra ibidem : λέλυμαι μελέων ξύνδεσμα.

(⁴) Ed, κειμωμένῳ. Post πινάκιον ferme inferebam δηλοῖ. Sed me continui ob totius loci impedimenta.

συνέχεται· τὸ δὲ πινάκιον... τῷ ποθουμένῳ τὸν ἔρωτα. Τὴν γὰρ δὴ Φαίδραν τουτὶ τὸ λαμπάδιον ὑποθάλπει τοῦ Ἔρωτος, καὶ τὸν ῥυθμὸν αὐτῇ διαλύει τοῦ σώματος, καὶ τὴν διάνοιαν πρὸς ἃ μὴ πρέπει βιάζεται φέρειν. Τί γὰρ αὐτῇ καὶ... τα κατ' ἀέρος τοῖς πτεροῖς ἀνεχόμενος· δεξιᾷ τε χειρὶ, ἑνί τε ταύτης δακτύλῳ δείκνυσι μετέωρον ἐν χρώμασιν τὸν Ἱππόλυτον· θατέρα (¹) δὲ πυρσὸν ἀνάπτει· ὁμοῦ τῇ θέᾳ τὴν καρδίαν ἁπτόμενος μέσην. Ἱππο... τῶν στέρνων ἐπὶ τῆς εἰκόνος τὰ χρώματα ἀρκοῦντα μέρη τῇ χρείᾳ· ταῦτα γὰρ καὶ μᾶλλον παρασκευάζειν οἶδε τὸν Ἔρωτα, ὁ... [λόθηρος ἐμφαίνει τοῦτο τῷ δόρατι· τοσοῦτον δὲ φαίνει τῆς χλανίδος ὅσον τῷ σώματι.

Ὁ δέ τις Ἔρως ὑφεδρεύων καὶ τοῖς ποσὶν ἐνηλλαγμένως ἱστάμενος παρασκευάζει τὴν ἐκ μέλανος ὕλην τοῖς γράμμασιν, ὅσα δὴ γραφέντα μηνῦσαι (²) μέλλει τῷ Ἱππολύτῳ τὸν ἔρωτα· καὶ τῇ λαιᾷ ταύτην ἀνέχων, θατέρᾳ ταύτῃ τὴν γραφίδα φέρων ἐνέθηκε, μέλλων ἐπιδοῦναι τῇ Φαίδρᾳ.

Ἡ δὲ λαβοῦσα γράψει· « Μέχρι δὴ τίνος σωφρονήσεις, Ἱππόλυτε; « Φαίδρα δὲ ποθεῖ σε καὶ βούλεται (³) ».

Διακονήσει δὲ τῇ χρείᾳ τραγική τις γραῦς (⁴), αὐτὸ τῆς πολιᾶς τὸ βαθύτατον, τίτθη τις, ὡς ἔοικεν, οὐκ ἐν καιρῷ φειδομένη τῆς Φαίδρας. Τοῖς δὲ τῶν γυναικῶν ἐντριβεῖσα παθήμασιν, οἶδεν οἷς προσέχει καὶ προσανέπτη μετέωρος, καὶ ἔστιν ὅλη τοῦ ἔρωτος, καὶ τὸ πάθος ἐπισταμένη. Ὅμως ἐρωτᾷ τι, καὶ διδάσκει τοῖς δακτύλοις ταῦτα ὑποσημαίνουσα, καὶ λέγειν ἔοικε· « Τί πέπονθας, ὦ τέκνον; τί δὲ τοσοῦτον ἠπό- « ρησαι; γράφε, καὶ θάῤῥει, καὶ δέχου με τῇ χρείᾳ διάκονον ». Πείθει τὴν Φαίδραν εἰποῦσα, καὶ οἴχεται. Μᾶλλον δὲ ταύτην ἐν ὅσῳ καὶ πάρεστιν ὅρα δὴ πρεσβυτικῶς ἐσταλμένην. Φαιὰ μὲν ἐσθὴς ὡς ἐπὶ γήρᾳ, τάχα δὲ καὶ πάθει δεσποίνης. Συγκύψασα δὲ διαλέγεται ὥσπερ οἱ λάθρα φθεγγόμενοι, μὴ καὶ λάθῃ (⁵), Θησέως, ἐν προσποιήσει καθεύδοντος, τῶν ῥημάτων αἰσθομένου. Συγκύπτει δὲ πρὸς τὴν ἰξὺν χεῖρα λαιὰν ὑπερεί-

(¹) Forsan θατέρᾳ, in dativo, ut modo δεξιᾷ. Et sic mox, ac p. 164.

(²) Ed., μηνύσαι.

(³) Est βούλομαι, ut θέλω, in re amatoria verbum valde usitatum. Philostratus Paridem dixit βούλεσθαι Helenam, Epistola 66. Ibi nota.

(⁴) Anus tragica, respectu ad ancillam tragœdiæ Euripidis, cui Chorus Hipp. 267: Γυνὴ γεραιά, βασιλίδος πιστὴ τροφὲ Φαίδρας.

(⁵) Editio sic.

σασα, μὴ καὶ πέσῃ πρηνὴς ἐλθοῦσα, βιαζομένου τοῦ γήρως. Γυμνοῖ δὲ τοῦ σώματος οὐδὲν, ὅτι μὴ πρόσωπόν τε καὶ χεῖρα τῆς ἀναβολῆς ἐκ μέσου προελθοῦσαν τοῦ πήχεως. Καὶ πολιαὶ ταύτῃ χαλαρῷ δεσμῷ τῆς κεφαλῆς προκύπτουσιν ὀλισθήματι.

Καὶ ταύτην μὲν, ἐπεί γε θέλει, πρὸς Ἱππόλυτον πέμψομεν· τὰς δὲ παρ' αὐτὴν θεραπαίνας σκοπήσωμεν (¹)· ὧν ἡ μὲν ἀγνοοῦσα τὴν κεκτημένην πρὸς ὅ τι δήπου καὶ κέχηνε (²), τῆς παρισταμένης ἠρέμα πυνθάνεται, προσώπῳ συνάψασα πρόσωπον καὶ παρειᾷ παρειὰν ἐπιψαύουσα. Ψιθυρίζειν γὰρ ἔοικε, μὴ κακόν τι λάθῃ τὰ τῆς δεσποίνης φιλοπευστοῦσα παθήματα. Ἡ δὲ, τῷ νῷ πάλαι συλλαβοῦσα τὸ πρᾶγμα, παρακινδυνεύει τι τῆς ἐρωτώσης πρὸς εὔνοιαν, καὶ, λανθανούσῃ χειρὶ δεικνύντα τείνασα δάκτυλον, τῆς ἑτέρας τὸ βλέμμα καὶ εὐθὺ τῆς εἰκόνος ἀνέτεινεν. Ἡ δὲ γυμνοῖς βραχίοσι τὸν ἐνόντα κόσμον ἐμφαίνουσα, ὑποκειμένῃ πλησίον τῇ δεξιᾷ καθιδρύσασα (³), ἄκροις δακτύλοις πρὸς ἄκραν γένυν ἀνάγεται καὶ τὴν κεφαλὴν ἀνασπάσασα, καραδοκεῖ τὴν εἰκόνα, καὶ συνερᾷ τάχα τῇ δεσποίνῃ λανθάνουσα.

Παρ' αὐτὰς δέ τις ἁβροτέρᾳ κόμῃ καὶ, ποιητικῶς εἰπεῖν, ξανθοκάρηνος τὸν Φαίδρας ἄγει κόσμον ἐν κοίτῃ (⁴) δήπου κείμενον· καὶ τῇ λαιᾷ ταύτην ἀνέχει, τῇ δὲ ἑτέρᾳ τὰ χρύσεια κατὰ μέρος ἀνάγειν ἐθέλουσα. Τοσοῦτον γὰρ ἡ κεκτημένη περίκειται κόσμον, ὅσον τῇ κατ' οἶκον ἁρμόσει διαίτῃ, ἀμφιδέτας τε καὶ περιβραχιόνια· ὅρμοι τε περὶ τῇ δέρῃ καὶ τοῖς ὠσὶν ἑλικτῆρες, καὶ χρυσῇ ταινία τὴν κεφαλὴν περισφίγγουσα Ἰνδικῶν λίθων διαδοχῇ περικλείεται. Οἱ δὲ πόδες ἐπί τινος ἀνέχονται δίφρου, γυμνῷ τῷ κάλλει προλάμποντες· καὶ ὁ ἐκ τοῦ χρυσοῦ περιὼν κόσμος μικροῦ τὸ λευκὸν ἐπεσκίαζεν, οὗ ἦν τὸ φυσικὸν κάλλος κάλλους παντὸς ἐπικτήτου φέρον τινὰ νικητήρια.

Ἀλλ', εἰ δοκεῖ νῦν, ὦ φιλότης, τῶν βασιλείων προελθόντες σὺν Ἱππολύτῳ θηράσωμεν, οὐ μὰ Δία λαγὼν ἢ ἔλαφον, ἤ τινα τάχα καὶ λέοντα· ἀργεῖ γὰρ ἀπαύστως ἡ γραφὴ πρὸς τὴν εὐφροσύνην ἠσχολη-

(¹) Ed., σκοπήσωμαι. Scripsi σκοπήσωμεν, ob personam pluralem præcedentis verbi πέμψομεν, quod ipsum fortasse fuit scribendum πέμψωμεν. Fines μαι et μεν sæpe confusi fuerunt.

(²) Est forsan natum καὶ ex prima syllaba sequentis verba κέχηνε, male repetita.

(³) Ed., καθιδρεύσασα.

(⁴) De κοίτῃ pro κίστῃ ad Psellum Opusc. p. 295.

μένη. Ὄρη ταυτὶ καὶ πεδία, ὕλη τε πολλὴ καὶ κυνηγέται, καὶ ποίμνια. Ἱππόλυτος καὶ Δάφνη τῶν κυνηγετῶν τὸ κεφάλαιον (¹), ἱππόται ἄμφω καὶ σώφρονες· ἵπποι θυμοειδεῖς αὐτοῖς καὶ κύνες... δακόντες, Ὁμηρικὸν (²) δὴ τοῦτο, κατὰ τοῦ πεδίου κροαίνουσιν. Ἀντιπροσώπῳ βλέμμα... ἔποχοι ἄμφω μὲν πρὸς τὴν θήραν ἠπείγοντο. Προσελθὸν δὲ τὸ γραΐδιον ἐφ...λεῖν τοῖς λόγοις αὐτὸν, τοῖς ἔργοις θήραμά τε ἦν καὶ ἁλίσκετο, Ἱππόλυτ... τάχα συμβολῇ συνεχόμενον, ὃν οὐχ Ἔρως, ὡς ἔοικεν, ἀλλ' Ἐριννὺς....οὐ θέμις εἰπεῖν διὰ τῆς θέας ἀκήκοε, ἀφίησι μὲν τῶν χειρῶν, καὶ βδελύττεται, καὶ κεῖται νῦν κατεαγός· καὶ δείκνυσιν τὸ... ήματα· ναρκᾷ δὲ τῇ θέᾳ, καὶ τὸ μῦσος ἐκτρέπεται, τῇ χειρὶ καθάπερ τι πολέμιον ἀπωθούμενος, οἰκέτῃ δὲ τὴν τῆς γραὸς δίκην ἐπέτρεψεν, οὐκ ἐλεήσας γῆρας ἀσελγείας διάκονον, καὶ διὰ τῆς ἠκούσης τὴν πέμψασαν ἀμυνόμενος. Ὁ δὲ οἰκέτης εὔζωνός τε ἐστὶ, καὶ σωφρονοῦντι δεσπότῃ παρατραφεὶς, τὴν ἀκολασίαν μισεῖ, καὶ συνθυμοῦται τῷ δεσπότῃ, οὐχ ὡς ἄν τις ἀλλοτρίᾳ γνώμῃ διακονῶν, ἀλλ' ὡς ἴδιον θυμὸν ἐνδεικνύμενος. Τοιγαροῦν καὶ διαβαίνει τοῖς ποσὶν, ἑδραίαν βάσιν διδοὺς τῇ πληγῇ, καὶ, ὥσπερ τι θηρίον τὴν ἀσελγῆ λογιζόμενος, τὰς μὲν κόμας παρ' αὐτὴν λεάνας τῇ χειρὶ, ἐπισοβεῖ καὶ ἐφέλκεται· δεξιᾷ δὲ πρὸς τοὐπίσω διανιστάμενος, κατὰ νώτου τείνας τὸ ῥόπαλον, ὅλῳ σώματι πρὸς τὴν πληγὴν καταφέρεται. Παρίτω μοι καὶ Δημοσθένης νῦν ἂν εἰπὼν οἰκειότερον, ὡς περιῤῥήξας (³) τὸν χιτωνίσκον, ὁ οἰκέτης ξαίνει κατὰ νώτου πολλάς. Ἡ δὲ ἀμήχανός τε ἐστὶ καὶ τοῖς ποσὶν ὀκλάζει, καὶ προαπεῖπε τῷ δέει καὶ τέθνηκε. Γυμνοῖς δὲ τοῖς στέρνοις ἐπιβαλοῦσα τὴν χεῖρα, οὐκ ἂν μὲν εἴποιμι ὡς δι' αἰσχύνην τὸ γυμνωθὲν ἀπεκρύψατο· αἰδὼς γὰρ σώφρων αἰσχροῖς οὐκ ἐθέλει διακονεῖσθαι προστάγμασι· πλήττουσα δὲ τὰ στέρνα, ὡς εἰκὸς, τὴν τύχην ἑαυτῆς ἀποδύρεται, μόλις νῦν ἐπὶ τῆς πείρας μεταμαθοῦσα τὸ δέον. Καὶ ταύτῃ μὲν τὸν οἶκτον ἐργάζεται· λαιὰν δὲ χεῖρα πρὸς τὴν μέλλουσαν πληγὴν ἐπανέτεινεν, ἐποχῆς ἀπείργουσα σχήματι· διδάσκει γὰρ ἡ φύσις, ὅταν τι

(¹) **Anonymus Hermippo Dialogo p. 58 : Ἀριστοτέλης... τῆς φιλοσοφίας αὐτὸ τὸ κεφάλαιον.**

(²) **Homerus scilicet Il. 6, 507, de equo ferociore :** Δεσμὸν ἀποῤῥήξας θείει πεδίοιο κροαίνων. **Cf. p. 192.**

(³) **Ed.,** ὥσπερ ῥήξας. **Correxi ex loco Demosthenis, quem sophista respexit. Orator enim De F. Legat. § 197 :** εἰπούσης τί καὶ δακρυσάσης ἐκείνης, περιῤῥήξας τὸν χιτωνίσκον ὁ οἰκέτης ξαίνει κατὰ τοῦ νώτου πολλάς.

προσίῃ κακὸν, ὥσπερ ὅπλον ἀναγκαῖον τὴν χεῖρα ἐπὶ τοῦτο προβάλλεσθαι. Δεινὰ δὲ πανταχόθεν αὐτῇ τὰ παθήματα, ἀπειλὴ, πληγὴ, καὶ κύνες αὗται· ἡ μὲν ὠσὶ καθειμένη, κἂν (¹) μεταστροφῇ δεινόν τι παρέξουσα· ἡ δὲ καὶ διὰ μέσης ἐσθῆτος (²) τὸν μηρὸν διασπάσασα· καὶ τῆς πληγῆς τὸ μέτρον γυμνὸν χιτῶνος, καὶ περιῤῥεῖται τῷ αἵματι Τὸ δὲ πρόσωπον αὐτῇ ὠχρόν τε καὶ νεκρῶδες, καὶ συγκέχυται πάθεσί τε καὶ γήρᾳ, καὶ πολιαὶ λυθεῖσαι γεγύμνωνται.

Ὡς φιλάνθρωπος οἰκέτης, ὁ τὴν κεφαλὴν ἐν μέρει γυμνούμενος, ἀπειπούσης ἐνταῦθα τῆς κόμης, ᾧ (³) θηρευτὴς ὄρνις ἄκρῳ καρπῷ προτεινόμενος! ὑπεραλγεῖ γὰρ, ὡς ὁρᾷς, καὶ, τῷ προσώπῳ τὸν οἶκτον μηνύων (ἔοικε γάρ τι καὶ φθέγγεσθαι), τῷ πλήσσοντι μέμφεται πικροτέρῳ φανέντι τῆς χρείας, Σκύθην τε καλεῖ, καὶ μὴ ὡς ἔδει τάχα φιλανθρώπῳ δεσπότῃ διακονούμενον. Καὶ δεδιὼς αὐτοῦ τὸν θυμὸν, μὴ λάθῃ κατὰ κεφαλῆς αὐτοῦ (⁴) τὴν πληγὴν ἐμβάλλων, ὑπτίᾳ τῇ δεξιᾷ προσαπαντᾷ τῇ πληγῇ, σκέπην ἐντεῦθεν διδοὺς, καὶ πληγῆναι μᾶλλον αἱρούμενος ἢ γῆρας ἰδεῖν οὕτω δεινῶς ἀπολλύμενον οὐ φειδομένῃ πληγῇ. Εὔζωνος δὲ οὗτος, καὶ τοῖς ὑποδήμασιν ἐς μέσην κνήμην ἤδη συνδέδεται. Ὡς εὐδαίμων Ἱππόλυτος! οἷον ἄρα ἔχει τῆς σωφροσύνης τὸ θέατρον! Ἦ που με οἴεσθε τοὺς οἰκέτας λέγειν τοὺς ὅπας (⁵) ἀνέχοντας τὰ δόρατα, ὧν τοὺς ἵππους ἡ τέχνη δι' Ἱππολύτου καὶ Δάφνης καλύψασα, τοῖς ἰχνίοις μελαινομένοις τὸν ἕνα μόνον ἐπέδειξε. Τοιούτους οὖν με λέγειν ἐλπίζετε.

Μέγας μὲν οἶμαι καὶ σώφρων οἰκέτης εἰς μαρτυρίαν δεσπότου. Σὺ δέ μοι σκόπει τὴν Δάφνην, ὡς ἀποστρέφει σὺν Ἱππολύτῳ τὸ πρόσωπον, καὶ τῶν ὁμοφύλων τὴν ἀκολασίαν αἰσχύνεται, τῆς μὲν τῶν γραμμάτων ἀκούσασα, τὴν δὲ θεασαμένη διάκονον ἀσελγείας. Πλὴν ἐπαινεῖ τὸν Ἱππόλυτον κοινωνοῦντα τούτῳ καὶ θέας καὶ σχήματος· ὁμοίως αὐτὴν ἀπέστραπται, καὶ παρωθεῖται τὴν ἀκοήν.

Νεανικὴ δὲ τὸ εἶδος καὶ θῆλυς οὖσα τὴν φύσιν, παρῆλθεν ἄνδρας φρονήματι. Γυμνήν τε προφαίνει τὴν δεξιὰν, ἐξ αὐτῆς τε μασχάλης

(¹) Ed., κἅν.
(²) Ed., αἰσθῆτος.
(³) Ed., ὁ. Addidi mox signum exclamandi.
(⁴) Imo αὐτῆς. Metuit vetulæ ancillæ, non sibi.
(⁵) An ὀρθά? Conf., p. 168, 48 : φέρουσιν ὀρθὰ τὰ δοράτια.

πρὸς ὦμον ἀριστερὸν ἀναβέβληται· καὶ τῇ λαιᾷ τὴν ἐσθῆτα κατιοῦσαν συνέχουσα, ἄκροις ἰδοὺ δακτύλοις συνέσφιγξε τὸ προβόλιον. Ἡ δὲ κόμη ἐλευθέρα καὶ ἀνειμένη ταῖς αὔραις περιπλανᾶται τοῖς ὤμοις, ὁμωνύμῳ στέμματι (1) τῶν ὀφθαλμῶν μὲν ἀνεσταλμένη, τὰ νῶτα δὲ περιῤῥέουσα.

Ὁ δὲ Ἱππόλυτος ἱππότης οὗτος, καὶ ναὶ μὰ Δία πρέπων ὁρᾶσθαι. Χλαμὺς αὐτῷ πρὸς ὠμὸν δεξιὸν ἐναρμόττεται. Τὸν χαλινὸν τῇ λαιᾷ λαβὼν, ἀτάκτου ῥύμης τὸν ἵππον, ὡς εἰκὸς, ἀνακρούεται.

Ἀλλ', εἰ δοκοῦν ὑμῖν ἐστὶν, μὴ δὲ τὸ ὄρος παρέλαβεν, εἴτε τις ἐστὶν Ὑμηττὸς (2) ἢ τὸ Αἰγιαλέων (3), ἢ ὅ τι χαίρει λεγόμενον· ἄρνες ἐνταῦθα καὶ ποῖμναι, σκύλακές τε ποιμενικοὶ ὑλακῇ καὶ θυμῷ καταπλήττοντες τὴν γραῦν, οἰκέτου διχόθεν φερόμενοι. Πρεσβύτης δέ τις Ἀττικὸς παρ' αὐτούς· Νομέα τοῦτον οἶμαι τῆς ποίμνης· ἡμίγυμνός τε γάρ ἐστιν, ἐξωμίδα ἐνημμένος (4), κεκυφώς τε τῷ γήρᾳ καί... τὲ συγκαθήμενος, καλαύροπά τε φέρων καὶ τῷ τοῦ χρώματος μέλανι τὴν ἐν ἡλίῳ διατριβὴν ἐνδεικνύμενος... μὲν πρὸς ἱκετηρίαν Ἱππόλυτος τὴν δεξιὰν, ἐλεῶν τὸ γῆρας, ἐν ᾧπερ δὴ καὶ καθέστηκε, δεδιὼς δὲ μὴ καὶ φθάσῃ τάχα προτελευτῆσαν τὸ γύναιον· κεφαλῇ δὲ καὶ βλέμματι πρὸς δὴ τὸ πάθος μετέστραπται. Ἀναδραμόντι δέ σοι πρὸς ἀκρωνυχίαν τοῦ ὄρους, ἡμιτελῆ τὰ θεάματα· δόξας οὔπω μὲν ὅλος, μέχρι δὲ τέως (5) τοῦ μέσου πρὸς τὴν ὕλην καταδυόμενος Κυνῶν γὰρ ὑλακῆς καὶ θορυβούντων ἀκούσας, τὴν ὑφ' ἑαυτῷ μαντεύεται θήραν, καὶ τοῖς κόλποις τῆς ὕλης ὡς δὴ λιμένι προσέδραμεν. Ἡ δὲ ἀμφιλαφής τέ ἐστι καὶ χεῖται τοῖς κλάδοις, καὶ τῇ σκιᾷ παραμυθεῖται τὸν τοῖς ἀκτῖσι βαλλόμενον.

Ἀγροίκων δὲ γυναῖκες ἐντεῦθεν, καὶ ὁ σὺν ταύταις αἰπόλος ἱστάμενος· οὔπω γὰρ πρὸς ἄκραν ἀναδραμόντες, ἀλλ' ἀνιόντες ἔτι, κατὰ

(1) Erat videlicet lauro capillos cincta, Δάφνη δάφνῃ στεφθεῖσα.

(2) Ed., ἦτέ τις ἐστὶν Ἱμηττός.

(3) Sic Ed. Forsan Αἰγιάλεων, vel Αἰγιάλειον, vel Αἰγίλιον, qui fuerit mons in Αἰγιλίᾳ Demo Attico. In Scholiis ad Pauli Silentiarii Thermas v. 121, ubi Αἰγιαλία δῆμος... Αἰγιαλιεὺς, monui, post Anacreontica carmina, de reponendo Αἰγιλία Αἰγιλιεὺς, aut potius monere volui; nam lapsu calami raptim scribentis, aut oculorum specimen raptim legentium, et id sæpe reperientium quod adesse debeat, non quod adsit, bis reliqui mendosa vocabula Αἰγαλία Αἰγαλεύς.

(4) Ed., ἀνειμένος. Quæ permutatio facillima est. Dion Chrys. Orat. 72 init. : εἴ τινα ἴδοιεν.... ποιμένος ἐξωμίδα ἢ διφθέραν ἐνημμένον. Codex ἐξωμίδα ἔχοντα. Quam lectionem num noverit nuperus editor ignoro.

(5) Scripsisse sophistam opinor, μέχρι δὲ ἕως.

μικρὸν ἀναφαίνονται, εἰς ὀμφαλὸν ἔτι καὶ λαγόνα κρυπτόμενοι· καὶ, ὅσον ἦσαν ὁδοῦ, τοσοῦτον λείπει πρὸς θέαν τοῦ σώματος. Πόσον οἴει τὴν ἐν ἄκρῳ ταύτην ἀσθμαίνειν, πρὸς ἄναντες ἀνιοῦσαν καὶ φορτίον τοῖς ὤμοις ἐπάγουσαν τὸ παιδάριον; ὅπερ δὴ, καταπεσεῖν δεδιὸς, χειρὶ μὲν ἑτέρᾳ κεφαλῆς ἄκρας τῆς τεκούσης ἀντέχεται, τῇ δεξιᾷ δὲ κρόταλόν τι φέρει, χειρῶν κινήσει παταγοῦν ὅταν οἱ παῖδες ἀθύρωσι, καὶ τὴν ἐκ τοῦ σείεσθαι προσάγουσαν δεξάμενον.

Ἀνῆλθον δὲ, ὡς εἰκὸς τὰ περὶ τὸν Ἱππόλυτον θεασάμεναι ([1]) δράματα. Τοιγαροῦν ὁ παρὰ ταύταις ἀνὴρ τὸ τῆς γραὸς πάθος τῇ δεξιᾷ παραδείκνυσιν. Αἱ δὲ δύο τεθήπασί τε καὶ συναλγοῦσι τῇ θεᾷ· ἡ μὲν ἄκρῳ δακτύλῳ, ἡ δὲ ἀνεστραμμένῃ χειρὶ τοῖς τῶν δακτύλων νώτοις ([2]) τὴν ἑαυτῆς γένυν ἐρείσασα ([3]). Τούτων ἡ μὲν, γυμνῇ τῇ κεφαλῇ βλέπειν αἰδουμένη πρὸς ἄῤῥενας, ἀντὶ φάρους τινὸς τὴν χεῖρα κατ' αὐτῆς ἐπιτίθησιν· ἡ δὲ χεῖρα τῆς δεξιᾶς μασχαλῆς τοῦ χιτῶνος ἀναρτήσασα παραγυμνοῖ τὸ μέρος, καὶ τὸν μασθὸν ἂν ὑπέδειξεν, εἰ μὴ τῇ ταινίᾳ συνέσφικτο.

Ἱππεὺς δὲ καὶ οἱ περὶ τοῦτον τῆς ἀκρωρείας ἐκ μέρους ἀνέχοντες, θηρία μὲν, ὡς εἰκὸς, τῷ δεσπότῃ ζητήσοντες ᾤχοντο, καὶ φέρουσιν ὀρθὰ

([1]) Ed., θεασάμενα.

([2]) Eadem metaphora nominis νῶτον vernacule utimur, qui dicimus « le dos de la main ». Et sunt alia illius figuræ exempla et vetera et nostra (Voltairii, verbi causa, Bello Genevensi : « Quand sur le dos de ce lac argenté »...), quæ tetigi nuper ad Philostrati Epistolam 52, p. 148. Incurrit forte in oculos locus Helenæ difficilior. Loquuntur inter se Teucer et Helena ỷ. 126 : ἙΛ Οὐ πᾶσι πορθμὸς αὐτὸς Ἀργείοισιν ἦν; ΤΕ. Ἦν· ἀλλὰ χειμὼν ἄλλοσ' ἄλλον ὥρισεν. ἙΛ. Ποιοῖσιν ἐν νώτοισι ποντίας ἁλός; ΤΕ. Μέσον περῶσι πέλαγος Αἰγαίου πόρου. Hærebat Reiskius in participio περῶσι, et proponebat περῶντας, referendum ad ὥρισεν, aut, servato περῶσι, pro ποντίας legi volebat ἐμπεσών. Illud non improbabiliter omnino dictum, quum dativus ποιοῖσι νώτοισι potuerit librarium parum attentum fallere qui finem similem participio dederit. Sed ἐμπεσὼν emendatio est prorsus arbitrario facta, Reiskiana prorsus. Vir doctus scriptum περῶσι prudenter retinens suspicatur esse in tempore indicativo. Sed salebrosior sic fit oratio. Refero περῶσι non ad νώτοισι, sed ad πᾶσι. Et sic voluerunt interpretes qui verterunt « trajicientibus, quum trajicerent » : πᾶσιν πορθμὸς ἦν; ποιοῖσιν ἦν ἐν νώτοισιν ἁλός; ἦν αὐτοῖς περῶσιν μέσον Αἰγαῖον.

([3]) Bene dictum ἐρείσασα, nec male foret dictum ἐρεισαμένη. Libanius, t. 4, p. 1054 : ἕστηκας, ὦ Μενέλαε, τῇ γῇ τὴν ὄψιν χρησάμενος. Proponit Reiskius στησάμενος. Propono veriusque, opinor saltem, ἐρεισάμενος.

τὰ δοράτια· εἶτα συμβάντος ἐν μέσῳ τοῦ δράματος, νῦν, ὡς ἐπανῆλθον, τῷ παραδόξῳ τῆς θέας ἅτερος καθειμένῃ τῇ κεφαλῇ καὶ πιπτούσῃ πρὸς ὦμον ἐδάκρυσεν.

Ὧν ἐν μετεώρῳ τράγοι, τοῖς κέρασι πρὸς ἀλλήλους ἀναστάντες, ποσὶ τοῖς ὄπισθε βαίνοντες καὶ πρὸς τὴν τῶν κεράτων ἐμβολὴν ἐγειρόμενοι, ὁ δὲ σκιρτᾷ μὲν ὥσπερ ἐκεῖνοι, τῶν δὲ τοῦ γέροντος ὤμων προσανεστηκόσι σφάλλεται. Τὸ δὲ λοιπὸν αἰπόλιον, ἢ νόμος αἰγῶν, ἄλλος ἐπ' ἄλλῳ τῆς νομῆς ἀπησχόληται.

Ἀλλ' ἐπεὶ, τῷ ζωγράφῳ δοκοῦν, μέρος τι τῶν Τρωϊκῶν ἐναπετίθει τοῖς γράμμασι, θέας ἡμῖν παραλλαγῇ καταποικίλλων τὰ διηγήματα, δεῦρο δὴ συναναβάντες αὐτῷ πρὸς τὰ μετέωρα, τὴν τοῖς εἰρημένοις ἐπικειμένην γραφὴν τῷ λόγῳ καὶ αὐτοὶ ζωγραφήσωμεν.

Ἐπόνουν Τρῶες, ἐπόνουν Ἕλληνες ἀμφ' Ἑλένην μαχόμενοι (¹). Καί ποτε συμβαλεῖν μελλόντων, εἴτι καὶ μέμνημαι τῶν ἐπῶν, ἀκμῇ τε καὶ θυμῷ σφριγῶντος αὐτοῖς τοῦ στρατεύματος, καὶ κατ' ἀλλήλων ἐπειγομένων, τῆς κοινῆς μάχης ἐδόκει πέρας ἔσεσθαι τὴν περὶ τῆς Ἑλένης κρίσιν εἰς δύο που περιστήσαντος (²), εἴς τε Πάριν, εἴς τε δὴ καὶ Μενέλαον, τὸν μὲν ἣν εἶχε δικαίως ζητοῦντα, τὸν δὲ ἣν ἔλαβεν ἀδίκως οὐ μεθιέναι βουλόμενον· « Ἀλλὰ κρινέσθων οὗτοι τοῖς ὅπλοις, δικα« ζούσης, φημὶ, ἀνδρείας τῷ νικῶντι τὸ γύναιον ». Ἔδει σπονδὰς ἐπὶ τούτοις γενέσθαι, καὶ γίνονται. Καὶ πάρεστιν ἐπὶ συνθήκαις ὁ Πρίαμος μᾶλλον τῶν παίδων ἐκ τῆς πολιᾶς πιστευόμενος (⁴). Ὅρα τὸ ζεῦγος ὅσον ἐπείγεται δρόμῳ, ὑφ' ἡνιόχου γέροντος ἰθυνόμενον. Κοινωνὸν δὲ τῆς πορείας καὶ τοῦ ἅρματος Ἀντήνορα τοῦτον ἡ μὲν ποίησις εἶπεν (⁵), ὁ δὲ γραφεὺς οὐκ ἠγνόησε. Τὸ δ' οὖν φορτίον τῷ ζεύγει γέροντε δύο συμ-

(¹) Forsan, ἀμφ' Ἑλένῃ μαχόμενοι, ut est apud Homerum, quem respexit Choricius, Il. 3, 70, 91 : ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι.

(²) Περιστήσαντος non nitide pendebit ab στρατεύματος ob interpositum ἐπειγομένων. Forsan περιστήσαντος Ἕκτορος, collata Il. 3, 85....

(³) Verba sunt quidem Hectoris, τοῦ περιστήσαντος, sed ficta ex oratione Homerica : Ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, Κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε, οἴκαδ' ἀγέσθω.

(⁴) Menelaus, Ἄξετε δὲ, inquit Il. 3, 105, Πριάμοιο βίην, ὄφρ' ὅρκια τάμνῃ Αὐτὸς, ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι.

(⁵) Il. 3, 261 : Ἂν δ' ἔβη Πρίαμος, κατὰ δ' ἡνία τεῖνεν ὀπίσσω. Πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσατο δίφρον.

φοραῖς καὶ γήρᾳ καμπτομένῳ · ὁ μὲν τὴν πρόσθεν ἔχει χώραν καὶ τῶν ἡνίων ἀντέχεται · ὁ δὲ Ἀντήνωρ ἐπανέβη τοῦ προλαβόντος ἐχόμενος. Πάρος βαίνουσι δὴ καὶ πρόδρομοί τινες ὁπλῖται τὸν βασιλέα δορυφορήσοντες.

Συναποβῶμεν τῷ Πριάμῳ τοῦ ζεύγους καὶ Ἀντήνορι · τῆς δεξιᾶς ἑλόντες προσάγωμεν Ἀγαμέμνονι κεκυφότα τῷ γήρᾳ καὶ βακτηρίας ἐχόμενον. Ὁ δὲ πρᾷος Ἀγαμέμνων καὶ χεῖρα προτείνει καὶ δεξιὰν πολέμιον ὑποδέχεται, κἂν Ὀδυσσεὺς... οὐκ εἴασε περαιτέρω βαίνειν · ἀγορεύει Πριάμῳ καὶ στῆναι τῇ χειρὶ τῷ γέροντι διατείνεται · ἀξιῶ... καὶ πόῤῥωθεν ἑστῶτα λέγειν τι καὶ ἀκούειν τὸν πρεσβύτην ἐθέλων μόνον... λὸν φθεγγόμενος. Ἄοπλος μὲν Ἀγαμέμνων τὰς σπονδὰς μηνύων τῷ σχήματι, καὶ ὅπερ μόνον ἔχει ξίφος ἀσφαλείας ἔσχατον λείψανον ἐκ... λαιᾷ παραδίδωσι... στήσας τῇ λαβῇ τοῦ ξίφους ἐπαναπαύει τὴν χεῖρα. Χλανὶς δὲ τοῖς ὤμοις ἐπιῤῥίπτεται ([1]), καὶ... αὐτῷ ποικίλος, ζώνῃ δή τινι περὶ τὰ μέσα σφιγγόμενος. Πάρεστιν Αἴας αὐτῷ τὸν Ὀδυσσέα, καὶ τὸν Τυδέως, εἰ βούλει, τῇ χειρὶ μιμησάμενος, ἐκ νώτων Ἀγαμέμνονος προτείνων τὴν δεξιὰν Πριάμῳ, καὶ στῆναι λέγων μηδέν τι τῶν βασιλέως ἁπτόμενον · ὁ δὲ Νέστωρ, λευκῇ προλάμπων πολιᾷ, καίπερ ἐκ μέσου φαινόμενος · τῷ γὰρ Ἀτρέως παρέστηκε σύμβουλος ἕτοιμος, μή τι καὶ δέῃ ([2]) πυνθάνεσθαι. Μενέλαος δὲ ὁπλίτης ἀγαθὸς καὶ πρὸ τῆς μάχης καταπλήττει τὸν βάρβαρον. Πᾶς τε καθώπλισται καὶ δορυφορεῖ, ὀρθῆς τε τῆς ἀσπίδος ἐφάπτεται, οὔπω ταύτην ἀναλαβών, οὔπω δόρυ κλίνας εἰς πόλεμον, ἀλλ' ἐῤῥωμένῃ δεξιᾷ καὶ πρὸς αὐτοῖς διηγμήμασι ([3]) συνέχων, ἔτι τέως ἱστῶν ([4]). Ἀναμένει γὰρ τοῦ παρ' αὐτὸν ἑστῶτος Διομήδους μάχης τε σύνθημα καὶ σάλπιγγος ἦχον ([5]). Ὡς γοῦν γεγόνασιν αἱ σπονδαί, καὶ ἤχησεν ἡ σάλπιγξ τὸν θυμὸν αὐτοῖς παραθήγουσα, παρεστᾶσι μὲν Αἴας εἰς ὀμφαλὸν τὰ στέρνα γυμνούμενος, ἀδελφός τε Ἀγαμέμνων καὶ Νέστωρ ὁ Πύλιος · Ὀδυσσεὺς γὰρ εἰς προθυμίας μονομαχοῦντι συγκινεῖται, ὥσπερ οἱ σφοδροὶ θεαταὶ τοῖς ἡνιόχοις κοι-

([1]) Ed., ἐπιῤῥίπται.

([2]) Ed., δέει. Solita permutatio. Libanius t. 4, p. 684 : ἂν ἐμοὶ δοκῇ, φθέγξῃ, καὶ σιωπήσῃ πάλιν · ἂν ἐμοὶ δοκῇ, τυρὸν ἔδῃ καὶ ἄρτον, καὶ κάρδαμόν γε καὶ μάζαν. Codex 3017 σιωπήσεις et ἔδει. Hæc varietas nullius ibi momenti ; illa autem mala. Simul monendum esse in codice ἢ κάρδ.

([3]) Exhibeo quod exhibuit M.

([4]) Fors. ἔτι τε οὖς ἱστῶν. Conf. p. 475, n. 2.

([5]) Vide p. 164, n. 5.

νωνοῦντες τοῦ σχήματος. Σχεδὸν δέ τι καὶ βοῶντος αἰσθάνομαι· « Βάλλε τὸν ἄνδρα, βάλλε « δι' ὃν Ἑλένης χηρεύεις, δι' ὃν ἐπλανώμεθα». Ὁ δὲ Μενέλαος, μετὰ τὴν δοράτων ἀπειλὴν εἰς ξίφη τῆς μάχης ἐλθούσης,

« Ἦ, καὶ ἐπαΐξας κόρυθος λάβων ἱπποδασείης (1) »·

συναρπάζει γὰρ τῷ δρόμῳ, καὶ τοῦ κράνους ἐφέλκει, καὶ τῇ πληγῇ συνεπαίρεται, καὶ θρηνεῖται Πάρις καὶ μήπω τάχα βαλλόμενος. Τοιγαροῦν ὁ Πρίαμος πολιὰν καὶ χεῖρα πρὸς ἱκετηρίαν προβάλλεται, καὶ προσπλήττει τὰ μέτωπα, τὴν δεξιὰν θατέρου (2) πρὸς αἰθέρα μετεωρίζοντος καὶ σὺν ἐκπλήξει τὴν τύχην ὀδυρομένου. Ἀντήνωρ δὲ παρέστηκε Πριάμῳ μή τι καὶ λάθῃ δεινὸν ὑπ' ἀθυμίας αὐτῷ (3) μηχανώμενος. Ἀλλὰ στῆσον τὴν πληγὴν (4), ὦ Μενέλαε, μὴ λάθῃς πρόσθεν δι' Ἀλεξάνδρου μαχόμενος, μικροῦ δὴ καὶ γυμνὴν βαλὼν Ἀφροδίτην, περιχυθεῖσαν τῷ Πάριδι. Ἐκ νώτου γὰρ ἐπίκειται (5), καὶ οὐ παραιτεῖται πληττόμενον κεχυφότα κατὰ τῆς ἀσπίδος πρὸς ἔδαφος, καὶ τὴν τοῦ κράνους λαβὴν τῇ δεξιᾷ διαλύοντα (6)· καὶ κλείει (7) σοι τὴν νίκην Ἀφροδίτη, ὦ Μενέλαε, καθάπερ ἐκ Σπάρτης τὸ γύναιον.

Θάλαμος ἐντεῦθεν τὸν ἄνδρα στρατιώτην ἐδέξατο (8), καὶ δίφρος αὐτῷ πρὸς τῆς κιγκλίδος ὑπέστρωται. Καὶ τὴν αὐτοῦ σωτηρίαν Ἑλένη δακρύει, κἂν Ἀφροδίτη μὴ βούληται (9). Ὁρᾷς γὰρ ὡς κατήφης τέ ἐστι καὶ κύπτει πρὸς γῆν, καὶ μέμφεται τὴν ἁρπάσασαν Ἀφροδίτην. Ἡ δὲ

(1) Il. 3, 369.

(2) Θατέρου de Antenore videtur capiendum.

(3) Edit., αὐτῷ. Libanius 4, p. 472, 27: πόσιοι δ' ἑαυτούς κατεχρήμνισαν; Codex 3017: πόσοι δὲ αὐτοὺς κατ. Himerius Orat. 12, § 2: τοῖς ἐπὶ τῇ παρ' ἑαυτοῖς τέχνῃ φοιτῶσι. Apponitur varietas αὐτοῖς e cod. Reperi ἑαυτοῖς in cod. Mox § 3: οἱ τοὺς νεῖν ἀδυνατοῦντας ταῖς ἑαυτῶν χερσὶν ἀνέχοντες. Et hic est varietas αὐτῶν. Ipse reperi ἑαυτῶν. Sed Orat. 6, § 2, ubi nihil varietatis notatum fuit in verbis, τιμᾷ... καὶ ὁ θηρατὴς τῇ θήρᾳ ἑαυτοῦ, inveni in codice αὐτοῦ. Talia sunt valde levia. De Himerio volo mereri melius oppleta lacuna Orationis 20, § 2: ἀτὰρ δὴ καὶ... θεατὴς μελῳδίας ἔρχεται. Plene codex: ἀτὰρ δὴ καὶ ἄλλος ὅμιλος θεατ. Ac simili modo Libanio prodero ebrium describenti t. 4, p. 1051: τοῖς μὲν οἰκέταις ἐπέπληττεν· ἡ γυνὴ δὲ κτλ. Hiabat Oratio inter οἰκέταις et ἡ γυνὴ δὲ quam non nemo supplevit probabiliter. At alia omnino est scriptura codicis 1000: τοῖς μὲν οἰκέταις ὡς υἱέσι διελέγετο, τοῖς δ' αὖ υἱέσιν ὡς οἰκέταις· ἡ γυνὴ δέ. Cf. p. 119, n. 5.

(4) Verba sunt sophistæ ipsius Menelaum alloquentis.

(5) Vide Il. 3, 375...

(6) Immo διαλύουσα.

(7) Fortasse κλέπτει.

(8) Vide Il. 3, 382...

(9) Vide Il. 3, 399..

μὴ βουλομένην ἄγει καὶ παραμυθεῖται δακρύουσαν, λεπτῷ χιτῶνι μηδὲν τῶν ἔνδον λανθάνουσαν, καὶ πρὸς κοίτην συνάγει λαιᾷ μὲν τὸν Πάριν, δεξιᾷ δὲ τὸ γύναιον.

Ἀλλὰ τίς τῶν παρόντων θαυμάτων ἡ πρόφασις; τίς δὲ ταύτας φιλοτιμεῖται τῇ πόλει τὰς χάριτας; ἀνὴρ οὗτος ἐπ' ἄκρου τῆς γραφῆς ἐξέχων· καλὸς μὲν ἰδεῖν, καὶ τῇ στάσει καθάπερ ἄγαλμα ἐν μέσῳ νεῶν καθιστάμενον· ἡδὺς δὲ καὶ πείρᾳ γνωσθῇ (¹) ἐν ἱππικοῖς ἀγῶσι καὶ λουτρῶν ἀφθονίᾳ, σεμνότερος (²) τῇ τῶν ὑπάτων στολῇ τὴν φιλοτιμίαν βοῶν, γένει τε λαμπρὸς, καὶ πάντων κόμῃ καὶ ὤμων (³) προβεβλημένος, ἐκ πατρὸς εὐσεβὴς, καὶ τοῖς ἐν ἐνδείᾳ τὰς τύχας ἐπανορθούμενος, τῷ παιδὶ τοῦ Κόνωνος (⁴) τὴν αὐτὴν ἔχων προσηγορίαν καὶ τύχην καὶ λαμπρῶν ἔργων μάρτυρα τὸν ἐπὶ τῆς κεφαλῆς βασιλέα ποιούμενος.

(¹) Forsan γνωσθεὶς.

(²) Forsan σεμνοτέρως vel σεμνότερον.

(³) Sic Editio.

(⁴) « Timotheus, Conenis filius, Atheniensis, fortunæ præsertim varietate nobilitatus. Heic autem designat Choricius Timotheum Gazæum, grammaticum, poetam, et de animalibus scriptorem, sub Anastasio imperatore clarum, de quo Suidas [V. Τιμόθεος Γαζαῖος] et Schol. Palat. [ad Joannis Gazæi Ἔκφρασιν] apud Fabricium in Choricio [Bibl. Gr. t. 9, p. 760], denique Tzetzes Chil. ιν, Hist. 128». MAIUS. Ejus de syntaxi opusculum reperitur in Anecdotis Paris. Crameri viri d., quem vide t. 4, p. 246. Sed mirum mihi quidem accidit Choricium de tam docto viro, grammatico et poeta, agentem, ejus doctrinam et versus ne verbulo quidem attigisse. Fere crediderim Timotheum quemdam alium innui, cujus Choricius solus nunc testis supersit. De Timotheo grammatico probabilius intellexerim Procopii Gazæi epistolam 67, cujus hoc est initium in Maiana : τὸν εὐλαβέστατον Τιμόθεον τὸ μὲν σχῆμα πρὸς ἡσυχίαν καλεῖ, τὰ δὲ τῆς τύχης λυπηρὰ τὴν ἀνάγκην ἐπάγοντα καὶ τὴν πρὸς ὑμᾶς ὁδὸν κελεύει.

ΠΕΡΙ ΕΑΡΟΣ (1).

Ἡ διάλεξις πρόφασιν λαβοῦσα τῶν ῥόδων ἐπὶ τοῦ ἔαρος διαλέγεται.

Ἀλλ' ἐπεὶ χειμὼν ἐκποδὼν καὶ νέφη, οὐδὲν δ' ἔτι τὴν θέαν λυπεῖ καὶ τὸ ἔαρ ὑπέλαμψε, φέρε δὴ καὶ ἡμεῖς ὥσπερ τινὰ χειμῶνα λόγων τὴν σιωπὴν διαλύσωμεν. Δεινὸν γὰρ ἂν εἴη εἰ χελιδόνες μὲν τῇδε κἀκεῖσε τὸν ἀέρα περιφοιτῶσαι ᾄδουσιν, οἶμαι, τὸ ἔαρ οἷον ᾄδειν ἐθέλουσαι, παρ' ἡμῖν δὲ γένοιντο ἀτιμότεραι τῶν ὀρνέων (2) αἱ Μοῦσαι, ἐπεὶ καὶ οἱ κύκνοι νῦν ἐκ τῆς ὥρας εἰς μνήμην ἔρχονται τῆς ᾠδῆς, καὶ ἐπὶ Ξάνθον, οἶμαι, ποταμὸν ἢ Καΰστρου (3) τὰς ὄχθας, ἢ καὶ ἀνὰ πεδία περὶ Πάκτωλον (4) ἐκεῖνον τὸν Λύδιον ποταμὸν, ἀνίπτανταί τε καὶ, τῷ ζεφύρῳ τὸ πτερὸν ἐπιτρέψαντες, ὑμνοῦσί τε τὸν Ἀπόλλω (5) καὶ τῆς μουσικῆς

(1) Ex Maii Spicil. Rom. t. 5, p. 445. Sed forsan opusculum Procopio Choricii magistro tribuendum. Vid. p. 175, n. 5. Addidi lemma.

(2) Nonne fuit dicendum ἢ παρ' ὀρνέοις? Sententiæ non apta esse videntur quæ scripsit.

(3) Philostratus Icon. 1, cap. 11 : ἀγέλαι δὲ αὐτῶν (cycnorum) ἀρθεῖσαι Καΰστρῳ ταῦτα καὶ Ἴστρῳ ᾄσονται. Homerus Il. 2, 460; Anacreon Fr. 1, 8, ubi Fischer.

(4) Dionysius Perieg. 831 : Πάκτωλος... Τοῦ δ' ἂν ἐτι πλευρῇσι καθήμενος εἴαρος ὥρῃ, Κύκνων εἰσαΐοις λιγυρὴν ὄπα. Callimachus Del. 249 : κύκνοι δὲ θεοῦ μέλποντες ἀοιδοὶ, Μηόνιον Πάκτωλον ἐκυκλώσαντο λιπόντες... Μουσάων ὄρνιθες, ἀοιδότατοι πετεηνῶν.

(5) Ferebant enim cycnos non ore canere, sed vento alas moveri, quæ sonum redderent musicum. Georgius Pisides Opific. 1170 : Κύκνον δὲ ποῖος ἐξεπαίδευσε τρόπος Εἰς αὔραν ἐλθεῖν μουσικῆς εὐρυθμίας, Ὃς τὴν πτερωτὴν ἐξαπλώσας πυκτίδα, Τερπνὴν ξενουργεῖ ταῖς πνοαῖς μελῳδίαν. Scribendum πηκτίδα. Gregorius Naz. Epist. 1, fabula de hirundinibus et cycnis; in qua cycni μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου, τῆς ἀδολεσχίας μισήσαντες · ἐπεὶ δὲ ἠξίωσαν · ἀλλ' ἡμεῖς μὲν ἕνεκεν ὧν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις, ὥστε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον, ὥστ' εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν, ἀλλ' αὐτὸ δὴ τοῦτο κάλλιστόν

ὑπομιμνήκουσι λύρας. Κἀκεῖνος ἥδιστα μὲν τούτων ἀκούει· δρῶν δὲ καὶ τὴν δάφνην εὐθαλῆ τε καὶ πολλῇ τῇ κόμῃ σεμνυνομένην, καὶ τὸν ὑάκινθον ἄρτι φαινόμενον, παλαιῶν ἐρώτων εἰς μνήμην ἐλθὼν, ἀναλαμβάνει τὴν λύραν, καὶ ᾄδει μὲν τὸ ἔαρ, ᾄδει δὲ ἐκείνων τὸν ἔρωτα· ὡς ἡ Δάφνη παρθένος καλὴ, ὁ δὲ Ὑάκινθος Λακωνικὸν ὑπῆρχε μειράκιον· ἀλλ' ἡ μὲν ὑποφεύγει, καὶ τὸν ἐραστὴν ἠρνεῖτο, καὶ μεταβάλλεται· ἀλλ' Ἀπόλλων, φυτὸν ἀντὶ κόρης ἔχων, οὐκ ἀρνεῖται τὸν ἔρωτα· ὁ δὲ Ὑάκινθος ὁ παῖς ὁ καλὸς, δυοῖν ἐρασταῖν τυχὼν, προὔκρινε μὲν, ὡς εἰκὸς, τὸν Ἀπόλλω, χαλεπαίνει δὲ ὁ Ζέφυρος, καὶ τέθνηκε τὸ μειράκιον, καὶ ἄνθος ἐγένετο, καὶ διασώζει τὸ κάλλος.

Παραπλήσιον δέ τι πάθος τὸν Πᾶνα κατείληφε. Ὅθεν, οἶμαι, καὶ ἀσπάζεται τὸ ἔαρ τὴν πίτυν κομῶσαν δρῶν. Ἦν γὰρ αὐτὴ παρθένος (1), εἰ καὶ δένδρον ἐγένετο· ἐμβαλοῦσα δὲ εἰς ἅμιλλαν ἐραστῶν, ὑπερεῖδε τὸν Βορέαν (ἄνεμος γάρ), αἱρεῖται δὲ μᾶλλον τὸν Πᾶνα, δρῶσα ὡς ἡδέως ἐσκίρτα (2), ἡδὺ προσέπνει τῇ σύριγγι. Ἀλλὰ τοῦ Βορέου κατὰ κρημνοῦ ταύτην ἐπώσαντος, ἡ νῦν δρωμένη πίτυς ἐγένετο.

Οὕτω μὲν εἰς θεοὺς ἡ τῆς ὥρας ἡδονὴ διϊκνεῖται. Ἀνθρώπων δ' ὁ μὲν ἐξ ἐμπορίας ἔχων τὸν βίον, ἥδεται τὴν θάλασσαν ὑπτίαν δρῶν ταῖς ἀκταῖς ἠρέμα προσπίπτουσαν (3), καὶ ὥσπερ τοῖς αἰγιαλοῖς σπενδομένην (4)· ὅθεν θαῤῥεῖ μὲν ἐπιβαίνειν νηὸς, ἄγει δὲ τὰ φορτία μετὰ κουφῆς ἐλπίδος τῶν τῆς ὥρας πνευμάτων ἐκ πόλεως εἰς πόλιν εὐμενῶς τὴν ὁλκάδα παραπεμπόντων, καὶ διακομίζεται τοῖς ἀνθρώ-

ἐστιν ἡμῶν ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος. Ex codice 2991 A enotavi varietatem scripturæ non spernendam : ...... ἐπεὶ δὲ καὶ ἠξίωσαν, ἀλλ' ἡμῶν μὲν, ἔφασαν, ἕνεκεν, ὦ αὗται. κἂν εἰς τὰς ἐρημίας.... μουσικῆς ἡμῶν, ἐπειδὰν ἀνῶμεν.... ᾄδομεν, τοῦτ' αὐτὸ κάλλιστον.... φιλοσοφοῦμεν μέτρῳ τ. μ. Anacreonticum Fragm. 1, 8 : Ἅτε τις κύκνος Καΰστρου Πολιοῖς πτεροῖσι μέλπων Ἀνέμου σύναυλον ἠχήν. Ibi Fischer. Philostratus Icon. 1, 9, p. 17 : ἄνεμος τοῦτο ζέφυρος, τὴν ᾠδὴν τοῖς κύκνοις ἐνδιδούς. Ibi Jacobs. Procopius Gazæus Epist. 61 Maianæ : ὁ μὲν κύκνος εὐθὺς ἐνήχει ταῖς ἀκοαῖς, καὶ ὥσπερ τῷ ζεφύρῳ τὸ πτερὸν ἀνεὶς, ὅλαις ἀνέκειτο ταῖς ᾠδαῖς καὶ μουσικωτάταις. Adde Menagium ad Malherb. p. 313.— Præterea cycni dicuntur Platoni Phæd. § 77, θεράποντες Apollinis, ejus ἀοιδοὶ Callimacho Del. 249. Ibi Spanh. Addatur Plutarchus De εἰ Delphico § 6 : εἰ δὴ μουσικῇ τε ἥδεται (ὁ Πύθιος) καὶ κύκνων φωναῖς.

(1) Vide p. 116, n. 7. Fors. αὕτη.

(2) Ed., ἐσκύρτα. Statim ante ἡδὺ videtur periisse καί.

(3) Quod est argumentum declamatiunculæ Choricianæ supra p. 140.

(4) Similia supra p. 157, n. 1.

ποις ἀντὶ τῶν παρ' αὐτοῖς πλεοναζόντων ὧν ἐν χρείᾳ τυγχάνουσι.

Γεωργὸς δέ τις, πλείστους ὅσους ἱδρῶτας περὶ τὰς αὔλακας ἐκπονήσας, νῦν ὁρᾷ τὸ λήϊον ὡς κύματος δίκην ὑπὸ τῆς αὔρας κυρτοῦται καὶ ἐπικλίνεται. Ταῦτα θεώμενος καὶ τὴν ἀμοιβὴν ὁρῶν, τῶν πάλαι πόνων ἐπιλανθάνεται.

Ἤδη δὲ καὶ ποιμένες τὰ ποίμνια, αἰπόλοι δὲ τὰς αἶγας καὶ τὰς βοῦς οἱ βουκόλοι, νῦν μὲν ἐπὶ πόαν ἄγουσι, νῦν δὲ ἐπὶ πηγὰς ἡγοῦνται καὶ νάματα. Καὶ συρίττουσι μὲν οἱ νομεῖς, τὰ δὲ θρέμματα χρονίαν (¹) μουσικὴν εἰσδεχόμενα, ὀρθά τε ἵστησι τὰ ὦτα (²), καὶ τοῖς πηδήμασιν αἴρεται. Ὁρῶν δέ τις αἶγα πλήρη τοῦ γάλακτος, ὑπο τὴν θηλὴν ὑπέχει τὸ στόμα καὶ ἐπισπᾶται τοῦ γάλακτος νᾶμα (³)· καὶ ᾄδει μὲν τὰς Νύμφας, ὑμνεῖ δὲ τὸν Πᾶνα. Καὶ ὧραι φίλαι πολλάκις ἐφθέγξαντο (⁴).

Ἐγὼ δὲ χθές που καὶ τρίτης ἡμέρας, ἐπειδὴ τῆς ὥρας ᾐσθόμην, εὐθὺς ἐκ χειρῶν ἐκβαλὼν τὰ κιβία (⁵), ᾔειν πρὸ τοῦ ἄστεος, ἐπικλινούσης ἡμέρας. Καὶ ἔξω τείχους γενόμενος ἐπ' ἐμαυτὸν ἐμπορεύομαι (⁶), ἄλση τε φέρων καὶ δένδρα, καὶ τῇδε κἀκεῖσε τοὺς ὀφθαλμοὺς πλανώμενος, εἰς μνήμην ἀφικόμην Σωκράτους τοῦ Σωφρονίσκου. Ἐξάγει γάρ ποτε καὶ τοῦτον λόγος ἀρχαῖος (⁷) τοῦ ἄστεος· καὶ, περὶ τὸν Ἰλισσὸν ἀφικνούμενος (Ἀττικὸς δὲ οὗτος ὁ ποταμός), ψυχροῖς τοῖς ὕδασιν ἐμβάλλει τὼ πόδε, καὶ ἐπὶ πόᾳ τινὶ μαλθακῇ κατακλίνεται (⁸) καὶ ψυχάζει· πλάτανος δὲ καὶ δένδρον (⁹) παραπεφύκει καὶ τὴν σκιὰν αὐτοῖς

-(¹) Procopianus pastor supra p. 134 : θαῤῥεῖτε νυν, αἶγες καὶ θρέμματα, καὶ πόαν χρονίαν ἀσπάζεσθε.

(²) Ed. ἵστη. Scripsi ἵστησι. Philostratus Her. p. 80 : εγὼ οὖν σου ἀκούων τά τε ὦτα ἵστημι. Libanius t. 4. p. 629, 22 : ἐγὼ δὲ ἔστησα τὰ ὦτα.

(³) Verba ὑπὸ τὴν... γάλακτος allegantur a grammatico in Bekkeri Anecdotis p. 143, 24, sub Procopii nomine, qui fuit Choricii magister. Vide pag. 1, n. 1. Fere crediderim non invenisse vocabulum νᾶμα (Ed., νάμα) grammaticum Bekkerianum in codice quo utebatur, et potest quidem sine sententiæ dispendio abesse.

(⁴) Sic Editio.

(⁵) Forsan κύβια, frusta salsamentorum, quibus alebatur; vel κισσύβια. Sed ista nomina vix placere possunt. Forsan et βιβλία.

(⁶) Forsan ἐπ' ἐμαυτοῦ ἐμπ., «per me solus incedo ».

(⁷) Platonis scilicet in Phædro §§ 5-9.

(⁸) Vide p. 138, n. 7.

(⁹) Plato l. l. § 9 : ἥ τε γὰρ πλάτανος μάλα ἀμφιλαφής τε καὶ ὑψηλὴ, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον.

ἀπετέλουν. Παρῆν γὰρ αὐτῷ καὶ Φαῖδρος ὁ καλὸς νεανίας, καὶ θαυμάζει τὸ ἄλσος καὶ ταῖς Νύμφαις προσηύξατο.

Ταῦτα δὲ λογιζόμενος, λειμῶνι θαυμαστῷ κατά δή τινα τυχὴν ἐφιστάμενος · τοῦτον μέσον διαῤῥεῖ τὰ ὕδατα, χρώμασι δὲ τῶν ἀνθῶν ποικιλλόμενος, γραφὴν ἐμιμεῖτο. Καὶ ᾖδον μὲν ὑπὲρ κεφαλῆς ὄρνιθες μουσικοί · αἱ δὲ μέλιτται, τὰ ἄνθη περιβομβοῦσαι, ὅσα λάβοιεν τοῖς σίμβλοις ἐναπετίθεντο. Πλὴν (1) γὰρ ἐπί τινος πέτρας ἐῴκεισαν εἶναι, ἐξ ἧς τὸ ὕδωρ καταῤῥέον τὸν λειμῶνα διήρχετο. Ταῦτα ἰδὼν τὴν κεφαλὴν ὑπέκλινα τῇ χειρὶ, καὶ προσέστην καὶ ἐκεχήνειν τοῖς (2) ἄνθεσιν. Ἠπόρουν δὲ ὅτῳ τοὺς ὀφθαλμοὺς ἐπερείσαιμι.

Ἐνταῦθα καὶ (2) κῆπον εἶδον, καὶ τὸ τούτου πάθος (3) μικροῦ καὶ ἐθρήνησα. Ἦν γὰρ μειράκιον εὐπρεπὲς καὶ θήρας ἔμελεν (4) αὐτῷ, καὶ ἐθήρα. Καὶ δή ποτε τοῦ ἡλίου θερμότερον πῦρ βαλόντος (ἦν γὰρ ὥρα θέρους), ἐδίψησε, καὶ, περὶ πηγήν τινα, ἣ πλησίον, ἀφικνεῖται · ἅμα δὲ πίνων, οἷα δὴ φιλεῖ, τοῦ ὕδατος καὶ τὰς τῶν (5) ἐφεστηκότων εἰκόνας δεικνύοντος, ἐπ' αὐτὸν (6) ἰδὼν ἐν τοῖς ὕδασιν ᾤετο μειράκιόν τι καλὸν ὑπὸ τὸ ὕδωρ λανθάνειν, καὶ διὰ τῆς εἰκόνος ἑαυτοῦ γέγονεν ἐραστής. Ἐντεῦθεν χαίρειν ἔφη τῇ τέχνῃ. Καὶ οὐκ ᾖδει (7) λοιπὸν οὐκ ἐλάφους, οὐ κύνας, οὔτε θηρία, ἀλλ' ἑαυτὸν ὁρῶν προσεκαρτέρει, καὶ, τὸν πόθον αὔξων ἀεὶ, διαφθείρεται. Οὐκοῦν ἐλεεῖ τὸ πάθος ἡ γῆ καὶ φυλάττει τῇ μνήμῃ, καὶ, εἰς ἄνθος αὐτὸν μεταβαλοῦσα, τοῦ κάλλους οὐκ ἐπελάθετο.

Ἀλλὰ γὰρ ἔοικα, τὸ ῥόδον παρεὶς μεῖζον καὶ λόγῳ καὶ θαύματι, ἐκ τῶν ἐλαττόνων τὸν λειμῶνα θαυμάζειν. Νικᾷ γὰρ εὐθὺ (8) ὀσμῇ τε καὶ κάλλει τὸν θεατὴν εἰς ἑαυτὸ (9) προκαλούμενον · καὶ εἴποις ἂν αὐτῷ παρεδρεύειν τὰς Χάριτας. Φρουρεῖται μὲν γὰρ πανταχόθεν, ὥσπερ ταῖς

(1) Fors. πρίν. « Pridem enim videbantur in rupe quadam domum sibi fecisse ».

(2) Ed., ἐπερείσαιμι ἐνταῦθα· καὶ...

(3) Sic editio, absque lacunæ indicio. Ad sententiam potest legi, donec melior codex reperiatur : ἐνταῦθα καὶ κῆπον εἶδον, ἐν ᾧ νάρκισσος ἤνθει · τὸ τούτου π.

(4) Ed., ἔμελλεν, mendo jam non semel obvio. Procopius Gazæus Epist. 61 Maianæ : ἐπέδωκέ μοι φέρων ὑμετέραν ἐπιστολήν · ἐγὼ δὲ τοὺς τύπους ἐπιγνοὺς, ἅμα τῇ θέᾳ καὶ τὴν ἐπιγραφὴν ἀσπασάμενος, εὐθὺς μελήσας οὐδὲν τῶν γεγραμμένων εἴσω γεγενῆσθαι. Legendum μελλήσας.

(5) Nitidius poterat scribi : καὶ τοῦ ὕδατος, οἷα δὴ φιλεῖ, τὰς τῶν...

(6) Forsan, ἐπὶ ἑαυτὸν, ἐφ' αὐτόν.

(7) Forsan, οὐχ αἱρεῖ.

(8) Forsan εὐθύς.

(9) Ed., εἰς ἑαυτόν. Tum velim προσκαλούμενον.

ἀκάνθαις κύκλῳ δορυφορούμενον, καὶ μὴ (1) τὸν βουλόμενον ὑβριστικῶς αὐτῷ καὶ οἷον ἐκ παρέργου προσάγειν τὼ χεῖρε. Οὕτω γάρ τις προσιὼν, καὶ μὴ ὡς μέγα τι ληψόμενος, μηδὲ τὰ εἰκότα τιμήσας, δίκην ἕξει τῆς ὕβρεως τὴν πληγήν. Αὐτὸ δὲ βασιλικῶς ἐκ μέσης ἀνατέλλον τῆς κάλυκος ἀναφαίνεται, καὶ δόξαις ἂν (2) ἐντεῦθεν ἔρωτας ἀφίεσθαι τοῖς θεωμένοις. Ἐρυθροῦ χρώματος τῷ λευκῷ συνελθόντος καὶ μετὰ τὴν μίξιν εἰς ἄλλο χεομένου (3), ἑκατέρου τὸ ἄκρον ἀνεῖται. Μή τοι λόγος ὡς λευκὸν ὑπάρχον τὸ ῥόδον τὴν νῦν ἰδέαν ἐντεῦθεν προσέλαβεν(4);

Ἄδωνις καλὸς ὑπῆρχε καὶ κυνηγέτης, καὶ ἤρα τούτου ἡ Ἀφροδίτη (5). Οἱ γὰρ Ἔρωτες, ὡς ἔοικεν, οὐδὲ τῆς μητρὸς ἐθέλουσι φείδεσθαι (6). Θηρῶντες δέ ποτε τοῦτον (7), ὑπὸ θηρὸς ἀγρίου πληγέντα κεῖσθαι συνέβη, καὶ ἀγγέλλεται τοῦτο τῇ Ἀφροδίτῃ. Εὐθὺς οὖν καὶ ὡς εἶχεν ἀνέτρεχε, καὶ γυμνῷ ποδὶ διὰ πάντων ἐφέρετο, μὴ προσορωμένη τι τῶν ἐν ποσὶ δυσχερῶν· ὅθεν εἰς ῥοδωνιὰς ἐμπεσοῦσα, πλήττεται

(1) Videtur excidisse unam saltem vocem : καὶ μὴ ἐῶν, καὶ μὴ δεχόμενον.

(2) Ed., δόξεις ἄν.

(3) Ed., εἰς ἄλλον χεεμένου.

(4) Ed., ἑκατέρου τοι ἄκρον ἀνεῖται, μή τοι λόγος... προσέλαβεν. Refinxi ut potui.

(5) Locos illos communes declamatorum respiciebat Procopius Gazæus Epistola 8 Maianæ : καί που ζητεῖς ἐν τοῖς γράμμασι ἄνθη καὶ χελιδόνας, καὶ θαλάττης μεταβολὴν ἥμερον, τόν τε Ἄδωνιν τὸν καλὸν καὶ τὴν Ἀφροδίτην ἐκείνην τὴν παραδόξως ἐρῶσαν, καὶ ὅτι μὴ τὸ ῥόδον ἀκούεις καὶ τὴν ἐπ' αὐτῷ χάριν πάλαι θαυμάζεις. Quærat et lector Epistolam octavam ejusdem Procopii in Aldina, circa easdem imagines ludentis non insuaviter. Conferat etiam Epistolam 40. Et multus est Georgius Pachymeres de fabula Veneris et Adonidis mutatoque rosæ colore in Progymnasmatis. In transcursu tangam nonnullos locos non satis emendate editos. Atqui legitur, p. 560, 4 : ἤρα, φασὶν, Ἀφροδίτης Ἄρης, ἀντήρα δ' αὕτη Ἀδώνιδος.... Οὐκ Ἔρως τῶν πάντων κρατεῖ; οὐ γῆς καὶ θαλάσσης δυναστεύει, καὶ ὅσον ἀέρων; Codex φησί. Quod servari secure potest. Sic p. 558, 4 : ἤρα, φησὶν, Ἀφροδίτης Ἄρης. Ad Marinum ostendi dici φησὶ eodem sensu ac φασὶ in allegandis testimoniis. Codex ὅσον ἀέριον. F. ὅσων ἀερίων. Rursus Pachymeres p. 560: τί γοῦν ἄπιστον καὶ τὸν θεὸν σπεύδειν ἀμύνειν καὶ αἷμα καταῤῥεῦσαι τοῦ τραύματος; Codex plenior : τί γοῦν ἄπ. κ. τὴν θεὸν σπ. ἀμύνειν ἐξ ἑτοίμου γυμνοποδοῦσαν, καὶ ταῖς τῆς ῥοδωνιᾶς ἀκάνθαις προσπταῖσαι συμβῆναι, καὶ αἷμα κατ.... Necessaria lectio τὴν θεὸν de Venere. Idem mendum in eadem narratione p. 559, 16 : εἰ δέ γε καὶ ταῖς ἀκανθαις προσέπταισεν (cod. προσεπταισε), καὶ ἓν τῶν ἀνθέων ἠλλοίωσε (cod. ἠλλοίωτο) τὴν χροιὰν ἐκ τοῦ αἵματος, τί κοινὸν καὶ τοῖς ἄλλοις τὸ μεταβάλλεσθαι; εἰ δὲ τῇ τοῦ θεοῦ δυνάμει.... Cod. τῇ τῆς θεοῦ.

(6) Ad sententiam n. 2, p. 139.

(7) Forsitan, θηρῶντος δέ ποτε τούτου.

ταῖς ἀκάνθαις τὸν πόδα. Καὶ τῆς θεοῦ τὸ αἷμα τοῖς ῥόδοις φύσις ἐγένετο, εἰκότως ἄρα· εἰ μὲν καὶ ταῖς ἀληθείαις οὐκ οἶδα· ἐν δὲ ταῖς γραφαῖς στεφανοῦνται τοῖς ῥόδοις Ἀφροδίτη καὶ Ἔρωτες.

Τοσαῦτα τοῦ λειμῶνος ἀπολαύσας, καὶ τῶν ῥόδων πλεῖστα συνεπαγόμενος, ἀπῄειν οἴκαδε, τὸ ἔαρ ᾄδων, καὶ πάλιν ἰδεῖν τὴν ὥραν εὐχόμενος (¹).

(¹) Similium declamationum finis similis pp. 133, 139.

ΜΟΝΩΔΙΑ (1).

Προτρέχει μοι τοῦ λόγου τὸ δάκρυον, ἀδελφὲ φίλτατε, καὶ ἡ φωνὴ ἐπιλείπει, καὶ ἡ γλῶττα ἐπέχεται. Οὐδὲ γὰρ ἐπιθαλάμιον ᾄδω σοι, οὐδὲ κρότον ἐγείρω γαμήλιον (εὐκταῖα ταῦτα καὶ κρείττονα (2) τύχης γνωρίσματα), ἀλλ' ἐπιθανατίους πλέκω σοι τὰς ᾠδὰς, καὶ θρήνων ἐξάρχω καὶ γοερὸν ἀνακρούομαι. Ἀλλὰ τίνι περιχυθῶ; πῶς ἀποκλαύσομαι, μήτε τάφον ὁρῶν, νεκρὸν οὐκ ἔχων; ὅλον γάρ σε καὶ ψυχῇ καὶ σώματι προσαφῄρημαι. Σοφίσομαι δὲ τὴν συμφορὰν καὶ, ὡς ἐν κληρίῳ (3), τῷ θρεψαμένῳ σε δόμῳ τὰς τῆς γλώττης χοὰς ἐπισπείσω σοι. Ἐνταῦθά τοι τὸν κρατῆρα στήσω τοῦ πένθους, ἔνθα σοι καὶ τὸ τῶν Μουσῶν νέκταρ ἐκέρασα. Ἐνταῦθά σοι μονῳδήσω τὸν ἔσχατον καὶ πικρὸν ἐξιτήριον, ἔνθα σοι τὸν γλυκὺν εἰσιτήριον πολλάκις ἐκρότησα (4).

(1) **Ex Maii Spicilegio Romano t. 5, p. 449. — Una est præterea [in cod. Vaticano 1898] Oratio funebris in adolescentem discipulum et familiarem, *quem Furiæ torvo dederant spectacula Marti*. Quod item genus in Choricio Photius loc. cit. [Bibl. cod. 160] agnovit, dixitque** μονῳδίαν, **quod nos inscripsimus epitaphium ». MAIUS Præf., p. xxvj. Et inscripsit quidem** Χορίκιου Ἐπιτάφιον. **Maluissem inscribere** Ἐπιτάφιος, Ἐπιτάφιος λόγος. **Malui etiam uti vocabulo Photiano** μονῳδία.

(2) **Ed.,** κρείττονα. **Forsan** κρείττονος.

(3) **Sic Ed. Puto corrigendum** κενηρίῳ. **Herodianus Epim. p. 62 :** κενήριον, τὸ κενοτάφιον. **Ibi mea nota. Vide et Goes. De cepotaphiis p. 25. Scholiastes Pindari Nem. 9, 30 :** Διευχίδας δὲ... τὸ μὲν κενήριον τοῦ Ἀδράστου ἐν Σικυῶνί φησιν, ἀποκεῖσθαι δὲ αὐτὸν ἐν Μεγάροις. **Agathias Epigr. Anth. 7, 569 :** Ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο. **Confirmabit conjecturam Eumathius 11, p. 417 :** κἀγὼ δ' ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ τὰς τῶν δακρύων χοὰς κατεσπενδόμην τῇ κόρῃ. **Et iterum 7, p. 265 :** ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ πικρὰς ἐπιθανατίους πλέξω σοι τὰς ᾠδάς.

(4) **Eumathius 7, p. 269 :** τὸ δ' ἐμὸν τοῦτο στόμα πλατυνθὲν ἐξ ὀδύνης κατατραγῳδήσει σοι τὸ ἐξιτήριον. **Melius Codex 2897 :** κατατραγῳδήσει τὸν ἐξιτήριον · **subaudito** λόγον.

Συγκαλέσομαι καὶ τὸν ἐμὸν θίασον ὡς ἐπὶ τῷ Πατρόκλου τάφῳ τοὺς ἥρωας Ἀχιλλεὺς(1), καὶ πρὸς φίλον χορὸν ἐρῶ τὰ σὰ, καὶ δακρύσω καὶ κόψομαι. Καὶ ᾄσονται πάντες ἐλεεινὸν ὑπηχοῦντες, οἱ μὲν τὸν ἡλικιώτην πενθοῦντες, οἱ δὲ τὸν ἑταῖρον ἀνακαλούμενοι, καὶ κατ' ἄλλο ἄλλοι (2) τὸν θρῆνον σὺν ἡμῖν ἐξυφαίνοντες· οἵγε καὶ ἀκλητὶ πάρεισιν οἱ πλείους κωμάσοντες(3) σὺν ἡμῖν κῶμον ἄγριον, κρατῆρα Τελχίνων(4), Ἐριννύων τράπεζαν. Καὶ νῦν ὡς ἐν συμφόραις, κατὰ τὴν τραγῳδίαν(5), φίλοι σαφέστατοι, σὲ μὲν οὐ τρὶς ἀνακαλοῦνται μόνον, ὡς Ὀδυσσεὺς τοὺς ἑταίρους ὑπὸ Κικόνων πεσόντας(6), ἀλλὰ πολλάκις καὶ μετὰ δακρύων ἀεί. Εἴποι τίς ἂν ποταμὸν ἐριβρυχῆ καὶ πολύῤῥουν περιῤῥεῖν μοι τὴν οἰκίαν (7)· σοῦ γάρ τις ἐπιμνησθεὶς μέγα μὲν ἐτρυχήσατο (8), πολλὰ δὲ τῶν ὀφθαλμῶν

(1) Vide Il. 23.

(2) Editio, καὶ κατ' ἄλλο ἄλλο. Scripsi ἄλλοι ob ἐξυφαίνοντες. Potuissem et ἄλλος scribere; nec ἐξυφαίνοντες fuisset impedimento. Hunc locum imitatus est Eumathius, p. 5: καὶ κατ' ἄλλον ἄλλος τὸν θρίαμβον ἐξυφαίνει μοι. Legendum puto καὶ κατ' ἄλλο ἄλλος, quod reperi in cod. 2897.

(3) Respectu ad proverbium Zenobii 2, 46, et aliorum parœmiographorum: Ἀκλητὶ κωμάζουσιν ἐς φίλων φίλοι.

(4) Dicebantur Telchines invidi quidam dæmones et malefici. Gregorius Naz. Orat. 3, p. 96: Τελχῖνες πονηροὶ καὶ βάσκανοι δαίμονες. De quibus videndi Harduin. ad Them. Or. 22, p. 672; Possin. Gloss. ad Pachym. V. Τελχίν; Jacobs. Anal. ad Philippi Epigr. 43; Klein. ad Stesich. Fr. 82. Eorum nomina recenset Tzetzes Chil. 7, H. 113. Mazaris in meis Anecd. Gr. t. 3, p. 136: ποῖος Τελχὶν ἧκε φέρων ἐνταυθοῖ τουτονὶ τὸν ἐπάρατον καὶ παλαμναῖον ὑβριστήν; Est ibi παλαμναῖος cum vi peculiari dictum post vocabulum Τελχὶν, quum ἀλάστορες καὶ παλαμναῖοι fuerint epitheta Telchinum propria. Georgius Pachymeres Progymnasmatis rhetoricis c. 10, p. 575: ποῖος Τελχίν μοι τῆς ἀπραγμοσύνης ἐβάσκηνε; τίς δαίμων εἰς τοῦτο ἀποπληξίας ἤγαγεν; Malim codicis quam reperi lectionem, παραπληξίας.

(5) Euripides Hec. 1216: Ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι φίλοι. Eumathius 6, p. 221: ἐν συμφοραῖς, κατὰ τὴν τραγῳδίαν, φίλοι σαφέστατοι Sententia similis τῶν μονοστίχων 521: Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ. Ibi et alia comparavi.

(6) Homerus Od. 9, 64, Ulysse narrante: Οὐδ' ἄρα μοι προτέρω νῆες κίον ἀμφιέλισσαι, Πρίν τινα τῶν δειλῶν ἑτάρων τρὶς ἕκαστον ἀῦσαι, Οἳ θάνον ἐν πεδίῳ, Κικόνων ὕπο δῃωθέντες.

(7) Ed. sic, ἐριβρυχῆ. Scribendum potius ἐριβρύχην, ut scripsit Eumathius 1, pag. 5, Choricium iterum sequutus: εἴπεις ἰδὼν ποταμὸν ἐριβρύχην καὶ πολύῤῥουν ἐπιῤῥεῖν με τὸν κήρυκα.

(8) Ed., σοῦ γὰρ τίς.... ἐτρυχήσατο. Fors. ἐτρυχώσατο. Nam τρυχάω et τρυχέω non fuerunt in usu, sed τρύχω et τρυχόω. Aristophanes Pace 987: ἀλλ' ἀπόφηνον ὅλην σαυτὴν Γενναιοπρεπῶς τοῖσιν ἐρασταῖς Ἡμῖν, οἳ σου τρυχόμεθ' ἤδη Τρία καὶ δέκ' ἔτη.

κατέσταξε δάκρυα, καὶ μιμεῖται ποταμὸν βαρυηχῆ πολυχεύμονα (1)· ἐμὲ δὲ περιϊστᾶσι (2) καὶ δυστυχῆ τινα χορὸν τοῦτον ἑλίσσουσιν· οὐχ οἷον ὅτε σε τὰ Μουσῶν ἐγὼ μὲν ἐτέλουν, οἱ δέ σοι συνεπήχουν καὶ συνωργίαζον, ἀλλ' οἷον καὶ Σωκράτην οἱ ζηλωταὶ περιεστήκεσαν (3), ὅτε πρὸ ὥρας Λαμπροκλῆς ἀνηρπάζετο (4). Λαμπροκλῆς μὲν οὖν ἔτι παῖς ἦν καὶ λαμπρὸν εἶχεν οὐδὲν, ἐφ' ᾧ καὶ Σωκράτης οὐ πάνυ τι ἂν ἴσως ἤλγησεν, ὅς γε καὶ ἄλλως ἐκ φιλοσοφίας ἔῤῥωτο· σὺ δὲ τὸν παῖδα ὑπερέπτης καὶ (5) τὸν μείρακα, καὶ πρὸς ἄνδρας παρήγγελλες, καὶ ἤδη ὁ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ σῖτον ἐν ἀποθήκαις καὶ τοῖς τῆς ψυχῆς ταμείοις ὥριον ἦν, οὐχ ἐν λέμμασιν, οὐδ' ἐν ἀνθέριξιν, ὡς ἠλυγαζόμενος (6) ἔτι καὶ ταῖς ἄλλαις φλυαρίαις τῆς φύσεως· καί σε μυρίαι περιεχόρευον χάριτες (7).

Πῶς ἂν οὖν ἀδακρυτὶ τὸ πάθος ἐνέγκοιμι; τίς τερατεία σοφιστικὴ, καὶ πειθὼ, καὶ παράκρουσις, καὶ σειρὴν μελίγλωττος τηλικαύτην συμφορὰν ἰσχύσει κατασοφίσασθαι; τίς καταγλυκᾶναι καρδίαν (8) οὕτως ὀδυνηρὰν καὶ πικράζουσαν· τίς περίνοια καρτερόψυχος καὶ φιλόσοφος

(1) Ed., πολυχάμονα. Imo πολυχεύμονα. Abiit ευ in α confusione jam nec semel notata. Eumathius hinc proficiens 9, p. 286 : κατὰ ποταμὸν ἐριβρύχην καὶ πολυχεύμονα.

(2) Ed., περιστᾶσι. Scripsi περιϊστᾶσι. Eumathius, Choricio adhærens, 1, p. 6 : ἐμὲ δὲ περιϊστᾶσι καὶ λαμπρόν τινα χορὸν τοῦτον ἑλίσσουσιν. Sed codex, περιστᾶσι. Forsan περιεστᾶσι legendum. Demosthenes F. Legat. § 83 : μεγάλοι κίνδυνοι περιεστᾶσιν ἐκ τούτων τὴν πόλιν.

(3) Eumathius l. l. : οἷον καὶ Σωκράτην οἱ ζηλωταὶ περιειστήκεισαν. Jacobsius ad Achill. p. 400 restituit atticam formam περιειστήκεσαν, e codd. Monac., in quibus quum sit περιειστήκησαν, « voluerunt » ait vir doct., « περιειστήκεσαν ». Sed librariis gente græcis ac lingua, si ex auditu scribunt, περιειστήκησαν idem valet ac περιειστήκεισαν. Ad corrigendum Eumathium plus valebit Choricii lectio, et alius Eumathii locus 11, p. 410, in quo pro παρειστήκεισαν liber Monac. diserte exhibet παρειστήκεσαν.

(4) Fuit Lamprocles Socratis filius natu maximus : vid. Diog. La. 2, 26 ; Xenoph. Memor. 2, 2, 1. Sed aderant tres filii Socratis patri morienti, narrante Platone sub Phædonis finem, ad quem legatur Wyttenbachius, p. 325 ; aderant Lamprocles et Sophroniscus, teste Libanio, ed. Jac. Morellii, quem vide, p. 220. Choricius auctorem sequebatur nescio quem.

(5) Inserui καί. Facile potuit omitti tam brevis vocula, quæ plerumque nec integra scribebatur. Pachymeres Progymn., p. 583, 4 : καλὰ μὲν τὰ αὐθιγενῆ δῶρα .... καλὰ δὲ καὶ τὰ πόῤῥωθεν ἀφιγμένα. Codex, καλὰ μὲν καὶ τὰ...

(6) Rarissimum verbum est ἠλυγάζω.

(7) Cf. similia p. 10, n. 5.

(8) Reponendum videtur aliud vocabulum, καρδιαλγίαν, δυστυχίαν, nescio quid.

δύναιτ' ἂν ὑπολῦσαι δεσμοῖς ἀδαμαντίνοις πεπεδημένον, καὶ ὑπεξαγαγεῖν με τοῦ πένθους, ὡς Ἡρακλῆς πάλαι τῆς ἐν ᾅδου φρουρᾶς τὸν ἑταῖρον Θησέα μυθεύεται (1); ποῖον Ἑλένης λαθικὴ δύναμις (2) φάρμακον ἀποσκευάσεται τὸ λυποῦν καὶ μέσην δάκνον μου τὴν ψυχήν; Οὐδ' εἰν αἵδου (3) λήσομεν τῶν σῶν καλῶν, φίλτατε ἀδελφέ· οὕτω σου περικαίομαι (4), οὕτω σου περιαλγῶ καὶ καταπίμπραμαι τὰ σπλάγχνα τῷ πυρὶ τῷ τῆς φύσεως. Ἐπλήγης, ἀδελφὲ, σὺ μὲν τὸ σῶμα, τὴν δὲ ψυχὴν ἡμεῖς, καὶ ζῶμεν ἐξ ἡμισείας (5) καὶ γεγόναμεν ὥσπερ ἡμίτομοι. Εἴθε παρῆν ἡμῖν δανείσασθαί σοι τὸ ζώσιμον, καὶ τάχα Διοσκούρων ἂν ἦμεν φιλαδελφότεροι. Νῦν δ' ἐπεὶ τοῦτο μὴ πάρεστι καὶ νικᾷ τὰ χερείονα (6), κοινούμεθά σου τὸν θάνατον, καὶ βαδίζομεν ἡμιθανεῖς, ᾅδου σκιαὶ, νερτέρων εἴδωλα (7). « Ὀδυνηρὰ ἡ πληγή σου », μετὰ Ἱερεμίου (8) βοήσομεν· προσεπιθήσω καὶ τοῦτο τῆς προφητικῆς, ὡς ἐν τραγῳδίᾳ (9), μεγαλοφωνίας, ἵν' ᾖ μοι μεγαλοφωνότερον τὸ θρηνῴδημα· « κατέλυσε « χαρὰ καρδίας ἡμῶν, ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν, ἔπεσεν ὁ στέφα« νος τῆς κεφαλῆς ἡμῶν » (10). Ἀλλὰ πῶς ἀπέθανες οὕτω ταχύ; πῶς ἀπερρύης ἴσα καὶ ῥόδον Λοκρὸν (11), καὶ παρῆκας ἡμῖν τὸ γένος ἀκόσμητον;

(1) Hygin. Fab. 79, cum interpretibus; etc.

(2) Innuit φάρμακον illud quod Helena vino miscet Odyss. 4, 200, Νηπενθές τ' ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων. Pro λαθικὴ δύναμις videtur scripsisse λαθικηδεῖ δύναμει. Syllaba δεῖ perierit ante syllabam δυ ob soni similitudinem, quæ librarii audientis, non legentis, aures fefellerit. Themistius Orat. 34, § 8: Ἀλέξανδρος... τὸν καθηγέτην Ἀριστοτέλην πολλῶν καὶ μεγάλων ἀξιώσας.., ὅμως οὐκ ἔστησεν ὄγκῳ τηλικαύτης ἀρχῆς. Videtur excidisse post ἔστησεν syllaba parilis ἐν, ἔστησεν ἐν ὄγκῳ. Sunt in Anecdotis Paris. t. 4, p. 366, de Nepenthe versus leviter mendosi: Τυνδαρέη, κρητῆρα κερασαμένη παρὰ δεῖπνον, Δάκρυα Τηλεμάχου κατέσβεσεν ἐς μίαν ὥρην· Εἰ δὲ ῥόδα προσέμιξε κυπέλλων, Εἶχε μένειν ἄκλαυστος ἕως νόστησεν Ὀδυσσεύς. Scribendum κερασσαμένη et κυπέλλῳ.

(3) Respicit poetæ locum nunc nescio cujus. Similis sententia Achillis, Patroclo interempto, Il. 22, 387: τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε Ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ. Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο, Αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μνήσομ' ἑταίρου.

(4) Chariton 6, 6: ἐκαίετο τῆς Καλλιῤῥόης. Ibi Dorvillius.

(5) Choricius Tyrannicida, p. 69: τῆς τυραννίδος ἐξ ἡμισείας καθῃρημένης. Ibi n.

(6) Homerus Il. 1, 576: ἐπεὶ τὰ χερείονα νικᾷ. Vid. n. ad Anecdota Nova, p. 68.

(7) Hemistichium est Homericum, εἴδωλα καμόντων. Il. 23, 72, et alias.

(8) Jerem. 14, 17.

(9) Infra p. 185, 3, paulo nitidius, ὡς ἐπὶ τραγικῇ συμφορᾷ.

(10) Jerem. Lam. 5, 15...

(11) Eumathius et inde profecit 9, p. 349: εἰ γάρ μου τὸ τοῦ προσώ-

Ὦ μέλημα ἐμὸν, ὦ χαρίτων νεὼς, ὦ φύσεως ἄγαλμα, τίς σε φθόνος κατήνεγκεν οὕτω καλὸν ἔρνος νεότητος; ποία χεὶρ ἐλωβήσατο; τίς τὴν καλὴν παρακαταθήκην (¹) ἐσύλησεν, ἣν μοι ὁ κοινὸς τροφεὺς, ὁ πρὸς μητρὸς θεῖος ἐπίστευσεν ἀπαίρων ἤδη τῶν ἐν λάβρῳ (²) πυρὶ τῷ τῆς λύπης ἀπανθρακούμενος; τίς τὸν τοῦ παντὸς γένους ἀπέκειρε βόστρυχον (³), ὃν ἐγὼ πόλλ' ἐκήπευσα Μουσῶν (⁴) δρόσῳ λιπαίνων, καὶ τἆλλα πρὸς τὸ καλὸν ἐξασκούμενος; τίνες κηφῆνες κεκεντρωμένοι τὴν ἐμὴν γλυκεῖαν εἷλον μέλιτταν; Καὶ νῦν ἀψινθίας θανάτου γεύομεν (⁵). Τὸ γὰρ τῶν Χαρίτων σίμβλον ὅλον εἰς τάφον κεκένωται. Ἔδυς ὑπὸ γῆν ὁ ἡμέτερος ἥλιος (⁶)· γεγόναμεν αἴφνης ἀνήλιοι (⁷). Ἐκρύβης ὁ τοῦ παντὸς γένους ἀρίδηλος ἀστήρ (⁸)· πολέμιον γάρ σε νέφος ἐκάλυψεν... λείπεται. Ὡς φοιτητὴν ἀνακαλοῦμαι, ὡς παῖδα πενθῶ, καὶ ὡς ἀδελφὸν ὀλοφύρομαι... δυστυχήματα. Μετὰ Ἰὼβ ἀνακλαίομαι· τίς ἄν με θείη

που κάλλος ἐξαπεῤῥύη κατὰ ῥόδον Λοκρόν. Manasses De Aristandro et Callithea 4, 75 : Ὁ δὲ καλὸς ἐπὶ μικρὸν ἀναθελήνας (f. ἀναθαλήσας) χρόνον Ψύγεται ῥόδον ὡς Λοκρὸν καὶ φθίνει πρὸ τῆς ὥρας. Ibi nota mea.

(¹) Ed., παρακαθήκην. Sic omittimus qui libros describimus syllabas literasve, properantes nimis. Pachymeris editio Progymn. pag. 572, 22, exhibet πραχθέντα, omisso male alpha, quum sit in codice παραχθέντα· idque, mendum eo magis miror, quod pag. 575, 5 circa eadem vocabula vir d. rem gesserit optime. In eodem auctore omissum iota sententiam pessumdat pag. 595 : ἔστι καὶ θάνατος κρείττων ζωῆς, ἔστι καὶ ἐπὶ νεότητι τελευτὴ τοῦ εἰς γῆρας βαθὺ ζῆν προτιμότερον· κἂν ἐπιστῇ κινδυνεύων καιρὸς, προβαλοῦ τὸ θάῤῥος, προβαλοῦ τὰς ἀγαθὰς ἐλπίδας, ὥσπερ γενήσῃ μαχόμενος. Addito iota lege quæ jam intelligentur facile : ἐλπίδας ὡς περιγενήσῃ μαχ. Sic codex, ex quo sumendum et κινδύνων καιρός.

(²) Ed., λαύρῳ. Quod fuit corrigendum. Poetæ non semel dixerunt λάβρον πῦρ. Forma λαῦρον debetur plerumque librariis ad dictationem currente calamo scriptitantibus et pronunciationi obsequentibus. Vide n. ad Planudem Metam. p. 633. Articuli τῶν quod præcedit quis fieri possit usus sine codice ignoro.

(³) Himerius Orat. 23, 7 : τίς ἀπέκειρε δαίμων τῆς ἐμῆς ἑστίας τὸν βόστρυχον. Eumathius 6, p. 213 : μή μου τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον. Quem confer et 10, p. 381, cum Gaulmini nota p. 32.

(⁴) Ed., πόλλ' ἐκ... πησα. Correxi ex Troad. 1182 : Ὃν πόλλ' ἐκήπευσ' ἡ τεκοῦσα βόστρυχον.

(⁵) Librarius potuit scribere γεύομεν. Choricius scripsit γεύομαι. Cf. p. 164, n. 1. Mater dolens in Eumathii mythistoria 10, p. 381 : ἀψινθίου σίμβλον εἰμί.

(⁶) In Editione ἥλιος signis parentheseos includitur.

(⁷) Eumathius 10, pag. 381 : ἥλιον εἶχον τὸν παῖδα, καὶ νῦν, τοῦ παιδὸς κρυβέντος, ἀνήλιος ἡ μήτηρ ἐγώ.

(⁸) Idem ibid. : ἀστήρ μοι παῖς ἐκεῖνος περιφανής, ἀλλ' ἀπεκρύβη.

κατὰ... τῶν ἔμπροσθεν διαβολική τις ἀπεσβέσθη (¹) θύελλα, καὶ βαθὺν ἡμῖν τὸν σκότον κατέχεεν; Ἄδω καὶ... ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ· ὅλον γάρ με ἀθρόον, μέλας Ἅδης, ἐζόφωσας. Τὸ... οἱ πλησίον με ἐξ ἐναντίων μου ἤγγισαν καὶ ἔστησαν (²), καὶ οἱ ἔγγιστά μου ἐκ μακρόθεν ἔστησαν (²)... σύμφορον εἶναί μοι φαίνεται κακῷ τηλικούτῳ παραμετρούμενον. Οὕτως... καὶ ὡς ἀποῤῥεῦσαν φῶς ὀφθαλμῶν δακρύω, καὶ ὡς λύχνον ἀπεσβεσμένον... διὰ σὲ (³) τεθηλώς· ἀλλ' ὑπὸ γῆν ἔῤῥευσας ἄφνω, καὶ γεγόναμεν... σε τὸν καλλ... (⁴), τὸν γλυκὺν, τὸν ἐραστὸν λιμένα (⁵)... ἐλπίδας ἀναψάμενοι· ἀλλά σε τυφών, ἐκ τῶν Σικελικῶν ἄντρων οἷς ἐμφωλεύει δεινὸν ἐκπνεύσας καὶ ἄγριον, διετάραξε, καὶ τὸ πεῖσμα ἐῤῥάγη, καὶ ἡμεῖς πολλοῖς περιαντλούμεθα τοῖς κακοῖς, θαλάσσαις πειρασμῶν καὶ τύχης ἀντιπνοιαῖς ἐκκείμενοι. Ἐγλύκαζες, καὶ ὡς βότρυς γλεύκους πλήρης καὶ ἡδονῆς, καὶ ἡμεῖς διὰ σὲ χαίροντες πολλὴν ὅσην τὴν γλυκυθυμίαν ἀπετρυγῶμεν· ἀλλά σε πολεμία χεὶρ ἔθλιψε, καὶ ἡμεῖς, τοῦτο δὴ τὸ τῆς γραφῆς, πίνομεν κατανύξεως οἶνον (⁶), καὶ μεθύομεν ταῖς συμφοραῖς· οἷς γὰρ οἷον ἐξάπινα πέπωκας. Καὶ νῦν θρηνοῦμέν σε τὸν φιλεταῖρον καὶ ἥλικα καὶ ἥδιστον, ὁ τῶν ἑταίρων καὶ ἡλικιωτῶν χορὸς, οὓς ὁ γλυκὺς λάρυγξ (7) ἐπλήθυνέ σοι, κατὰ τὸν Σειράχ (⁸)· πάλαι μὲν κοινωνοὺς (⁹) τελετῆς καὶ πανηγύρεως τῆς ὡς ἐν λόγοις καὶ τοῖς ἄλλοις καλοῖς, ἐξ ὧν σωφρόνως τὰ ἐμὰ καὶ χαριέντως τοῖς φίλοις ἀνεκεράννυσα· νῦν δὲ σκηνοβατήσονται σὺν ἡμῖν, καὶ οἰμωγῶν καὶ θρήνων κατάρξονται. Θρηνεῖ δὲ καὶ ὅσον ἐπ' οἴκου συγγενὲς ἄλλο καὶ φίλιον, καὶ μέσος ἐν τούτοις ἐγὼ, πάλαι μὲν καὶ γήρᾳ καὶ φθόνῳ τρυχόμενος καὶ τοῖς κακοῖς, νῦν δὲ καὶ δάκρυα σπένδων φιλάδελφα καὶ τὸν ἀδεᾶ (¹⁰) πενθῶν καὶ λόγοις κοσμῶν, καὶ τὴν γλῶτταν ἀπευκταῖα κινῶν καὶ θεα-

(¹) Sic editio. Forsan, διαβολικῇ τινι ἀπεσβ. θυέλλᾳ.

(²) Ps. 37, 11 : οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν..... ἔστησαν. Hinc correxi editionem, in qua ἐξεναντίον. Potui et scribere ἐξ ἐναντίου.

(³) Ed., διά σε et sic mox. Sed διὰ σὲ p. 185, 1.

(⁴) Ed. sic. Forsan κάλλιστον.

(⁵) Eumathius 10, pag. 381 : εὐάγκαλός μοι λιμὴν Ὑσμινίας ὁ παῖς.

(⁶) Psalm. 59, 3 : ἐπότισας ἡμᾶς οἶνον κατανύξεως.

(7) Ed., λάριγξ. Vide Herodianum Epimer. p. 76.

(⁸) Sirach 6, 6 : λάρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ.

(⁹) Ed., Σειράχ. Πάλαι..... Quæ conjunxi.

(¹⁰) Sic Edit. An ἀδελφόν? Compendium potuit ἀδεᾶ parere.

τρίζων ἀπαίσια. Ἡ δὲ πρὼ(¹) μὲν καλλίπαις διὰ σὲ, νῦν δὲ δυστυχὴς μήτηρ, ἡ γηραία καὶ πολλῶν ἐτῶν κληροῦχος, μετὰ Μιχαίου ἐρῶ, καὶ ὡς ἐπὶ τραγικῇ συμφορᾷ καὶ τὸν λόγον θήσομαι τραγικώτερον, « ποιεῖται (²) κοπετὸν ὡς δρακόντων, καὶ πένθος ὡς θυγατρῶν σειρήνων, « ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς », ἣν ἐπὶ σοὶ πληγέντι καὶ πεσόντι τέτρωτο διακάρδιον· καὶ ἄρτον μὲν οὐκ αἰτεῖ κατὰ τὸν τοῦ κυρίου λόγον (³), ἀλλ' εὔπτερον ὄρνιν, καὶ πάλαι μὲν μικρὰ πτερυξάμενον, νῦν δὲ μακρότερά τε καὶ ὕστατα· λαμβάνει δὲ λίθον καὶ πλήττει τὸ στέρνον (⁴), καὶ πικρὸν ἀνακωκύει καὶ γοερὸν, φήνης ἐλεεινότερον, ἀλκυόνος πολυπενθέστερον· καὶ ἰχθὺν μὲν οὐκ αἰτεῖ, ἀλλὰ ῥόδον ὅλην (⁵) τὴν ἑστίαν εὐωδιάζον, εὑρίσκει δὲ τὸν τῆς ἀθυμίας ὄφιν πολὺν κατὰ καρδίας ἐμοῦντα τὸν ἰὸν, καὶ δάκνοντα τὰ σπλάγχνα βαρέως φέρει· τὸ γὰρ δῆγμα θανάσιμον προΐσχεται, καὶ ὡς ἀμαρὰς τοὺς μαζοὺς, ἐξ ὧν γνησίως μοσχευθὲν (⁶) σὺ τὸ πυρίπνουν φυτὸν εἰς τηλικαύτην ἄνθην ἀνέδραμες, αὐλακίζει, καὶ ὄνυξι τὰς παρειὰς τῶν σῶν αἱμάτων ἀντιδιδοῦσα κρουνοὺς, καὶ γεωργεῖ πένθος αἱματηρὸν, τίλλει καὶ πολιὰς τὴν σὴν ὀδυρομένη νεότητα, καὶ ἀποψιλοῖ τὴν κεφαλὴν πενθίμῳ κουρᾷ· τὸν γάρ σε τοῦ γένους κόσμον δυστυχῶς περιῄρηται. Ἔστιν οὖν (⁷) καὶ ἀπολιθοῦται τῷ παλαμναίῳ τῆς συμφορᾶς καὶ γίνεται ὅλη αὖος (⁸), μήτε φωνὴν προϊεμένη καὶ τελέως ἀκινητίζουσα. Πηγὰς δὲ ὅμως ἀφίησι δακρύων συχνὰς, ὡς μηκέτι μῦθον εἶναι δοκεῖν καὶ λίθον δακρύουσαν (⁹).

Ταῦτα ἡ μήτηρ, ταῦτα ἡμεῖς, ταῦτα τὸ λοιπὸν τοῦ γένους, καὶ ὅσοι φιλεταῖροι καὶ ἥλικοι(¹⁰). Ὀδύρεται δέ σε καὶ ὅσον ἐπ' ἀλλοδαπῆς ξενικόν τε καὶ φιλοπόλεμον· εἰ δέ σου (¹¹) τὸ περιδέξιον καὶ τὸ ἀνδρεῖον ἐγνώριζεν· οὐ γάρ σοι οὐδὲ τὸ ἀλλόγλωττον ἄφιλον. Ἀλλ' ἐφελκύσω καὶ τὸ τῶν Φρακτῶν (¹²) σιδήρεον γένος ἀῤῥήτοις ἴυγξι, καὶ ὅσα μαγνῆτις (¹³)

(¹) Sic Ed, Forsan πρώην.

(²) Michæas c. 1, 8 : γυμνὴ ποιήσεται κοπετὸν ὡς δρακόντων καὶ πένθος ὡς θυγατέρων σειρήνων, ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς. — Ed., ποιεῖτε, mendo manifesto.

(³) Math. 7, 9 : ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ;

(⁴) Marcus Evangelio c. 5, 5 : ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις.

(⁵) Ed., ὅλον.

(⁶) Ed., μοσχεθέν.

(⁷) Sic Editio.

(⁸) Eumathius 10 p. 381 : αὖος ὅλη γεγένημαι.

(⁹) Niobes fatum innuitur.

(¹⁰) Forsan, ἥλικες.

(¹¹) Forsan, εἴ γέ σου.

(¹²) Quos Φρακτοὺς vocat sunt Φράγγοι forsitan.

(¹³) Gregorius Naz. de Athanasio

πρὸς ἑαυτὸν ἐπεσπάσω τῷ θαυμασίῳ τῆς φύσεως· οἵ σε καὶ νῦν πῆ μὲν(1) τῆς ὡς ἐν πολέμοις εὐανδρίας ἄγανται, πῆ δὲ καὶ τῆς ὡς ἐν πρεσβείαις μελιττογλώττου πειθοῦς καὶ φρενὸς σταθηρᾶς καὶ ἀπεριτρέπτου· συνέσεως· ὡς εἴ γε μὴ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς καὶ τὰ τῆς μετριοφροσύνης ἐπήνθει σοι, δικαίως ἂν ηὔχεις(2) ἐκεῖνο τὸ Σολομώντειον (3), « ἐν πλή- « θει φανοῦμαι ἀγαθὸς καὶ ἐν πολέμῳ ἀνδρεῖος ». Καὶ μέντοι καὶ ἄμφω πέφυκας. Διὰ ταῦτα μαλάττεταί σου τῷ πάθει καὶ ὅλον ἔθνος σιδήρεον, ἀμείλικτον, ἄδακρυ. Οὐχ οὕτω Καρνεάδης καὶ Ἀριστόκριτος (4) τὰ εἰς πρεσβείαν ἀπηκριβώσαντο· οὐχ οὕτω τὰ εἰς ὁμιλίαν Χρυσίππου τὸ στόμα ἐγλύκαζεν (5). Ὑπηγάγετο καὶ Θεμιστοκλῆς Πέρσας, τὴν Ἑλλάδα γλῶτταν εἰς τὰ ἐκείνων ἔθη μεταβαλών (6)· ἀλλ' ἐπησκήσω καὶ σὺ τοῖς Φρακτοῖς τὸ ὁμόγλωττον, καὶ τρόπον ἄλλον εἶχες τὴν γλῶτταν δικρόαν, καὶ ἦς ἀμφιδέξιος, Ἕλλην ἐν Ῥωμαίοις, καὶ Ῥωμαῖος ἐν Ἕλλησιν. Ἐντεῦθέν σοι ἐπηύξανε καὶ πλέον τὸ τίμιον, ὅτι μηδ' ὡς φυγὰς (7), μηδ' ἐπὶ τῷ τῆς ἐνεγκαμένης κακῷ ξενικήν τινα καὶ οὐ πάτριον ἐποίου τὴν διάλεκτον, ἀλλ' ὡς πρεσβευτὴς ὑπὲρ μεγάλου βασιλέως στελλόμε-

Or. 21, p. 392 : δύο λίθων μιμεῖται φύσεις ἐπαινουμένων· γίνεται γὰρ τοῖς μὲν παίουσιν ἀδάμας, τοῖς δὲ στασιάζουσι μαγνῆτις, ἀῤῥήτῳ φύσεως βίᾳ τὸν σίδηρον ἕλκουσα καὶ τὸ στεῤῥότατον ἐν ὕλαις οἰκειουμένη. Quem vide et initio Orat. 27. Georgius Pisides Suidæ in Ἡρακλεία λίθος : Πάντας ὑφέλκων οἷα μαγνῆτις λίθος, ἢ μᾶλλον εἰπεῖν Ἡρακλείαν τὴν λίθον· Φύσιν γὰρ αὐτὸς ἑλκτικωτέραν ἔχει. Michael Syncellus Encomio Dionysii Areopag. pag. 351 : ἀθρόον αὐτῷ κολληθῆναι, καθάπερ μαγνήτῃ σίδηρος ἐσπούδακε. Adde Eustath. ad Od. 16, 294; Theophyl. Simoc. Epist. 26, ubi mea nota p. 258; Arsen. Viol. p. 279, ubi Walz. Milton P. R. 2, 162, de fœminis, quæ « Draw out with credulous desire and lead At will the manliest resolutest breast, As the magnetic hardest iron draws ».

(1) Ed., πῆμα. Scripsi πῆ μὲν quod sententia poscit et oppositum πῆ δέ.

(2) Ed., ηὔχαις. Cf. p. 177, n. 2.

(3) Sap. Salom. 8, 15 : φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί· ἐν πλήθει φαν...

(4) Ex mentione legationis agi manifestum est de Carneade illo philosopho, quem Romam miserunt Athenienses (narrante Cicerone Tusc. 4, 4, ubi Davisii nota); sed qui legationis socios habuit Diogenem stoicum et Critolaum peripateticum, non Aristocritum; quod meminerim.

(5) Si eadem Chrysippo fuit loquendi ubertas ac fluentia quæ scribendi, multum loquebatur, non compte nec eleganter; quippe qui a se dicta grammaticastri vetulæve garrientis effutitiæ loquacitati comparaverit. De Chrysippeæ orationis vitiis Baguet. De Chrys. § 7.

(6) De Themistocle linguam Persicam addiscente Plut. Themistocle c. 29.

(7) Sicut Themistocles.

νος, καὶ περιϊὼν καὶ φέρων ὡς πανταχῇ τὸ κηρύκιον. Ἐχρημάτισας καὶ ταμίας (¹) τῶν ἐπ' ἀλλοδαπῆς χρημάτων, καὶ ὑπὲρ τῆς σωτηρίας τῆς Ἀθήνηθεν (²), ὅτε καιρὸς, ἐπρυτάνευες. Ἐδείκνυσο καὶ τὴν χεῖρα ὡς καὶ τὴν γλῶτταν τρόπον... ἀμφιδέξιος (³)· ἐκείνης μὲν γὰρ καὶ γραφίδα ὡς ῥάβδον Ἑρμοῦ, ἧς τῷ τάχει καὶ τῷ κάλλει καὶ ἀνδρῶν ὄμματα ἐκπλαγείς· τοῖς δὲ καὶ τὸν λήθης καὶ ἀγνοίας ὕπνον ἀπεσκευάζου, τὰ δέοντα σαφῶς ἐνσημαινόμενος καὶ ἀκριβῶς ὑπὸ... ἀλλὰ καὶ δόρυ κραδαίνας (⁵), γραφεῖον Ἄρεος ἄλλο σιδήρεον, ὃ βάπτεται μὲν αἵματι καλλιγόνων... ἀριστέων σῶμα, καὶ γίνεται τὸ γράμμα τοῦτο δακρύων ὅλοις ποταμοῖς ἀναπό... ὑπὸ γραμματέας τῷ νέῳ καὶ ἡμετέρῳ Δαβὶδ (⁶) ἐγραμμάτευσεν ὁ κάλαμος αὐτοῦ κατὰ τὸν τοῦ γραμματέως ὀξυγράφου· τοῦτο μὲν ὡς ταχὺ γράφων, τοῦτο δὲ ὡς εἰς νοῦν βάπτων (⁷), καὶ μη-

(¹) Ed., κηρύκιον ἐχρημάτισας καὶ τ.

(²) Forsan hic est recordatio legationis Carneadis ac sociorum pro urbe Athenarum, cum allusione ænigmatica ad res præsentes; vel cogitandum de Athenis Ponticis.

(³) Forsan τρόπον τινὰ ἀμφ. Sed quum tria puncta omnium sint lacunarum signum vel parvarum vel aliarum, nihil potest secure scribi.

(⁴) Ed., (ἐκπλα) γεὶς, insertis, ut videtur, syllabis ἐκπλα ab editore, quibus lacunula impleretur. Sed tacet de more; sed nec ita locus recte habet.

(⁵) Ed. sic, κραδαίνας.

(⁶) Innui videtur poeta aliquis, Gazæus forsan, qui Davidicos psalmos versibus erat interpretatus. Sed conjecturæ in loco tam turbido nihil tribuo.

(⁷) Anonymus Suidæ V. Ἀριστοτέλης : τῆς φύσεως γραμματεὺς ἦν, τὸν κάλαμον ἀποβρέχων εἰς νοῦν· ubi Gaisford., collato Nunnesio ad Ammonium V. Arist. p. 69. Epigramma ante Maximi Scholia in Dionys. Areop. : Εἰς νόον αἰγλήεντα θεόγραφα Χείλεα βάψας, Κάλλεα ποικίλλεις ἱερώνυμα. Imo θεόγραφα. Joannes Climacus 1, p. 2 : τὸν τοῦ λόγου κάλαμον δεξάμενοι, τῇ σκυθρωπῇ καὶ λαμπούσῃ ταπεινοφροσύνῃ βάψαντες. Arsenius Viol. pag. 269, ex Stobæo Tit. 36, 23 : ὁ δὲ Ζήνων, « Ἐὰν μὴ τὴν γλῶτταν », ἔφη, « εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ « πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις ». Theodorus Prodromus in Notit. Mann. t. 6, p. 528 : φιλοσοφίας δέ σε παντοδαπῆς κατακώχιμον, ὀρφανοτρόφε, ἄντικρυς δείκνυσι τὸ πρὸς νοῦν ἀποβάπτοντα πρότερον τὴν λέξιν, οὕτω προφέρεσθαι, ὅπερ καὶ Ζήνων ἐναργὲς φιλοσοφίας τεκμήριον ἔθετο. Profecit Theodorus ex Plutarcho Phoc. cap. 5, ubi Corayus χρυσοῦν ait esse παράγγελμα. Balzacius Conrarto : « Le cardinal « du Perron vous eust dit après un « Ancien, que vous trempez vostre « plume dans le sens ». Quod de homine tam mediocri nimium est omnino. Neque fuit veri tenax Menagius, qui, quod dictum fuerat de magno Aristotele, Sorberio adcommodavit ad Diogenem L. Vita Thaletis § 37. Suidæ meminit non inepte Sponius Guilleti confutatione pag. 164 : « Aristote, dit Suidas, trempait sa plume dans l'entendement et dans le bon sens; mais M. Guillet n'a trempé la sienne que dans

δὲν... ἐγχωρίζου καὶ ὑπὲρ τὸν Πρίαμον εὐμελίας καὶ... τοῖς κακοῖς· οὕτω τὰ ὅπλα τοῖς λόγοις ἔμιξας. Καίτοι σου τὸ λοιπὸν γένος... γράμματα ἀσκήσαντος· καὶ οἱ μὲν ὁπλιτεύουσιν, οἱ δὲ παραιτοῦσι (¹) τὰ ἐνόπλια, οἱ δὲ ὡς ἀφωσιωμένοι τῷ τῆς εἰρήνης Θεῷ καὶ πατρὶ καὶ δοτῆρι τοῦ λόγου καὶ λόγῳ τοῦ μεγάλου πατρὸς, στέργομεν τὸ εἰρηναῖον καὶ φιλοῦμεν τὸ λόγιον.

Ἀλλὰ σὺ χρυσέαν ταύτην ἐπλέξω σειρὰν (²), ἣ καὶ ὡς διαφόρους ὁλκοὺς εἰς μίαν ἅμαξαν συνήγαγες, τὴν σὴν ἀρίστην ψυχὴν τοῖς πᾶσι καλοῖς πελαγίζουσαν. « Ἡ ψυχή σου ὡς ξύλον ἔγκαρπον », μετὰ Ἱερεμίου (³) θαῤῥούντως κεκράξομαι· οὕτω πρὸς τὰ καλὰ πολύχους ἦν σοι καὶ γόνιμος. Τριπλοῦς μὲν δὴ (⁴) τοῖς εὐδαίμοσι κρατὴρ τῇ φύσει κεράννυται, καὶ βλύζει μὲν ὡς ἀπὸ πηγῆς τῆς ψυχῆς, πλημμυρεῖ δὲ καὶ εἰς τὸ σῶμα

la bile la plus amère ». Eadem calami hyperbole abusi sunt auctores nonnulli nec sine absurditate. Diderotus : « Quand on écrit des femmes, il faut tremper sa plume dans l'arc-en-ciel, et jeter sur sa ligne la poussière des ailes du papillon ». Probabilius, cujus fuit memor, Popius : « Come then, the colours and the ground prepare; Dip in the rainbow; trick her off in air ». Inde profecit et Delillius, sed castigate : « Cet amour innocent, pur et délicieux, Veut des pinceaux trempés aux couleurs des cieux ». Garrickius supra modum ridiculus fuit, qui scripsit de Shakesperjo : « Shakespeare, when he sat down to write, dipped his pen in his heart ». Facete Voltairius in Catalogo scriptorum ante historiam Ludovici XIV : « Il est dit dans le nouveau Dictionnaire historique, littéraire, critique, et janséniste, que *Boursier, semblable à l'aigle, s'élève en haut, et trempe sa plume dans le sein de Dieu.* On ne voit pas trop comment Dieu peut servir de cornet à M. Boursier. Voilà la première fois qu'on ait comparé Dieu à la bouteille à l'encre ». Ridiculissimi illius jansenistæ, tam ridiculo mactati encomio, memoria jam pridem oblivione qua dignissimus est profunda mergeretur, ni illum in transcursu sublimi tetigisset flagello acerrimus superstitionum osor ac superstitiosorum.

(¹) Ed., (παραιτοῦ) σι. Non opinor virum doct. e conjectura lacunæ inseruisse syllabas tres sic inclusas; voluisse fere suspicor indicare vix posse legi, et apposuisse quod ex reliquiis literarum divinaverit. Nam si παραιτοῦσι scripsisset e conjectura, id verbi non debuit dari Choricio, qui medio παραιτοῦνται utebatur.

(²) Eumathius 1, p. 9 : ἐγὼ δ' εἶπον ἰδών · χρυσέαν ἐπλέξω μοι σειρὰν, Σώσθενες. Choricius ad concatenationem virtutum metaphoram transfert, Eumathius alio.

(³) Jeremias 38, 12 : ἡ ψυχὴ αὐτῶν ὥσπερ ξύλον ἔγκαρπον.

(⁴) Ed., μὲν δέ. Scripsi μὲν δή. Restituam δὴ G. Pachymeri Progymn. p. 560, 11 : ἡ γὰρ πάθος οὗτος (ὁ ἔρως), καὶ κρίσιν ζητητέον ὀρθὴν παραπασχούσης ψυχῆς· ἢ οὐ πάθος, ἀλλὰ φύσις τῶν ζώων τοῦτο κοινὴ, ἤδη καὶ θεῶν. Codex, ἢ δὴ καὶ θεῶν, melius, puto; ac omnino recte, κρίσιν οὐ ζητητέον παρὰ πασχ.

καὶ εἰς τὸ ἐκτὸς ἀναχεῖται· ἀλλά σοι καὶ ὁ γλυκὺς οὗτος κρατὴρ ὑπερχειλὴς ἦν, καὶ οὔτε ἡ ψυχὴ τὸ σῶμα ᾔσχυνε, καὶ τὰ περὶ τὸ σῶμα οὐχ ἐνδεῶς ἐπέῤῥει, οὐδὲ κατεῤῥύπαινε τὸ μακάριον. « Ἡ φωνὴ ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία » δικαίως ἂν ᾀσματίσωμεν (¹) · « τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος, τράχηλός σου ὡς ὁρμίσκου » ;

Ἐκεῖνά σοι καλλιγραφεῖ τὸν ἔξωθεν ἄνθρωπον· ταῦτα τὴν ἐντὸς ἀγλαΐαν ὑποσημαίνει διὰ τὸ σῶφρόν τε καὶ φιλόσωφρον, καὶ τἄλλα τοῦ νοῦ καὶ τῆς κεφαλῆς ἀγαθὰ, περὶ ἣν ὁ τράχηλος ἀνατείνεται. Καὶ, ἵν' ᾖ σαφὴς ὁ λόγος καὶ ἔμφωτος, ἐπεὶ καὶ ἀναμεμίχαται τοῖς τῆς ψυχῆς ἀγαθοῖς τὰ τοῦ σώματος, « ὁμοιώματά σοι (²) ποιήσομεν χρυσίου μετὰ « στιγμάτων τοῦ ἀργύρῳ ». Σολομὼν ὁ τῆς σοφίας δόκιμος τραπεζίτης καὶ τοῦτό σοι ἀργυρογνωμεῖ, καὶ ὡς παγχρυσοῖ τὸ ἐγκώμιον, ἵν' ᾖ χρύσεα μὲν τὰ τῆς τύχης (³), ἀργύρεα δὲ τὰ τοῦ σώματος· κόσμος ἀλλήλοις ἐπιπλεκόμενος. Καὶ ὅσα δὲ στοιχεῖα φύσεως φιλοσόφου τίθεται Πλάτων (⁴), προσεπήνθει καὶ ταῦτά σοι χαριέστερον. Τίς γὰρ οὕτω καὶ μαθεῖν ὀξὺς καὶ ἀπομνημονεῦσαι ὑπὲρ τὸν Ἱππίαν (⁵) ; τὸ δὲ μεγαλοπρεπὲς, τὸ δίκαιον, τὸ φιλάληθες, τὸ σῶφρον. τὸ ἀνδρεῖον, τὸ εὔχαρι, βαβαὶ ὅσος ἀγαθῶν ὁρμαθὸς προσήρτητό σου τῇ ψυχῇ, καὶ ὡς χρυσοῦς ὁρμίσκος ἠγλάϊζεν ! εἰ δὲ καὶ πραγμάτων ἐμπειρία καὶ πολυπειρία, καὶ ποικίλη τις πλοκὴ καὶ πολύστροφος, καὶ ἡ μακρὰ περιπλάνησις, ἐχαρίσατο πάλαι Ὀδυσσεῖ τὸ σοφὸν καὶ πολύτροπον· ἀλλὰ καὶ σὺ πολλῶν ἀνθρώπων εἶδες ἄστεα καὶ νόον ἔγνως (⁶), ὅς γε μέχρι καὶ εἰς ὠκεανὸν ἑσπέριον ἐξέτεινας τὸ

(¹) Est ᾀσματίζω intelligendum, de dicendo ad imitationem τοῦ ᾄσματος τῶν ᾀσμάτων. Malim ἂν ᾀσματίσαιμεν. Mox Edit., τράχηλόν. Recte τράχηλος in Cantico 4, 10 : τί ὡραιώθησαν.... τράχηλός σου.... Et c. 2, 14 : ἡ φωνή σου ἡδεῖα..... ὡραία. Et post φωνὴ in Ed. vel cod. videtur σου excidisse.

(²) Cant. Cant. 1, 10 : ὁμοιώματα χρυσίου ποιήσομέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου.

(³) Potius ψυχῆς, et modo ἀργυρογνωμονεῖ.

(⁴) Respicere puto Platonis locum De republica 6, pag. 54 Mass. : εὐμαθεῖς καὶ μνήμονες καὶ ἀγχίνοι καὶ ὀξεῖς, καὶ ὅσα ἄλλα τούτοις ἕπεται.

(⁵) Vid. Philostratus V. S. 1, c. 11.

(⁶) Homerus Odyss. : Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη... Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω. Jungit Choricius τὸ σοφὸν καὶ πολύτροπον, quod facit et Moschopulus Π. Σχ. p 177 : τρόπος, ἡ γνώμη (Codex 2599, ἡ μνήμη, male) καὶ τὸ ἦθος · ἀφ' οὗ εὔτροπος, ὁ τὸ ἦθος ἔχων εἰς τὸ εὖ τετραμμένον · καθὸ καὶ τὸ χρῆσθαι (Codex, χρῆται) τῷ τρόπῳ λέγομεν, ἤγουν τῇ γνώμῃ καὶ τῷ ἤθει · τρόπος καὶ ἡ τῶν λόγων χρῆσις, ἀφ' οὗ πολύτροπος παρ' Ὁμήρῳ ὁ Ὀδυσσεύς, ἤγουν ὁ σοφὸς καὶ δυνάμενος τὸ αὐτὸ

ἀπόδημον. Τὸ δὲ Γαδείρων οὐ περατὸν(¹), ὥστε καὶ μακρὸν ἐκείνου πλάνον μακρὰν ἠρεμίαν ἐγὼ πρὸς τὸ σὸν ἑκούσιον πολυκίνητον τίθεμαι. Ἔχων οὖν τὸν φύσει νοῦν εὐφυᾶ προσεπῳκοδόμεις τῇ πολυπειρίᾳ, καὶ, τῶν ὡς ἂν εἴποι τις θύραθεν (²), ἐκεῖθέν σοι καὶ τὸ ἀγχίνουν ἐπεδίδου καὶ τὸ ἀνδρεῖον μᾶλλον ἐῤῥώννυτο, τὰ δεινὰ προσεθίζον καὶ θαμὰ τοῖς κινδύνοις παραβαλλόμενον. Ἀλλὰ νῦν... τῶν δολιχῶν καὶ μακρῶν ἐκείνων δρόμων καὶ περιδρόμων, καί σε μικρὰ βῶλος κατέχει τὸν ἀκαμάτοις ποσὶ γῆν ἑσπερίαν ὅλην μετρήσαντα. Ἀπέθου τὸν πρεσβευτὴν (³) καὶ τὸ συννοῦν ὡς ἐν πρεσβείαις καὶ τοῖς πυκνοῖς τῶν λόγων, περιάγων καὶ στροφὰς καὶ ἀντιθέσεις καὶ μετακινήσεις. Καὶ σὺ γὰρ ὁ μελίγηρυς καὶ μέμυξ(⁴) στόμα τὸ καὶ λωτοῦ γλυκερώτερον. Ἀπεδύσω τὸν ὁπλίτην, καὶ ἀτρεμεῖ σοι τὸ δολιχόσκιον ἔγχος, καὶ θανάτου σκιὰν δολιχὴν ὑπέδυ καὶ ἄφυκτον ὁ λαμπρὸς καὶ διαυγὴς τὴν ὄψιν ἀστὴρ(⁵) καὶ πολλὰς τοῦ προσώπου χάριτας ἀπαστράπτων· ἐπαύσω τῆς ὡς ἑκάστοτε σιδηροφορίας καὶ τῶν ἐκεῖθεν ἀριστευμάτων, καὶ ὑπνοῖς ὕπνον χάλκεον (⁶), ὡς λέων ὑπ' ἀνδρῶν πολλῶν ἐν θήρᾳ βληθείς.

Οὕτω τὰ ἔσχατα καὶ Βροῦτος ὁ πρῶτος ἠρίστευσε καὶ παίσας καὶ πληγεὶς καὶ ἄμφω θανάσιμος (⁷). Οὕτω τὰ τελευταῖα καὶ Λάμαχος ὁ τῶν Ἀθηναίων ἥρως ἠνδρίσατο· ἀλλὰ γὰρ, εἰ πόλεμος καὶ τότε Σικελι-

νόημα κατὰ πολλοὺς τρόπους λέγειν.

(¹) Verba sunt Pindari N. 4, 112 : Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. Vide Notit. mann. t. 11, part. 2, p. 128.

(²) Ed. distinguit commate post θύραθεν, quod junxi sequentibus. Est τῶν τις θύραθεν scriptor aliquis profanus; quem sensum illustrant nota Gaulmini ad Pselli Opusc. et mea p. 218. Gregorius Presbyter Vita Naz. pag. 8 : ἐπαινῶ γὰρ τὸν εἰπόντα, κἂν θύραθεν ἕστηκεν τῆς ἡμετέρας αὐλῆς.... Theodoretus H. Eccl. 4, 30, de Petro Gregoriorum Naz. et Nyss. fratre : τῆς θύραθεν παιδείας οὐ μετειληχὼς σὺν ἐκείνοις. Trajectio pronominis τις est frequens. Athenæus 5, 72 : τῶν τινος οἰκετῶν αὐτοῦ εἰπόντος. Libanius t. 2, p. 46, 4 : εἰ τῶν τινα βασιλευόντων κατήνεγκαν. Procopius B. Pers. p. 29, 12; p. 37, 1 : τῶν τις Περσῶν. Adde Wessel. Dissert. Herod. p. 137; mea ad Eunap. p. 251.

(³) Eumathius 1, p. 14 : ἀπόθου τὸν πρεσβευτὴν, ἀπόθου τὸν κήρυκα.

(⁴) Ed. sic μέμυξ. Latet omnino verbum μέμυκε. Locus non est integer, ita forsan integrandus : καὶ σὺ γὰρ ὁ μελίγηρυς νῦν σιωπᾷς καὶ μέμυκε στόμα....

(⁵) Eumathius 10, pag. 381 : ἀστήρ μοι παῖς ἐκεῖνος περιφανὴς, ἀλλ' ἀπεκρύβη.

(⁶) Homerus Il. 11, 241 : Ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον.

(⁷) T. Livius Aruntis Tarquinii et Junii Bruti certamen describens singulare 2, 6 : « adeoque infestis

κὸς ἀνεῤῥάγη, καὶ ὁ λαμπρὸς τἄλλα Νικίας μελλητὴς (¹) ἦν καὶ ἀνεδύετο τὴν παράταξιν, Λάμαχος τὴν τῶν πολεμίων ὕβριν οὐκ ἔφερε, καί, θυμοῦ πλησθεὶς καὶ λήματος, ἀνδρίζων πρὸς τὴν μάχην ἐχώρει, καὶ καιρίαν δοὺς καὶ λαβὼν συναπέθανε τῷ ἐχθρῷ (²). Νικίας μὲν οὖν μετ' οὐ μικρὸν (³) αἰσχρῶς ἡλίσκετο καὶ τὸ λοιπὸν στρατιᾶς ἐδουλοῦτο· Λάμαχος δὲ... ὁπλίτης ἀριστεὺς ἀδούλωτος ἔκειτο.

Τοιοῦτον, ὦ γενναῖε, καὶ τὸ ἐμὸν ἀτύχημα καὶ σόν... σὲ μόνον ἀντιμέτωπον τοῖς ἐχθροῖς ἀδεῶς ἀντελαύνων (⁴) καὶ καθιππάζεσθαι... γου μή τις εὐγενὴς καὶ τρόπος φιλελευθέριος οὔ τις τοι φεύγοντι.... εὐψυχίαν Λακώνων ἢ νικᾶν ἢ πίπτειν μαχόμενον. Κλέωνα δὲ τὸν Ἀθηναῖον... τῆς σῆς ἀριστείας εἴτουν ἐμῆς τραγῳδίας πρὸς ἀξίαν ἐφίκοιτο... ἐπιδράμῃ νηός. Τοῦτο δὴ τὸ οὗτος Κυναίγειρος σεμνόν τε... τὸ δέ σοι θυμοῦ καὶ ἀνδρείας γέμον στέρνον σίδηρον κτυπεῖ τὸ μέν... ἀστῆρσιν ἔφυγεν... μὴ ψυχὴν οὕτω γενναίαν ...μματίαν ἐταπείνωσας ὑπερ ...γῶντα καὶ θρασυνόμενον, ἵνα σοι τῷ ἐμῷ ἀριστεῖ καὶ τοῦτο δικαίως ἐκ τῆς τοῦ Δαβὶδ κιθάρας ἀνακρούσωμαι (⁵) τὸ ἐφύμνιον.

Λάκαινα μὲν οὖν μήτηρ παῖδα στρατιώτην ὁπλίζουσα, καὶ τὴν ἀσπίδα ἐπαιωροῦσα τῇ λαιᾷ, « ἢ τὰν ἢ ἐπὶ τάν» ἔλεγε (⁶)· ὡς δέον ἢ περιόντα μετὰ τῆς ἀσπίδος ἀνδραγαθίζεσθαι, ἢ δεῆσαν (⁷), εἰ τύχοι πεσεῖν, μὴ δειλὸν φανῆναι καὶ ῥίψασπιν, ἀλλά, μέχρι καὶ εἰς τὸ πᾶν τὴν

animis concurrerunt, neuter, dum hostem vulneraret, sui protegendi memor, ut, contrario ictu per parmam uterque confixus, duabus hærentes hastis moribundi ex equis lapsi sint ». Pro θανάσιμος, forsan θανασίμας, scilicet πληγάς. Ed., ἀμφωθανάσιμος. Confer., Plut. Vita Publ. 9.

(¹) Ed., μελητής.

(²) Plutarchus V. Niciæ 18 : ἦν δὲ πρῶτος αὐτῶν (Syracusanorum) Καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής· πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ Λάμαχος ἐμονομάχησε, καί, λαβὼν πληγήν, εἶτα δοὺς καὶ πεσών, ὁμοῦ συναπέθανε τῷ Καλλικράτει. Choricium laudo quod συναπέθανε scripsit sine adverbio ὁμοῦ.

(³) Potius μετὰ μικρόν, quum inter Lamachi mortem et exercitus Atheniensium Niciæque ducis cladem pauci tantum menses effluxerint.

(⁴) Forsan ἀντελαύνειν.

(⁵) Psalm. 88, 11 : σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον. Inde reparabitur pars lacunarum. Sed cui bono illas quasi scissuras ægro in corpore curare, quod grandioribus passim hiat vulneribus?

(⁶) De illa magnanima matrum Lacænarum adhortatione multus fui ad Aristæn. 2, 17, p. 707. Adde Matthæium ad Joan. Chrys. Eclog. p. 280; Caryophyllum De Clyp., p. 73; etc.

(⁷) Valde est inelegans δεῆσαν post δέον. Illud fuit satis.

ἀσπίδα προϊσχόμενον, καλὸν ἐντάφιον ἀπενεγκασθαι. Σοῦ δὲ ὁ θυρεὸς πυκνὰ μὲν καὶ πολλαῖς ταῖς τῶν βελῶν ἐπαταγεῖτο χαλάζαις, μυρίας δὲ ὅσας φόνον κεραυνοβολούσας ἀστραπὰς ξιφῶν ἐκαρτέρει, πολλῷ δὲ πλείους δεινὸν ἀπολαμπομένας αἰχμὰς ἀπεκρούετο, καὶ μέχρι τέλους βαλλόμενος οὐκ ἀπεῖπε, καὶ συναπέθανε τῇ χειρὶ, ὥσπερ αἰσχυνόμενος ἀποίσεσθαι λειποταξίας γραφὴν, καὶ προδοῦναι τὸν οὐκ αἰσχύνοντα· ἢ τάχα, καὶ σώματος ἐρῶν οὕτω καλοῦ καὶ γενναίου, ταῖς πληγαῖς αὐτὸς προαπέθανε, οὐκ ἀνασχόμενος πολεμίας λάφυρον ἀκοῦσαι χειρὸς καὶ ἰδεῖν τὸν ἀριστέα πίπτοντα. Μετὰ Δαβὶδ καὶ πᾶσιν (1) ἐγὼ, ἄτρεπτε στρατιῶτα, ἡμέτερε τροπαιοῦχε καὶ τρισαριστεῦ, τοῖς θρήνοις σου ἀναμίξω σου τὸ ἐγκώμιον· « ἡ ῥομφαία σου οὐκ ἀνέκαμψε κενή· ὁ θυρεός « σου οὐκ ἐχρίσθη ἐν ἐλαίῳ, ἀφ' αἵματος τραυματιῶν, ἀπὸ στέατος δυ- « νατῶν (2) ».

Καίτοι σου τὸ φιλοπόλεμον ἡ μήτηρ ὑπώπτευε. Διὰ τοῦτό σου τὴν ἀποδημίαν εἷργε, παρ' ἑαυτῇ κατέχειν σε τὸν φίλτατον παῖδα καὶ τηρεῖν βουλομένη, πλὴν οὐχ ὑπὸ ταλασίᾳ καὶ παρθενῶνι (τοῦτο γὰρ τῆς Θέτιδος τὸ φιλότεχνον), ἀλλ' ὑπὸ ταῖς Ἑρμοῦ παλαίστραις (3) καὶ τῷ τῶν Μουσῶν Ἑλικῶνι, ὃν ἐγώ σοι ὅλον ἐφῆκα δρέπεσθαι (4), οὐκ ἀδαὴς ἀνθέων μουσικῶν φυτουργὸς, καὶ κονίστρας (5) Ἑρμαϊκῆς ἀλείπτης οὐκ ἄπειρος. Ἡ μὲν οὖν οὕτω σε φιλοστόργως τε ἅμα καὶ σεμνῶς τῆς μάχης ὑπεξῆγε, καὶ, ἀντιδιδοῦσα τοὺς λόγους τῶν ὅπλων, παρῄνει πρὸς τὰ πολιτικὰ μεθαρμόζεσθαι· εἰ δὲ μὴ τοῦτο, καὶ δεῖ σε μακράν τινα στέλλεσθαι, ἀλλ' ἔξω βελῶν ἑστάναι τοῦ (6) κυδοιμοῦ παντὸς, καὶ τῇ μητρὶ τὸν παῖδα φυλάττειν. Σὺ δὲ σάλπιγγος ἀκούσας ἠχὴν καὶ ἰδὼν χαλκοῦ στεροπὴν, εὐθὺς τὸ πρῶτον λῆμα (7) ἔφαινες, καὶ, καιροῦ καλοῦντος, ὅπλα ἐνδὺς, τὴν φύσιν οὐκ ᾔσχυνας, ἀλλὰ πλατὺ πεδίον εὑρὼν καὶ ἵππους καὶ φάλαγγα, καὶ πολέμιον ἀστράπτοντα σίδηρον, ὡς ἵππος εἰς πεδίον ἐκρόαινες (8), ὡς πῦρ ἐν δρυμῷ τοῖς πολεμίοις ἔβρεμες.

(1) Ed., πᾶσιν. Forsan παλιν.

(2) Regg. 1, 21 : θυρεὸς Σαοὺλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ· ἀφ' αἵματος τραυματιῶν καὶ ἀπὸ στέατος δυνατῶν. Τόξον Ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν εἰς τὰ ὀπίσω, καὶ ῥομφαία Σαοὺλ οὐκ ἂν ἔκαμψε κενή.

(3) Vide p. 5, n. 7.

(4) Ed., ὧν Scripsi ὅν, id est : « quem tibi permisi decerpendum totum ». De verbo δρέπεσθαι, p. 109, n. 1.

(5) Ed., κονιστροῦ.

(6) Fors. addendum καὶ ante τοῦ.

(7) Ed., λῆμμα, ut et p. 191, 3.

(8) Il. 6, 507. Cf. p. 165, n 2.

Αὐτὸς γὰρ ἐφέλκει ἄνδρα σίδηρος, ὡς (1) καί σε τότε κορυβαντιᾷν (2) ὅλον ἀνέπεισε καὶ δεινῶς ἀνεβάκχευσεν. Ἔδει τότε, ὦ φίλτατε, τὸ τῆς μητρὸς ὑπολογίσασθαι γῆρας, τοὺς ἡλικιώτας, τὸ γένος, ἐμὲ τὸν πατέρα μετὰ τὸν κοινὸν πατέρα, τὸν ἀδελφὸν, τὸν τροφὸν, τὸν διδάσκαλον, τὸν πάντα τὰ φίλτατα. Ἀλλά σε τηνικαῦτα τούτων εἰσῆλθεν οὐδέν· θανεῖν γὰρ μᾶλλον ἢ δουλεύειν ἐχθροῖς ἐδικαίωσας. Καὶ νῦν κεῖσαι μετὰ τοῦ τῶν ἀριστέων καταλόγου, ψυχὴν ἐλευθέραν φυσήσας, καὶ σεαυτῷ μὲν ὄνομα λιπὼν εὐγενὲς, ἡμῖν δ' ὀδύνας καὶ γόους καὶ δάκρυα.

Ἀλλὰ ποῖ τέθαψαι γῆς; τίς ἔχει σε τάφος; ἢ καὶ τοῦτο τὸ μέγα ἡμεῖς ἠτυχήσαμεν; καί τις τὰ Θηβαίων ἐπὶ σοὶ μαίνεται, τόλμαν ἀδόκητον ἐγκαλῶν; καὶ πτώματα κρατούντων καὶ τρόπαιον ἐκ φυγῆς (3) ἐπετραγῴδησέ τις αὐτίκα τῇ συμφορᾷ; ἢ ὅλον ἡμῖν τὸ πένθος καὶ... ἄρτι τετήρητο; περιεῤῥήξατό τις τὴν ἐσθῆτα, ἢ καὶ τοῦτο ἡμεῖς σε τιμήσομεν καὶ τὰ σπλάγχνα διασπασόμεθα μετὰ τῆς ἐσθῆτος, ἀνθ' ὧν σοι οὕτως εὐψύχως ἀγωνισαμένῳ τὸ σῶμα διέσπαρται χερσὶ πολλαῖς; ἀπέλυσέ τις (4) τοῦ λύθρου μετὰ τὴν μάχην; ἢ τὸν ἐξ ἀριστείας ἄπο βρότον αἱματοῦντα ὡς κόσμον ἐντάφιον (5) στέργεις ἔτι καὶ μετὰ τὴν τελευτήν; ἐτίμησέ τις τὴν ... ὅλην δεξιὰν ὡς εὔοπλον, ἢ προσῆλθε μέν τις ὡς τιμήσων, ἡ δὲ χεὶρ ἐπηκολούθησεν, ὡς ἡ τοῦ Ἀβραδάτου (6) ... καθαγιάζοντι καὶ ὁσιωμένῳ τὰ φίλια· εἶτα ἐκεῖνος καὶ τῷ λοιπῷ τοῦ σώματος τὴν χεῖρα ἐφήρμοσε (7), καὶ προσεπι... τῶν μελῶν ἐπιθυ-

(1) Homerus Odyss. 16, 294: αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος. Vide Ulpii Adagium 56. — Forsan ὃς legendum pro ὡς.

(2) De verbo κορυβαντιᾷν plurima addidi Barthianis copiis ad Æneam Gaz. p. 305. Addatur et Reynders. ad Plat. Symp. p. 153.

(3) Ad quam rem vel quem locum fiat allusio non intelligo. Innuit ne Thebanorum insaniam qui victorem Epaminondam accusaverunt? Ed., καὶ τίς.... ἐγκαλῶν;.... ἐκφυγῆς;.... συμφορᾷ, ἤ.

(4) Forsan, ἀπέλουσέ σέ τις.

(5) Ed., ἀπόβροτον. Manifestum est meminisse clausulæ Homericæ ἄπο βρότον αἱματόεντα in qua præpositio per tmesin præcedenti verbo jungitur. Idcirco scripsi ἄπο, sed cui vocabulo jungetur præpositio? Placeret ἢ τὸν ἀριστείας ἄπο. Placeret et ὡς κόσμιον ἐντάφιον.

(6) Xenophon de Cyro ad Abradatæ cadaver accedente, Cyr. 7, 3, 8: ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν· ἀπεκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰγυπτίων. Lacuna post Ἀβραδάτου probabiliter recipiet verba τῷ Κύρῳ.

(7) Panthia Xenophontea ibid., δεξαμένη τὴν χεῖρα παρὰ τοῦ Κύρου ἐφίλησέ τε, καὶ πάλιν, ὡς οἷόν τε ἦν, προσήρμοσε.

σιάσας τῷ πολλῷ σου νεκρῷ, καὶ ἀγασθεὶς μὲν τῆς εὐφυΐας, ἐκπλαγεὶς δὲ τῶν τραυμάτων... εὐγενῶς ἡ μάχη διέσπασεν.

Ὦ δεινῆς ἀωρίας τῶν συμφορῶν! ὢ πικρᾶς παρατάξεως (1)... ἐλπίδας, ἃς ἐπὶ σοὶ καλὰς καὶ καὶ γενναίας ἐτρέφομεν! ὢ πληγῶν ἐκείνων φονίων ... ναυαγίου καὶ κλύδωνος ἱππικοῦ (2), πρὸς ὃν ἀντέσχες μὲν ἐπὶ μικρὸν ... ἀπηνέχθης τῷ σάλῳ καὶ τῷ ῥοθίῳ τῆς μάχης καὶ... νιφάδος βελῶν ἐκείνης καὶ χαλάζης ᾅδου . . πόλεμον καὶ τῶν κακῶν ...σεσι καὶ φυτοῖς· ἀνθ' Ἑλικῶνος, ἀντὶ Πιερίας καὶ τῶν ἄλλων ἱερῶν λειμώνων, οὓς ἡμεῖς αἱ μάτην σοφαὶ μέλιτται πάλαι περιεκοσμήσαμεν, μουσαῖον ἐρατὸν ὀπὸν ἀμελγόμενοι καὶ σιμβλοποιοῦντες καὶ φιλεργοῦντες τὸ τῆς σοφίας μέλι καὶ τὰ κηρία τῶν λόγων πλάττοντες, οὓς ἡμεῖς οἱ τῆς καλῆς βακχείας θιασῶται πολλάκις περιχορεύσαντες ἐσκιρτήσαμεν τὰ νεοτήσια· ἐπιστάντα δέ σε καὶ μέσην ἀλγήσαντα τὴν καρδίαν, ὁπόσα πάλαι Ὀδυσσεὺς πρὸς τὸν πατέρα Λαέρτην (3), φάναι καὶ αὐτὸν πρὸς ἡμᾶς· « ἐτίθη λῆμμά σοι ὁ λειμὼν (4), εὐανθὴς δὲ καὶ ὁ τῶν φυτῶν στίχος, καὶ ἡ τῶν δένδρων πανήγυρις, καὶ τὰ πάντα εὖ ἔχει· τὸ δὲ σῶμα φυτηκομεῖς (5) ἑ... ἀνακαθαίρεις· ἀλλὰ φαῦλα μὲν ὑπέῤῥαψας (6) πέδιλα, φαύλως δὲ καὶ τῆς ἄλλης ἀναβολῆς ἔχεις »· ταῦτα ἐπειπόντα (7), μηκέτι ἐπισχύοντα ἑαυτόν, μηδὲ τοὺς λόγους ἀποτείνοντα· ταῦτα ἤλπιζον, ταῦτα ὠνείρωττον. Ἀλλ' ἦσαν πάντα ὀνειρώματα καὶ φαντασία κενή, καὶ ψευδὴς ἐλπὶς οὐκ ἔχουσα πέρας. Καὶ νῦν σὺ μὲν ὀξὺς οὕτως ἀπέπτης μέσης ἀκμῆς, μέσης ὥρας, ὡς ἐν πανηγύρει καὶ τελετῇ φαιδρὸς ὑπὸ φαιδρᾷ τῇ νεότητι, ὥσπερ οὐκ ανα–

(1) Ed., παρατάσεως. Mox ἐπί σοι, ut p. 193, 10. Modo Ed. μου νεκρῷ.

(2) Sophocles El. 719 : πᾶν δ' ἐπίμπλατο Ναυαγίων Κρισσαῖον ἱππικῶν πέδον · et 1436 : ἱππικοῖς ἐν ναυαγίοις. Demosthenes Erot. § 29 : ἐν τοῖς ἱππικοῖς ἀγῶσιν ἡδίστην θέαν παρέχεται τὰ ναυαγοῦντα.

(3) Ulysses cum Laerte colloquitur Od. 24. Respici opinor in loco valde mendoso, verba Ulyssis, v. 243 : Ὦ γέρον, οὐκ ἀδαημονίη σ' ἔχει ἀμφιπολεύειν Ὄρχατον, ἀλλ' εὖ τοι κομιδὴ ἔχει, οὐδέ τι πάμπαν Οὐ φυτόν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη, Οὐκ ὄγχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς ἀνὰ κῆπον · Ἄλλο δέ τοι ἐρέω, σὺ δὲ μὴ χόλον ἔνθεο θυμῷ · Αὐτόν σ' οὐκ ἀγαθὴ κομιδὴ ἔχει, ἀλλ' ἅμα γῆρας Λυγρὸν ἔχεις, αὐχμεῖς τε κακῶς, καὶ ἀεικέα ἕσσαι.

(4) Forsan, τέθηλε μέν σοι ὁ λειμὼν · vel, propius mendosas syllabas : ἐτεθήλει μέν σοι ὁ λειμών.

(5) Forsan scribi oportuit cum lacunæ signis : τὸ δὲ σῶμα... φυτ..

(6) Ed., ὑπέῤῥαψα.

(7) Ed., ἔχεις ταῦτα ἐπειπ.

σχόμενος τῆς πολλῆς ἐκείνης ἀγλαΐας προαπολιπεῖν σε, καὶ πολυχρονίοις ἀπομαρανθῆναι πόνοις καὶ τριβαῖς νοσημάτων· ἡμεῖς δέ σε τὸν ὀφθαλμὸν ἐκκεκομμένοι, ὡς ἐν νυκτὶ καὶ βαθεῖ σκότῳ βιωσόμεθα, τῷ πλείονι τῆς ψυχῆς πάλαι ἀποτεθνηκότες (¹), καὶ σκιαὶ ἀΐσσόμεναι (²).

(¹) Sententia non nova quidem, sed nec adfectu suavi carens. Fuit duobus anima una. Periit Choricio non animæ dimidium duntaxat, sed pars dimidia major. Gregorius Naz. in Anth. 8, 121, de Euphemio et Amphilocho fratribus concordibus : φθόνος τὸν μὲν ἄμερσεν Ζωῆς, τὸν δ' ἔλιπεν ἥμισυν Ἀμφίλοχον. Qua imagine usus est et Opp. t. 2, pag. 108, 4. Libanius Epist. 1083 : ἤδη δὲ ποτε ὁ μὲν ὡς Στρατήγιον εἰσῆλθεν, ἐγὼ δὲ σύ · καὶ ὃς ἐξεπλάγη τε καὶ ἤρετο · « ποῦ δέ σου τὸ ἥμισυ » ; Propior Choricianæ Statii dicendi forma S. 3, 2, 6 : « juvenis dubiæ committitur alno Metius, atque animæ partem super æquora nostræ Majorem transferre parat ». Adde Ciofan. ad Ovid. M. 8, 405 ; Casaub. ad Pers. 5, 23 ; et c. Prevostus abbas Clevel. 4 : « il me répondit que nous faisions tous deux la meilleure partie de lui-même ».

(²) Homerus Od. 10, 495 : τοὶ δὲ σκιαὶ ἀίσσουσι. Fors. ἀΐσσόμεναι.

ΧΟΡΙΚΙΟΥ

ΠΑΝΗΓΥΡΙΚΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΟΝ (1).

Ὁ λόγος ποιεῖται τὸν ἐνδοξότατον στρατηγὸν Ἀσιατικὸν (2) ὑπόθεσιν· οὐκ ἀνέχεται δὲ σμικρόν τι λέγειν, εἰ καὶ μὴ πάντα διέρχεται, τῷ μεγέθει τῶν πραγμάτων, ὡς ἔνεστιν, ἁμιλλώμενος.

Ἐπὶ μὲν τῶν ἄλλων ὅσους ἐν ἀρχαῖς ὄντας ἐπαινεῖν ἐθέλουσιν ἄνθρωποι, μία τις ἔσθ' ὅτε πράξις, οὐδὲ... τῇ παρόδῳ (3) παρέσχε τὴν πρόφασιν, καὶ χορηγεῖ τὸ βῆμα τῷ λέγοντι καὶ πᾶν, εἰ καὶ σμικρὸν... ραχθῇ (4) ἐρανισάμενοι, αἴρουσιν οὐχὶ μετρίως τῷ λόγῳ, τὸ τῶν πραγμάτων ἐλλιπὲς πλαστοῖς ἐπαίνοις ἀναπληρώσαντες· ἐφ' οὗ δὲ πλῆθος ἀξιω-

(1) Ex Maii Spicilegio Romano t. 5, p. 461. « Denique et Panegyrici » inquit vir eminentissimus, Præfatione p. XXVI, « frustum habemus, qui pari vocabulo apud Photium quoque πανηγυρικὸς appellatur ».

(2) Asiaticus, is ipse forsitan, nominatur a Procopio B. Vandal. 2, 25 : Σεβηριανὸς, Ἀσιατικοῦ παῖς, Φοῖνιξ, Ἐμεσηνὸς γένος, καταλόγου ἱππικοῦ ἄρχων.

(3) Sententia poscere videtur tale supplementum : μία τις ἔσθ' ὅτε πράξις οὐδὲ αὐτὴ μεγάλη λίαν ἢ τῇ παρόδῳ..... Formulam ἔσθ' ὅτε, corruptam in Pachymeris Progymnasmatis p. 586, emendabo obiter : ἔχω γοῦν πολλάκις τὸν νόμον τοῦτον ἀναλεξάμενος κατὰ νοῦν, καὶ λογισμοὺς παντοίους τοσαυτάκις κινῶν μή πού τι χρήσιμον κρύπτῃ (forsan κρύπτει) κἀμὲ λέληθεν, οὐκ ἔστιν ὅταν μὴ βλάβην οὐ τὴν τυχοῦσαν ἔχοντα τοῖς χρωμένοις τοῦτον ἐπινενόηκα. Codex bene οὐκ ἔστιν ὅτε. In eodem auctore eadem voeula ὅτε vitium traxit p. 575, 25 : ὤμοι τῶν προτέρων ἐκείνων καὶ καλῶν ἡμερῶν, ὅτε κατ' ἐμαυτὸν ζῶν... ὅτι ἀγαπητὸν ἦν μοι, ἐπὶ γονάτων τρύφος φέροντα θεραπεύειν τὴν γαστέρα. Codex, ὅτε ἀγαπ.

(4) Forsan sic supplenda lacuna : καὶ πᾶν, εἰ καὶ σμικρὸν, ὅ τι ἂν πραχθῇ...

μάτων μετῆλθε (1) καὶ δι' ἀλλήλων εἰσὶ σεμνότερα, πολλὰς δὲ τῷ λόγῳ χορηγοῦσιν ἀρχάς, τὴν ὑπόθεσιν ἑκάστης (2) τὸ μεῖζον ἔχειν δοκούσης, τὸ πάσας ἔχειν ἴσον ἄκρῳ μεγέθει συνέρχεται, τίς ἂν ἢ ῥήτωρ Παιανιεὺς(3) ἢ ... χορεύων ... λέγειν ἀρκέσειεν, εἰ καὶ προσκαλεῖν ἐθέλει τῶν ἐννέα τὰς Μούσας (4); πλήν, εἰ καὶ παράδοξον λέγειν, ... τῶν παρόντων πραγμάτων τὸ μέγεθος· σμικρὰ γάρ τις ἐπαινῶν δέδοικεν, εἰ.....

(1) Ed. (μετῆλθε). Nec de causa talis scripturæ lector monetur. Malim συνῆλθε.

(2) Forsan, τῶν ὑποθέσεων ἑκάστης...

(3) Demosthenes scilicet, e demo Pæania oriundus.

(4) Post τῶν deesse aliquid videtur, sed quid nescio. Forsan, τῶν παλαιῶν ἐκείνων ἐννέα τὰς Μούσας.

ΧΟΡΙΚΙΟΥ
ΔΙΑΛΕΞΕΙΣ ΤΙΝΕΣ (¹).

Α.

Ὅτι πλάσματα λόγων ἐρωτικῶν οὐδὲν λυμαίνεται πρὸς ἄλλας μελέτας ἄλλην ἐχούσας ὑπόθεσιν.

Ἀπόλλωνα τὸν Λητοῦς (ἐρωτικὸς γὰρ ὁ θεὸς καὶ τοξότης) εἶδόν που ἐν γραφῇ (²) φέροντα λύραν· εἶδον ἔχοντα τόξον ἐν ἑτέρᾳ γραφῇ· διδόασι

(¹) Ex Maii Spicilegio Romano t. 2, p. 388. Hanc declamationem ac quæ sequuntur tres reperit V. Emin.; quem audire ipsum est operæ pretium. « In amplo codice Vati« cano qui nihil continet nisi rhe« torica Libanii scripta, postremæ « sunt hæ quatuor lucubratiunculæ, « quæ in impressis Libanii libris « non comparent ». Et adscripsit Maius lemma Λιβανίου. Quod lemma mihi fecerim aliud ipse mihi fuit auctor V. Em., cujus hæc sunt verba Spicilegii t. 5, p. xxviij : « Postremo dicendum est me in « secundo hujus Spicilegii volu« mine quatuor edidisse διαλέξεις, « *dictiones*, in Libanii codice in« ventas, quibus tamen ipsum Li« banii nomen non erat præposi« tum. Profecto eas me vulgasse « non pœnitet; sunt enim ineditæ, « ut reor : verumtamen duas prio« res codex Matritensis, apud « Yriartium pag. 401, col. 1 », [immo p. 397, col. 1] « Choricio « auctori inscribit, id quod egomet « verius judico, ideoque nunc « a Libanio ad Choricium transla« tas velim; nec has tantum, sed « duas quoque posteriores, ut est « consentaneum. Neque nunc pri« mum Libanius Choricii spoliis « immerito ditatus fuit... ». Quod vere dictum esse monstrant declamationes duæ mox edendæ De infanticida et Patroclo.

(²) Ed., εἶδον πoῦ γραφῇ. Yriartes l. l. prima describens verba : εἶδόν που εὐγραφῇ. Scripsi ἐν γραφῇ, quod firmant omnino sequentia, ἐν ἑτέρᾳ γραφῇ.

δε αὐτῷ καὶ Δάφνην ἐρωμένην τὰ χρώματα [1]. Τί οὖν; ὁ τὴν λύραν φέρων Ἀπόλλων, ἄλλοτε ἄλλως ὑποκινῶν τὰς χορδὰς ὡς ἂν ἐδόκει τῇ ἁρμονίᾳ τοῦ μέλους, ἔκρουέ τε ἅμα καὶ ᾖδεν ἐρωτικά, ψυχαγωγεῖν οὕτω καὶ θέλγειν οἰόμενος τὴν σώφρονα, τὴν παρθένον [2]. Οὐ μήν, ὅτι θαμὰ τοῦτο ἐποίει, ἐχαλᾶτό οἱ ταῖς ᾠδαῖς ἡ ἐπιστήμη τοῦ τόξου, ὅτε τὸν

(1) Sunt χρώματα tabulæ pictæ. Inde accedit auctoritas correctioni quam feci loci Choriciani in quo male scriptum fuerat χρημάτων de pictura p. 76. Facilis permutatio vocabulorum adeo similium. Pachymeres Progymn. p. 557, 14: πάρεστιν ἐπαινεῖν κατ' ἀξίαν τὸν ῥήτορα, κάλλιστα περὶ τῆς τῶν χρημάτων γνωματεύσαντα κτήσεως· sic restituente viro d. pro scriptura « cod. χρωμάτων ». Sed actum agebat, quum codex nitidissime exhibeat χρημάτων. Etiam prætervidit codicis sui scripturam Vir. d. p. 572, 1: πολλοὺς ἂν εὑρήσει, πάντας δὲ κρινεῖ πρὸς τοῦτον κατὰ πολὺ τὸ ἔλαττον ἔχοντας. « Codex κρίνει » ait. Aio ego contra: « cod. κρινεῖ ». Ac forsan ἂν εὑρήσειε, ἂν εὑρήσοι. Rursus p. 557, 10: οἷς δὲ τὸ ἄπορον περιΐστατο, οὐκ εἶχεν ἀντίσχειν πρὸς τοὺς εὐπόρους· « malim εἶχον » inquit vir d. Quod maluit ipsi dabat codex. Et sequentia in mendo cubant:... εὐπόρους, ἀλλὰ τὴν ἧτταν ὡμολόγουν καὶ ὑπεκρίνοντο. Nemo facile interpretabitur verbum ὑπεκρίνοντο, facillime verbum in codice scriptum ὑπεκλίνοντο, « seque submittebant ». Non queo negligere grave mendum quod primam ejusdem paginæ sententiam deformat: τῶν νευρῶν ἀφῃρημένων τοῦ σώματος πηρᾶται τὸ ζῶον αὐτίκα. Inaudito verbo πηρᾶται substituatur illico optima lectio codicis παρεῖται.

(2) Ed., τὸν σώφρονα τὴν π. Mutatio facienda fuit. Tollere liceat obiter solœcismos quos calamus velocior Pachymeri rhetori dedit invito. Peccatum fuit verbi causa in hoc ipso articulo Prog. pag. 579, 4: βάθρον ἐκ γῆς ὑπανέχει τὴν κίονα. Imo τὸν, ut est in codice, et apud Boivinum qui Pachymeris locum ex eodem libro descripsit ad Nic. Gregoram pag. 764. Iterum. p. 564, 23: ἐπειδὴ δὲ φύσις αὕτη καλοῦ ἐπιδιδόναι τοῖς πολλοῖς ἐπαινουμένην, ὡς φύσις αὕτη πυρὸς ἀνασκαλευομένην αὔξεσθαι. Sunt in codice fines neutrius generis ἐπαινούμενον ἀνασκαλευόμενον. Rursus p. 575, 13: ἐμοὶ γὰρ οὐδὲ τούτων μόνον ἀρκεῖ τῶν κακῶν, τὸ δαπανᾷν εἰς οὐδὲν χρήσιμον. Rescribendum e codice τοῦτο. Et p. 554, 1: πάντα συλληπτικῶς ἐν τῇ φρονήσει ἐστὶ τὰ κατ' ἀνθρώπου κακά. Rescribendum e codice, ἔστι τὰ κατ' ἄνθρωπον. Ibidem: ἐν καιρῷ μὲν εἰρήνης οὐδὲν ὅ τι τῶν συνιστάντων αὐτῷ μεθ' ὑπερβολῆς ἐννοούμενος. Codex cum insigni sententiæ lucro, τῶν συνιστάντων αὐτὴν οὐ μεθ'.... Alibi pag. 577, 6: ἐγὼ δὲ μὴ καὶ αὖθις ζώειν μηδέποτε, δευτέρων τοιούτων πειραθησόμενον. Sed est in codice: ἐγὼ δὲ μὴ κ. α. ζώην (imo ζῴην)... πειραθησόμενος. Et quæ sequuntur redintegrentur obiter: συχνάκις φιλοτιμοῦνται καὶ πρὸς ἐμὲ, οὐκ ἐσθίεις, λέγοντες, ἄνθρωπε, λαβὲ τούτῳ τὸ μέλος, ἅψαι κρατῆρος, ἀπόλαυε καὶ τῶν σῶν, εὖγε τῶν ἐμῶν φῇς... οὐ φέρω ταῦτα, παρόντες, ἀπολύγομαι τὴν ζωήν. « Forsan τοῦτο τὸ μέλι », editor ait. Codex λάβε τοῦτο τὸ μέλος, rectissime; est enim μέλος membrum appositi animalis; rectissime et εὖγε ὅτι... ἀπολέγομαι.

Χρύσην ὁ Μυκηναῖος (1) ἠμέλει, αὐτόν τε καὶ τὰ λύτρα αὐτοῦ παρ' οὐδὲν ἐποιεῖτο, ἐντειλάμενος ἀπιέναι θᾶττον καὶ αὖθις μὴ ἀναστρέφειν, ἵνα σῶς οἴκαδε ἔλθῃ· μικρὰν γὰρ εἶναι αὐτῷ συμμαχίαν τὰ στέμματα τοῦ θεοῦ (2). Ὅτε οὖν πρὸς τὸν πρεσβύτην ὁ Ἀτρέως τοιαῦτα, ἑκηβόλος τε ἦν ὁ Ἀπόλλων καὶ μάλα εὐστόχως ἐφῆκε τὰ βέλη.

Ποῦ δή με θράσους μετεωρίζεις, ὦ πρόλογε, θεὸν εἰς παράδειγμα φέρων, καὶ τοῦτον χοροῦ τῶν Μουσῶν ἡγεμόνα; ἀλλ' ἄγε δὴ μετάβηθι, καί μοι ἑτέραν εἰκόνα που (3) ζήτει χάμαι ἐρχομένων ἀνθρώπων (4).

Τὸν Μαρσύου φασὶ μαθητὴν (Μαρσύου γὰρ Ἀπόλλων ἀνέμνησε τέχνην) ἀσκεῖν τοὺς αὐλούς (5)· τί γὰρ ἂν μαθητὴς ἐπιτηδεύοι (6) Μαρσύου; μέλη δὲ ἦν αὐτοῦ τοῖς αὐλήμασι πυκνὰ μὲν ὁ ἔρως· ἀτὰρ οὐ μόνον ὁ ἔρως.

Ἄγετε οὖν, ὦ λόγοι· ἑτέραν τινὰ καὶ ἡμεῖς βαδίσομεν (7) ᾀσμάτων ὁδόν, μή ποτε χείρους δόξωμεν εἶναι τοῦ αὐλητοῦ (8).

(1) Agamemnon scilicet; qua periphrasi usus est et alibi. Vide Iliadis initium.

(2) Agamemnon Chrysen alloquutus: Μή σε, γέρον, κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω, Ἢ νῦν δηθύνοντ', ἢ ὕστερον αὖτις ἰόντα, Μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο... Ἀλλ' ἴθι, μή μ' ἐρέθιζε, σαώτερος ὥς κε νέηαι.

(3) Ed., ποῦ.

(4) Locutio Homerica et Hesiodea. Procopius Gazæus Epist. 26: πλὴν ἐν ὅσῳ ἄν σοι δίδωσιν ὁ Νεῖλος τρυφᾶν, γράφε μόνον καὶ κάλει σμικροὺς ἡμᾶς καὶ χαμαί τινας ἐρχομένους.

(5) Marsyæ discipulus fuit Olympus tibicen. Plato Symp. c. 32: ἃ γὰρ Ὄλυμπος ηὔλει Μαρσύου λέγω τούτου διδάξαντος. Ibi vide Reynders p. 151, Ast. p. 283; collatis Fabricio Bibl. Gr. t. 1, p. 155, Burettio Memor. Acad. Inscript. t. 10, p. 254. Dion Chrys. Or. 1, p. 44: ἐπεὶ Σαρδανάπαλον οὐκ ἄν ποτε ἤγειρεν ἐκ τοῦ θαλάμου καὶ (Codex 3009 sine καὶ) παρὰ τῶν γυναικῶν οὐχ ὅπως Τιμόθεος, ἢ ἄλλος τις τῶν νεωτέρων, ἀλλ' οὐδὲ Μαρσύας αὐτὸς ἢ Ὄλυμπος. Nam quod tradit Aristoteles Polit. 8, 5: ὅτι γιγνόμεθα ποιοί τινες δῆλον διὰ πολλῶν μὲν καὶ ἄλλων, οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν Ὀλύμπου μελῶν· ταῦτα γὰρ ὁμολογουμένως ποιεῖ τὰς ψυχὰς ἐνθουσιαστικάς. Ipse Marsyas discipulus fuit Daphnidis, teste Scholiaste Theocriti Argum. Id. 8: Ἀλέξανδρος δέ φησιν ὁ Αἰτωλὸς ὑπὸ Δάφνιδος μαθεῖν Μαρσύαν τὴν λυρικήν. Disco ex erudito de dithyrambo Schmidtii, libello qui forte fortuna in manus meas incidit, displicuisse Meinekio vulgatam lectionem λυρικὴν (scripsit μουσικὴν lapsi, puto, calami), qui conjecerit αὐλητικήν. Ac loco sic emendato usus est vir. d., temere. Nam conjectura, etsi probabilis, caret auctoritate. Conjector solertissimus vidit quod potius scribendum fuit, non divinavit quæ fuit ipsa scholiastæ manus. Testimonium est de facto, cujus, si verba immutata proferuntur, vis nulla est.

(6) Ed., ἐπιτηδεύῃ.

(7) Fors., βαδίσωμεν.

(8) Et in his verbis desinit codex Matritensis, ubi male δείξωμεν.

Β.

Ἡ διάλεξις εἰς τὸ μὴ δεῖν ἀτελῆ καταλεῖψαι τὸν λόγον (¹).

Τὰ χρήματα οἱ ὀφείλοντες, εἰ, τῆς κυρίας ἡκούσης, τὸ χρέος ἅπαν μὴ καταβάλοιεν, οὔτι που οἴονται χρῆναι μηκέτι ἀποδιδόναι· οὐ λύειν γὰρ οἶδεν, ἀλλ' αὔξειν ὁ χρόνος τὸ ὄφλημα. Εἰκότως ἄρα ὑμῖν καὶ τόκον τοῦ χρέους ἥκω διάλεξιν φέρων. Δίκαια ταῦτα δοκεῖ εἶναι Πλάτωνί τε τῷ Ἀθηναίῳ καὶ Σιμωνίδῃ τῷ Κείῳ. Ὁ γὰρ Ἀθηναῖος τὸν Κεῖον, ἐρομένου τινὸς τί ποτε ἄρα τὸ δίκαιον, ἀποκρίνασθαι ἔφη, τὸ τὰ ὀφειλόμενα ἀποδιδόναι (²). Μέμφεται δὲ καὶ Σωκράτης τὸν Καλλικλέα μεταξύ που ἐθέλοντα καταλεῖψαι τὸν λόγον, ὅπερ οὐδὲ τοὺς μύθους φησὶ θεμιτὸν εἶναι παθεῖν (³).

Ταῦτα ἐννοήσας ἐγὼ, πρὸς τήνδε αὖθις ὑμᾶς ἀγείρω τὴν εὐωχίαν. Τὰ δέ μοι ὄψα ἐστὶν οὐδὲν ποικίλον ἢ γέμον πολυτελείας, ἀλλ' ἁπλᾶ τε καὶ βραχέα καὶ ἕωλα, εὐνοοῦσι δὲ ὅμως ἡδίω πολλῶν καὶ ἁβροτέρων σιτίων (⁴). Ἦ οὐχ ὁρᾶτε τὸ Καμβύσου μειράκιον, τὰ παιδικὰ Ξενοφῶντος, τὸν Κῦρον; ἐκεῖνος ἐπειδὴ οἱ ὁ παππὸς ἐς Μήδους ἀφικόμενος δαῖτα ἐχορήγει βασιλικήν (τότε γὰρ οὐ μετρίως ἐτρύφα τὸ Μηδικόν), ὁ δὲ οὐδὲν ἀπειρόκαλον ἐπεπόνθει, οὐδὲ οἷον πάσχειν φιλεῖ παιδὸς ἡλικία, ἀλλὰ ἁβρότητα (⁵) Μηδικὴν περὶ ἐλάσσονος ἔθετο Περσικῆς εὐτελείας, ἐμφύτῳ περὶ τὰ οἴκοι κατεχόμενος ἔρωτι (⁶)......

(¹) Ex Maii Spicilegio Romano t. 2, p. 589. Prima verba ex codice Matrit. allata ab Yriarte pag. 397 nihil habent varietatis.

(²) Plato Rep. 1, pag. 331 Vide Simonidem Schneidew. fr. 114.

(³) Plato Gorgia § 131 : ΣΩ. Τί οὖν δὴ ποιήσομεν; μεταξὺ τὸν λόγον καταλίπωμεν; ΚΑΛΛ. Αὐτὸς γνώσῃ. ΣΩ. Ἀλλ' οὐδὲ τοὺς μύθους φασὶ μεταξὺ θέμις εἶναι καταλείπειν, ἀλλ' ἐπιθέντας κεφαλὴν, ἵνα μὴ ἄνευ κεφαλῆς περιίῃ.

(⁴) Metaphora epularum de oratione recitanda jam fuit abunde illustrata pag. 78, n. 6. Recurret mox pag. 202, 9; 203, 17.

(⁵) Ed., ἁβρότατα. Ad illustrationem narrationis de Cyro atque Astyage, Cyri avo, conf. Xenoph. Cyrop. 1, 3, 4...

(⁶) In hoc vocabulo desinit editio. Tria quæ addidit Yriartes vocabula, τυχεῖν ἄξιοι δωρεᾶς pertinent ad declamationem Tyrannicidæ. Vid. p. 49, n. 3.

Γ.

Ἡ διάλεξις ἔχει μὲν τὸ ῥόδον ὑπόθεσιν, ἐπισταμένη δὲ διακορεῖς ὑμᾶς ὄντας τοῦ μύθου, καινότερον συνεισφέρει διήγημα (¹).

Λέγουσι Μῆδοι, Μήδων ὅσοι τὰ πρότερα μνήμῃ διαδέχονται, ἡνίκα ἂν δοκῇ βασιλεῖ τὴν εἰωθυῖαν ἁβρότητα καινοτέρᾳ νικῆσαι τρυφῇ, ἀγῶνα καὶ ἅμιλλαν ἅπαν αὐτοῦ τὸ ὑπήκοον ἔχειν (²), ἡδύ τι καὶ ἄηθες ὄψον ἐθέλοντας (³) τῷ δεσπότῃ κομίσαι. Ἐκείνοις μὲν οὖν (οὐ γὰρ ἑστιῶσι βαρβάρους ἄνδρας αἱ Μοῦσαι· οὐ γάρ ἐστιν ὠσὶ βαρβάροις ἀρέσαι Μούσας) τοιαύτας ἐπιτρέψωμεν εὐωχίας ἐπινοεῖν τε αὐτοῖς καὶ ἐργάζεσθαι· ἡμῖν δὲ ὄψον ἔστω μῦθος τοῦ ῥόδου, ὃν οὔτε ὑμῖν, οὔτε ἄλλοις ἐγὼ παρατέθεικα δαιτυμόσιν.

Ἡνίκα κριτὴν ἐκάθισε ταῖς θεαῖς τὸν βουκόλον ὁ μῦθος, ἐλύπει μὲν Ἥραν, ἐλύπει δὲ Ἀθηνᾶν ὁ τῆς Ἀφροδίτης κεστὸς, « ᾧ ἔνι μὲν φιλότης, ἔνι δ' ἵμερος » (⁵), ὥστε οὐδὲ ἀγωνίζεσθαι ὅλως ἐβούλοντο, εἰ μὴ τὸ φάρμακον ἡ θεὸς ἀποθεῖτο (⁶) πρότερον· οὕτω γὰρ ἐκεῖναι τὸν κεστὸν ἐπωνόμαζον. « Ἀλλὰ καὶ ὑμεῖς » ἡ Ἀφροδίτη φησίν, « οὐδὲν ἧττον ἐμοῦ « καλλωπισάμεναι (⁷) ἥκετε, ἡ μὲν διάδημα τῇ κόμῃ χρυσοῦν, ἡ δὲ « κράνος καὶ αὐτὴ χρυσοῦν τῇ κεφαλῇ περιθεῖσα. Ἀλλ' ἔμοιγε (⁸) » ἔφη, « τῶν ὑμετέρων (⁹) φαρμάκων οὐ πολὺς λόγος, εἴ τινα καὶ ἐμοὶ ἕτερον

(¹) Ex Spicilegio Rom. t. 2, pag. 389. Jam edideram inter Anecdota Nova pag. 346, cum lemmate Ἀνωνύμου περὶ ῥόδου a me conficto, monebamque videri esse declamatiunculam Libanio tribuendam, propter similitudinem maximam cum Libaniano opusculo Anecdotis Græcis a me inserto t. 4, p. 450, e schedis comitis Leopardi. Non omittendum est, quod Choricii nomini favet, lemma schedarum Leopardi fuisse latine scriptum, et forsan e conjectura descriptoris.

(²) Vide quæ notavi de hoc usu ad Anecdota Nova p. 347, nota 1.

(³) M., ἐθέλοντι. Scripsi ex Anecd. N. ἐθέλοντας.

(⁴) M. caret verbis οὐ γάρ.... Μούσας, habet δ' εὐωχίας... αὐτοῖς.

(⁵) Ex Il. 14, 216.

(⁶) An. Gr., ἀποθείη. An. Nova, ἀπόθοιτο. M., ἀπόθειτο.

(⁷) An. Gr., καλλωπιζόμεναι.

(⁸) An. Gr., ἐμοί γε. M., ἔμοι γε.

(⁹) An. Gr. e cod. Leopardi, ἡμετέρων. An. N., ἡμετέρων, sed e conjectura, quæ nunc non placet, quum sit in codice scriptum ὑμετέρων.

« ἀντὶ τοῦ κεστοῦ κόσμον ἐξείη κοσμεῖσθαι ». Καὶ ἅμα ταῦτα εἰπούσῃ κατένευσαν αἱ θεαί. Ἡ δὲ παρὰ τὸν Σκάμανδρον ἄνθη δρεψομένη ἐφοίτα (1). Καὶ γάρ τις αὐτόθι λειμὼν παρὰ τὰς ὄχθας ἐπεφύκει τοῦ ποταμοῦ · χαρίεντα δ' ἅμα καὶ διαφανῆ τὰ ὑδάτια (2) καὶ ἐπιτήδεια λουτρὸν εἶναι (3). Λελουμένη γοῦν (4) τρέπεται πρὸς ὅπερ ἀφίκετο, καί πως ὀσμή τις αὐτῇ προσέβαλε (5), μάλα ἡδεῖα. Κρίνα τε οὖν καὶ ἴα καὶ ἄλλ' ἄττα (6) συλλέξασα, ἐπειδὴ ἑτέρα (7) μᾶλλον αὐτὴν ὀσμή (8) τις ἐψυχαγώγει, περιῄει, τῆσδ' εὐωδίας (9) τὸ αἴτιον ἀνιχνεύουσα. Ὁρᾷ δὴ (10) τὸ ῥόδον, καὶ παρὰ τὴν ῥῖνα προσάγει, καὶ τοῦτο ἐκεῖνο εἶναι μαθοῦσα, τὰ μὲν ἄλλα παρ' οὐδὲν ἔθετο καὶ ἀπέῤῥιψε, ῥόδοις τε πρὸς τὸ ὄρος τὴν Ἴδην ἐπανῆκεν ἐστεφανωμένη. Ἐκοσμεῖτο δὲ ἅμα, ὡς ἔοικεν, ἡ θεός τε τῷ ῥόδῳ, καὶ τῇ Ἀφροδίτῃ τὸ ἄνθος (11), ὥστε τὰς ἀμφὶ τὴν Ἥραν καὶ Ἀθηνᾶν εἷλε τοσοῦτον, ὅσον οὐδ' ἀναμεῖναι τοῦ βουκόλου τὴν ψῆφον, ἀλλὰ προσδραμούσας φιλῆσαι τὸ ἄνθος, ἀφελομένας τὸν στέφανον, καὶ αὖθις αὐτὸν τῇ θεῷ περιθεῖναι (12).

Ταῦτα, ὦ φιλότης, ὁ μῦθος. Τί γὰρ ἄν τις ἕτερον ἐν τῷδε ὑμᾶς ἑστιάσειε τῷ καιρῷ;

Δ.

Ἡ διάλεξις πεποίηται μὲν πρὸς τὸ δεῖν ἀποδοῦναι τῆς μελέτης τὸ λεῖπον, βραχέα δὲ φθέγγεται τῷ λόγῳ χαριζομένη (13).

Τοῖς Ἀχαιοῖς ἐκκλησίαν ἀθροίσας ὁ ποιητής, τὸν Τυδέως ἀνίστησι ῥήτορα τῷ συλλόγῳ (14), καὶ δίδωσιν ἔπη τῷ νεανίσκῳ τοιαῦτα, ἃ ἂν

(1) An. Gr. et M., καὶ ἅμα ταῦτα εἰποῦσα κατένευσεν ἅμα ταῖς θεαῖς παρὰ τὸν Σκάμανδρον, ἄνθη δρ. ἐφ. Quæ quum sint vitiata, recepi lectionem An. Novorum.

(2) M., An. Gr., δ' ἅμα. An. N., δὲ ἅμα. An. Gr. et N., ὕδατα.

(3) An. N., εἶναι τῇ θεῷ.

(4) An. Gr., λελ. οὖν.

(5) An. Gr. et M., παρέβαλε. An. N. προσέβαλε. Hoc illo verbum præstare ibi monstravi p. 348, n. 1.

(6) M., ἀλλ' ἄττα.

(7) An. Gr., ἑτέρου.

(8) M., ὁρμή.

(9) An. Gr. et An. Nova, τῆς εὐωδίας.

(10) An. Gr., ὁρᾷ δέ.

(11) Similia contuli in Anecd. Novis p. 348, n. 6.

(12) M., περιθενεῖναι.

(13) Ex spicilegio Romano t. 2, p. 391.

(14) Il. 9, 31.

εἰσηγήσατο σύμβουλος ὅτου τυγχάνοιεν ἡ Ἑλλὰς ὄντες ἀκροαταί, ὥστε καὶ ὁ Νέστωρ αὐτὸν ἄγαται, καί φησι (1) κρείττονά οἱ τῆς ἡλικίας εἶναι τὴν συμβουλίαν· ἀτὰρ οὐ πάντη τὸν Αἰτωλὸν ἀφῆκεν ἀνέγκλητον ὁ πρεσβύτης Πύλιος. Τὸ δὲ ἔγκλημά ἐστιν ὅ φησιν· « οὐ τέλος ἵκεο μύθου (2) ».

Τοῦτο οὖν, ὦ φιλότης, ἐννοήσας τὸ ἔπος (οὐ βραχὺ γὰρ ὄνειδος μέμψις Ὁμηρική), ἐς τόδε αὖθις ὑμᾶς ἀγείρω τὸ τρόπαιον (3). Οὐ γὰρ εὖ μοι δοκεῖ ὁ Πλάτωνος Εὐθύφρων πεποιηκέναι, ἀτελῆ περιϊδὼν τὸν λόγον εἶναι, ὃν ὑπὲρ τοῦ ὅ τι ποτὲ εἴη τὸ ὅσιον διεξῄει τῷ Σωφρονίσκου. Καὶ « οἷα » ἔφη (4), « ποιεῖς, ὦ ἑταῖρε »; γέλοιον γὰρ ἀτελὲς εἶναι δημιουργῷ φιλοτέχνημα. Ἵνα οὖν μὴ τὴν Νέστορος καὶ Σωκράτους ὑπομείνω κατηγορίαν, ὅσον τῇ προτεραίᾳ τοῦ χρέους ὑμῖν ὑπολείπεται (5), τοῦτο ἐκτίσω. Εἰ μὲν γὰρ ὁ στρατιώτης ἡμῖν ὑπόθεσις ἦν, τέλος ἄμοιρον εἶναι τὸν λόγον (6)· πολεμικὴ γὰρ φροντὶς ἐν λόγοις πονεῖν οὐ φιλεῖ· ἐπεὶ δὲ ῥήτορα ὑμῖν ὑποκρίνομαι, καὶ τοῦτον ὧδε ἔχοντα γλώττης ὥστε αὐτῇ καὶ πόλεμον ἀπωθεῖν (7) ἐπιόντα, πολὺν ἂν εἰκότως ὤφλησα γέλωτα, ἡμιτελῆ τὸν λόγον ὑφάνας.

(1) Il. 9, 55.

(2) Il. 9, 56, ubi μύθων.

(3) An τὸ θέατρον?

(4) Socrates, scilicet, Sophronisci filius. Vide Platonem Euthyphrone extremo.

(5) Forsan ὑπελείπετο, ὑπολέλειπται.

(6) Aliquid hic inest mendi. Sententia poscere mihi quidem videtur, εἰκὸς τέλους ἄμοιρον εἶναι τὸν λόγον.

(7) M., αὐτὴ... ἀποθεῖν. Respici videtur declamatio codici Matritensi inter Libanianas inserta, sed anonyma, cujus est argumentum, teste Yriarte p. 166, « orator præmium petens », initiumque, Ηχω τοὺς ἐπιόντας ἐχθροὺς μόνος ὑμῖν ὠθίσας τῇ γλώττῃ. Lege, ἥκω... ὠθήσας τῇ γλώττῃ. Atque mea scriptura αὐτῇ ἀπωθεῖν confirmatur verbis τῇ γλώττῃ ὠθήσας simillimis.

ΧΟΡΙΚΙΟΥ ΜΕΛΕΤΗ

ΠΑΙΔΟΚΤΟΝΟΣ [1].

Τύραννος [2] ᾔτησεν ἐξ ἀστυγείτονος κόρην ὡραίαν, ἀπειλήσας, εἰ μὴ λάβοι, πόλεμον. Οὐκ ἔδωκεν ἡ πόλις. Ἀπῆλθον οἱ πρέσβεις ἄπρακτοι.

(¹) Lemma ipse feci, sumpto nomine παιδοκτόνος ex indice orationum Choricianarum in Yriartæ Catalogo Matritensi p. 395, 402, 404. Inter Choricii declamationes ibi recensitas exstant p. 400, 401 illius declamationis argumentum, theoria et ipsa declamatio primis et ultimis indicata verbis. Theoriæ et declamationis excerpta verba plane consentiunt cum Libanianis t. 4, pag. 771, 772, 797; sed in argumento Matritensis codicis et Libanianæ editionis discriminis aliquid inest. Quod dubitationis potest oriri de auctoris nomine tollere omnino videbatur Yriartæ, mihique quadamtenus videtur, alius Matritensis codex in quo inter Libanianas occurrit eadem declamatio, adscripta ab librario margini notula : αὕτη μελέτη Χορικίου ἐστί. Et testis adest non recusandus Macarius Chrysocephalas, qui ex illa τοῦ παιδοκτόνου Choriciana declamatione sententias excerpsit, ab Villoisono insertas Diatribæ pag. 66, quas et exhibet declamatio Libaniana. Est insuper pro Choricio argumentum non invalidum. Scripsit Libanius t. 4, p. 459 declamationem de tyranno qui ex urbe vicina adolescentulum sibi dari postulat forma decorum, quem si non obtinebit, bellum minatur. Negato adolescentulo, tyrannus urbem obsidio cingit. Tum pater interficit filium, ejusque cadaver e muro præcipitat. Abit tyrannus; pater cædis reus accusatur : ἀπελθόντος τοῦ τυράννου, κρίνεται φόνου (codex 3017 κρίνεται πατήρ). Verosimillimum est Choricium Libanianæ de adolescentulo, quem morte vindicat pater a nefario tyranni amore, suam opponere voluisse declamationem de virgine formosa pariter a tyranno cupita, interfecta pariter a patre. Ceterum etiam si dubitandum adhuc fuerit, ob id ipsum dubitationis necesse mihi fuit, Choricii editori, opusculum recipere quod codices duo ejus nomine nuncupant. Sic Patroclea declamatio utriusque sophistæ nomen præfert; et pariter utrique sophistæ parvæ quatuor quæ præcedunt διαλέξεις attribui possunt; uni debent eique Choricio, quippe quæ Libanianum dicendi characterem omnino non exhibent.

(²) Usus sum edita in Libanii volumine hypothesi, quum initium

Ἐπήνεγκεν ὁ τύραννος ἐπὶ τῇ πόλει πόλεμον. Ἐγγὺς ἦν ἡ πόλις τοῦ πολιορκηθῆναι. Ὁ πατὴρ τῆς παιδὸς, ἀναβὰς ἐπὶ τὸ τεῖχος ἅμα τῇ παιδὶ, ἀπέσφαξε ταύτην εἰς ὄψιν τοῦ τυράννου. Ἀπῆλθεν ὁ τύραννος λύσας τὴν πολιορκίαν. Γνοὺς δὲ τὴν τῆς κόρης σφαγὴν ἕτερος αὐτῆς ἐραστὴς, ἀπέσφαξεν ἑαυτόν. Γράφεται τὸν πατέρα τῆς κόρης φόνου ὁ τοῦ ἐραστοῦ πατήρ. Μελετῶμεν (¹) τὸν τῆς κόρης πατέρα.

ΠΡΟΘΕΩΡΙΑ.

Βιάζεται καὶ πατέρα πολλάκις ἡ πρὸς τὸ κοινὸν εὔνοια παίδων ὑπερορᾷν (²). Αὕτη τὰς τοῦ Λεὼ θυγατέρας(³) ἀπέκτεινεν· αὕτη πρὸς σφαγὴν ἐν Αὐλίδι τὴν Ἀγαμέμνονος ἐξέδωκε (⁴) παῖδα. Μηδεὶς οὖν ἄστοργον νο-

duntaxat et finem ex codice Choricii Matritensi Yriartes dederit, hocce scilicet modo : τύραννος ὡραίαν ἐξ ἀστυγείτονος πόλεως ᾔτησεν κόρην πρὸς γάμον... ὁ τοῦ νεανίσκου πατὴρ, ὡς αὐτόχειρα μὲν τοῦ φόνου τῆς θυγατρὸς, αἴτιον δὲ τῆς ἐκείνου σφαγῆς. Vix notandum scripsisse ἀστὺ γείτονος Yriarten. Ante ὁ τοῦ νεανίσκου exhiberi puto in codice : γράφεται τὸν τῆς κόρης πατέρα.

(¹) Sententiam hanc extremam, qua caret Libaniana editio, recepi e codice Matritensi apud. Yriart. p. 400. Esse μελετῶμεν formulam sophisticam supra monui p. 50; ad Anecd. Gr. t. 5 p. 551.

(²) Consentit in hac sententia codex Matritensis Yriart. p. 400.

(³) Ed. Λεῶ. Cod. Paris. 3017, Λεώ. De Lei filiabus quas pater neci dedit, oraculo poscente, vide quæ monui ad Anecd. Gr. t. 2, p. 265, 266, additis ad Aristidem Jebb. t. 1, pag. 191, Jac. Morellio t. 2, p. 673; et scholio ad Liban. t. 4, p. 468. Gregorius Naz. t. 2, p. 215, 5 : Τί ταῦτα; τοῦ Λεὼ δὲ ἢ σὺ θαυμάζεις κόρας, Τὰς τῶν Ἀθηνῶν προσφιγείσας ἀσμένως; Spicilegium Romanum t. 2, p. 256 : Τί ταῦτα ; τὰς Λεὼ θαυμάζεις κόρας (recte, modo addatur σύ), Τ. τ. Ἀ. προσσφγείσας ἀσμ. Scribendum, προσφαγείσας. Ad quem locum Cosmas ibidem : Λεώς, ἀνὴρ οὕτω καλούμενος ἐν Ἀθήναις, τριῶν θυγατέρων ὑπῆρχε πατήρ· λιμοῦ δὲ γενομένου ἐχρηματίσθησαν (Athenienses videlicet), ὡς εἰ ταύτας σφάξοιεν, τῆς φθορᾶς ἀπαλλαγήσονται· τὰς δὲ μαθούσας ἑαυταῖς χρήσασθαι φασὶν ὑπὲρ τῆς πατρίδος καὶ τῶν πολιτῶν, αἷς ἑορτὴν ἐπετέλουν καὶ ὡς ἡρωΐδας ἐσέβοντο. Forsan ἑαυτὰς διαχρήσασθαι.

(⁴) Cod. Paris. 3017, litera P deinceps significandus, ἐξέδωκα. Igitur εὔνοια ἀπέκτεινεν, ἐξέδωκε, quod potest illos adjuvare qui in Hecuba v. 13, ὅ με γῆς ὑπεξέπεμψεν intelligunt ὅ sine ellipsi de re quæ præcedit; scilicet νεώτατον εἶναι Polydorum. Euripides Hipp. 926 : Τέθνηκεν ἥδε· τοῦτό σ' ἐκσώσειν δοκεῖς. Nemo ad pronomen τοῦτο offendet. Cur offensioni est pronomen ὅ in Hecuba? Opponitur esse ὑπεξέπεμψεν hominis irati. Sed quid frequentius apud poetas inprimis, quam audaciores a personis ad res translationes? Εὔνοια dicitur a Choricio non causam fuisse cædis, sed ἀποκτεῖναι ipsam, ipsam πρὸς σφαγὴν ἐκδοῦναι, quod Lei tamen fuit et Agamemnonis omnino proprium.

μιζέτω τὸν πατέρα τῆς κόρης. Οὐ γὰρ ἀβασανίστως ἐπὶ τοσοῦτον ἧκεν ἐγχείρημα· ἐπιτρέψας δὲ τὴν κρίσιν τῷ λογισμῷ καὶ πολλάκις αὐτὴν ἀνελίξας, εἰς ἔννοιάν τε λαβὼν ὡς εὐπρεπὴς, ὡς σώφρων ἡ παῖς, ὡς μέγιστον τόλμημα φόνος, ὡς ἀφόρητον πάθος γονεῦσι παιδὸς τελευτὴ, εἶτα πάντα τῇ θρεψαμένῃ παραβάλλων, εὗρεν ἐλάττω τῆς πόλεως πλεονεκτήματα. Ἵνα δὲ πᾶσαν ὠμότητος ὑποψίαν ἐκφύγῃ, δέδωκα (¹) παῖδας ἑτέρους αὐτῷ τὴν ἐπὶ τῇ τεθνεώσῃ πραΰνοντας λύπην. Εἰ δέ τις τοῦτο μὲν τῷ πλάσματι δίδωσιν, οὐ μὴν ἐκεῖνό γε πείθεται, νεανίσκον ἐρωμένης ἀποτυχόντα μηδαμῶς ἔτι ζῆν ὑπομεῖναι, Φαίδρας ἔοικεν ἀνήκοος εἶναι. Ἐκείνη, καίτοι δειλίαν ἔμφυτον τὸ θῆλυ νοσοῦν, πρὸς ἑαυτὴν ἐθρασύνετο, καὶ τὴν οἰκείαν ἀπετόλμα διὰ τὸν ἄνδρα σφαγὴν, παριδοῦσα καὶ τὴν βασιλείαν. Τοῦ μὲν οὖν ἀποκτεῖναι τὴν κόρην ἀπολογίαν ἔχει τὴν πόλιν· τοῦ δὲ νέου τὸν φόνον εἰς αὐτὸν ἀναφέρει τὸν δεδρακότα, ὡς (²) οὐ τὸ φίλτρον ἁπλῶς ἀνεῖλεν, ὁ τρόπος δὲ μᾶλλον αὐτοῦ, γέμων ἀκρασίας ἐσχάτης. Εἰ γὰρ ἕκαστος ἐρωμένης διαμαρτὼν αὐτόχειρ ἐγένετο, κἂν ὁ τύραννος ἑαυτὸν ἀνῃρήκει, μηδενὸς ἧττον πρὸς τὴν ὥραν τῆς παιδὸς ἐκπλαγείς. Οὕτως αὐτὸν ἀνεύθυνον κρινόμενον ἑκατέρου δεῖξαι πειράσεται φόνου. Ἀπίθανον δὲ μηδὲ τοῦτό τις ὑπολάβοι, εἴ τινες εἰς τοῦτο θράσους ἀπήχθησαν ὡς μὴ κόρην εἰς γάμον ἐκδοῦναι γειτνιῶντι τυράννῳ, πόλεμον, εἰ πρεσβευόμενος διαμάρτοι, κηρύξαντι. Καὶ γὰρ οἱ Τρῶες οὐ παρθένον Τρῳάδα, γυναῖκα δὲ Λάκαιναν, Σπαρτιάτῃ συνοικοῦσαν ἀνδρὶ, παιδίον ἐκείνῳ τεκοῦσαν, ὕβριν ἡγοῦντο πρεσβευομένοις ἀποδοῦναι τοῖς Ἀχαιοῖς, οὐ πόλεμον οὕτω ψιλῶς ἀπειλοῦσιν, οἷον ὁ τῆς μελέτης ἐποίησε τύραννος, ἀλλ' ἐν τοῖς ὅπλοις ἀπὸ τῶν τειχῶν δρωμένοις. Οὕτως ἡ πρὸς τοὺς παῖδας φιλονεικία μεγάλην παρασκευάζει τόλμαν. Ἐνταῦθα δέ τις καὶ μείζων ἐστὶν ἀφορμὴ τῆς πρὸς ἀλλήλους αὐτοῖς ἀπιστίας, εἰ μή τῳ μάτην εἰρηκέναι δοκεῖ Δημοσθένης (³), ὡς ἄπιστον ὅλως ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσιν.

(¹) Ed., δέδωκε. Sed quis δέδωκε? Forsan, ὁ λόγος δέδωκε. Forsan et δέδωκα, quod scripsi. Loquitur declamator. Fines κε et κα facile permutantur. Modo, pro ἐξέδωκε, codex apud Reiskium ἐξέδωκα, et sic cod. 3017.

(²) Pro ὡς, forsan ὅν. Statim cod. Reisk. et P, ἀκρασείας.

(³) Demosthenes Olynth. 1, § 5: καὶ ὅλως ἄπιστον, οἶμαι, ταῖς πολιτείαις ἡ τυραννὶς, ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι. Ibi Vœmel. de sensu nominis πολιτεία.

ΜΕΛΕΤΗ.

Οὐδὲ (¹) φύσεως ὤκνησα νόμον, ὦ παρόντες, ὑπεριδεῖν, ἵνα τῆς πολιτείας φυλάξω τοὺς νόμους, καὶ τὴν ἐμὴν ἔδωκα τῇ δημοκρατίᾳ γονὴν, ἀτυράννευτον σπεύδων σῶσαι τὴν πόλιν. Ἀνὴρ (²) γὰρ, ὅτῳ φρόνημα πρόσεστι, κατόπιν ἀεὶ τὴν τῶν ἰδίων φροντίδα (³) τῆς ὑπὲρ τῶν κοινῶν ἔχει προνοίας. Εἰς τοσοῦτον ὁ τύραννος ἐχθρὸν ἐμπεσὼν, πολλὰς μὲν ἧκε φέρων ἐλπίδας, ᾤχετο δὲ πάσας ἀθρόως ἀφαιρεθεὶς, οὔτε κόρης ἧς ἤρα τυχὼν, οὔτε πόλιν ἣν ἐπολιόρκει παρειληφώς.

Ὠθήσας τοίνυν ὑμῖν ἔρωτα καὶ τυραννίδα και πόλεμον, οὐ δωρεὰν, ὡς φιλόπολις, οὐ παραμυθίαν, ὡς πατὴρ ἀτυχὴς, ὁρῶ μοί τινα γινομένην, ἀλλὰ γραφὴν καὶ κατηγορίαν καὶ κρίσιν καὶ δικαστὰς, ὅτι μιᾷ συμφορᾷ πλῆθος ἔλυσα δημοσίων κινδύνων.

Ἔδει μὲν οὖν τῷ τυράννῳ προσεῖναι τὴν τοῦ νεανίσκου μικροψυχίαν, ἵνα τῆς ἐρωμένης ἀποτυχὼν, ἕνα δίκαιον δράσειε φόνον, τὸν ἑαυτοῦ. Ἐπειδὴ γὰρ παντὸς ἁμαρτήματος τυραννὶς χαλεπώτερον, πολλοῖς δὲ θάνατος ἁμαρτήμασιν ὥρισται, θανάτου δὲ μείζων οὐκ ἔστι σωφρονισμὸς (⁴), ἔδει τὸν τύραννον καινοτέρῳ τρόπῳ τελευτῆς ἐμπεσεῖν, ἀνδροφόνον αὐτὸν ἑαυτοῦ γεγονότα. Ἐπεὶ δὲ πάντας ἐκεῖνος προπηλακίσας τοὺς νόμους, πρὸς ἕνα μόνον, τὸν ὑπὲρ τῆς αὐτοῦ σωτηρίας, οὐδαμῶς ἐτυράννησεν (⁵), ἀποσφάξαι γὰρ ἑαυτὸν οὐ προήχθη, τοῦτο προσῆκεν αὐτῷ γενέσθαι παράδειγμα τοῦ (⁶) μὴ νόμον διαπτύεσθαι τοιοῦτον, ὃν οὐ παρεῖδεν ἀνὴρ ἅπαντας ὑβρίσας τοὺς νόμους.

Καινότατον δὲ πρᾶγμα ποιεῖν ὁ κατήγορός μοι δοκεῖ. Τὸν μὲν νέον ὑπὲρ μιᾶς αὐτὸν ἀνελόντα κόρης οὐ μέμφεται· ἐμοῦ δὲ, μίαν ὑπὲρ τῆς

(¹) P sine lemmate μελέτη. Ed., οὐδέν. P et Matriduo, οὐδέ.

(²) Macarius Chrysocephalas, apud Villoison. Diatr. p. 66, Rhodoniæ inseruit hanc sententiam, ἀνὴρ... προνοίας. Habet ὅτῳ quod prætuli lectioni ᾧ τὸ quæ in edit. et P exstat.

(³) Choricius p. 29 : κατόπιν σου γενέσθαι τῶν ἀρετῶν · ibi n. 5. Idem p. 2, 9 : λόγος ὀπίσω τῆς ἀξίας βαδίζων. Et p. 80, 10 : ἔνθα γὰρ ὀπίσω τις φέρεται τῆς αξίας.

(⁴) Choricius Declamatione Tyrannicidæ p. 56, 16 : ἕτερον αὐτοῦ σωφρονισμὸν δι' ἐμοῦ, τοῦ παῖδος ἐξεῦρε τὴν τελευτήν.

(⁵) Choricius Declamatione Tyrannicidæ pag. 52, 11 : παραβαίνει φύσεως νόμον, ὃν ἐφύλαξε μόνον ὁ τύραννος.

(⁶) Ed., τῷ. P., τοῦ.

πόλεως κόρην ἀνῃρηκότος κατηγορεῖ. Καὶ μὴν εἴπερ ἀνέγκλητον ἐπαποθανεῖν ἐρωμένῃ, πῶς ὑπεραποθανεῖν πατρίδος ὑπεύθυνον;

Εἰ μὲν οὖν ὁ νέος ἔτυχε μόνος ἐρασθείς μου τῆς θυγατρὸς, ἀπώκνησα ἂν αὐτῆς καὶ τὸ κάλλος ὑμῖν ὑπογράψαι, καὶ ὅπως ἐτράφη διεξελθεῖν, μή πως ἐντεῦθεν ἐκείνῳ τινὰ νείμῃ (¹) συγγνώμην τοῦ δικαίως αὐτὸν ἀνελεῖν, ἐρωμένης ἀποτυχόντα τοιαύτης. Ἐπεὶ δὲ καὶ τὸν ἄρχοντα τῶν ἐχθρῶν καὶ τῶν πολιτῶν ἴστε τινὰς ἔρωτι μὲν ἐκπλαγέντας τὸν λογισμὸν καὶ μνηστεῦσαι καὶ τὴν κόρην ἐσπουδακότας, οὐδένα δὲ ὅμως αὐτῶν ἀπενεγκόντα (²) τοῦ βίου, θαῤῥῶν διηγήσομαι τὰ τῆς παρθένου πλεονεκτήματα. Οὐχ ἔσομαι δέ τις ἐπαχθὴς, οἶμαι, καὶ φορτικὸς, τὴν παῖδα κοσμῶν. Οὐ γάρ μοι σκοπὸς τὴν ἰδίαν καλλωπίσαι γονὴν, οὐδὲ τοῖς ἐπαίνοις θηρεῦσαι μνηστῆρα τῇ τ[illegible]εώσῃ, παραστῆσαι (³) δὲ μᾶλλον ὅτι θυγάτριον εὐπρεπὲς καὶ τεθραμμένον κοσμίως ἐν ἐλάττονι μοίρᾳ τῆς πατρίδος ἐθέμην.

Ἔτι γὰρ οὖσα παιδίον, τῆς ἡλικίας αὐτὴν οὔπω κρυπτούσης, ἐπειδὴ περιϊοῦσα περίβλεπτος ἦν καὶ τοὺς ἁπάντων ἐφείλκετο πρὸς αὐτὴν ὀφθαλμοὺς (⁴), ᾐσχύνετο ὁρωμένη, ἠρυθρία καὶ μᾶλλον ἐπαινουμένη, ὥστε τὴν ἀγορὰν ἀποστρέφεσθαι, συνεῖναι δὲ τῇ μητρὶ καὶ σεμνῶς οἰκουρεῖν. Ὡς δὲ προσῆγε ταύτην ἐπὶ μνηστείαν ὁ χρόνος, πολλάκις, ὦ παρόντες, εὐχομένης ᾐσθόμην οὐ νέου καλοῦ τὴν ἰδέαν, οὐ λαμπροῦ τὴν ἀξίαν, οὐ πλοῦτον πολὺν κεκτημένου τυχεῖν, ἀλλὰ κοσμίου καὶ σώφρονος, ἢ τὴν παρθενίαν αὐτῇ παραμεῖναι. Ἧκεν ἐπὶ τοὺς ὁμόρους ἀγγέλλουσα (⁵) τὸ κάλλος ἡ φήμη, καὶ μέχρι τῶν βασιλείων ἀπελθοῦσα, πρὸς αὐτὸν ἀνέβη τὸν τύραννον, ἐνέβαλέ τε σπινθῆρα λαμπρὸν ἐρωτικῶς. Οἷα γὰρ νόμων χωρὶς καὶ τῶν ἐν τῇ πολιτείᾳ καλῶν τεθραμμένος, καὶ τοῦτο εἶναι κέρδος τῆς μοναρχίας ἡγούμενος τὸ τὰ δοκοῦντα ποιεῖν, ὀψοφαγίᾳ καὶ μέθῃ καὶ κώμοις ὅλον ἐξεδίδου τὸν βίον.

(¹) Forsan omissum pronomen τις fuit, ac legendum τινά τις νείμῃ. Ni νείμῃ accusator.

(²) Fortasse, μνηστεῦσαι τὴν κ... οὐδένα δὲ ὅμως αὐτῶν αὐτὸν ἀπεν. Ed. δ' ὅμως. P, δέ. Et sic fere ubique P hiatum habet, quem servo.

(³) Verbo παριστάναι nonnunquam Choricium uti memini, v. c. p. 2, 14 : παραστῆσαι σαφῶς ὅπως ἑκάστῳ βιῶναι προσήκει. Adde, p. 45, 10 ; 59, 7.

(⁴) Libanius in Declamatione patris qui filium formosum interfecit, ne tyranno amanti præda fieret, t. 4, p. 462 : τῇ μὲν ὥρᾳ πάντας ὀφθαλμοὺς ἐφ' ἑαυτὸν ἕλκοντα.

(⁵) Ed., ἀγγελοῦσα. Reiskii B, ἀγγέλουσα. P., ἀγγέλλουσα.

Τοιγαροῦν οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολλῇ προσκειμένους ἀκολασίᾳ, τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει φιλοπότας καὶ κόλακας ([1]), καὶ τοιούτους ἀνθρώπους, οἵους πανταχόθεν αὐτῷ προξενεῖν ἡδονάς. Οὗτοι προπίνουσιν αὐτῷ τὴν παῖδα ([2]), τὰ μὲν αὐτῷ χαριζόμενοι, τὰ δὲ τῇ πόλει μνησικακοῦντες, ὅπως([3]) ἢ δοῦσα τὴν κόρην ἀνελεύθερόν τι καὶ ταπεινὸν ὑπομείνῃ καὶ δουλείας προοίμιον, ἢ μὴ δοῦσα τὸν τύραννον εἰς ὀργὴν ἐρεθίσῃ. Ὡς ἐν τρυφῇ τοίνυν καὶ φιλοτησίᾳ καὶ ἀτόποις ᾠδαῖς (δῆλον ἐκεῖνο ὅτι τοιοῦτον καιρὸν φυλάξαντες τῆς παιδὸς ἐμνημόνευσαν), εἰκότως ὁ μάταιος διεθερμαίνετο. Ἔπειτα ὕστερον αὐτὸς αὐτῷ παρθένον ἀναπλάττων τοιαύτην, οἵαν ἀκήκοεν, ὠρέγετο τὴν παῖδα θεάσασθαι. Φυλάξας τοίνυν ἡμέραν, ὑποθεμένων αὐτῶν τῶν μηνυσάντων τὴν κόρην, ἐν ᾗ παρ' ἡμῖν αἱ πρὸς γάμον ὡραῖαι μικρὸν ἀπὸ τοῦ ἄστεος ἑορτὴν εἰώθασιν ἄγειν (ἴστε δή που τὸν χῶρον· πλάτανοί τε εἰσι καὶ κυπάριττοι([4]), καὶ πηγὴ καλὴ καὶ διαφανής, ἐπιτηδεία τε κόραις παίζειν παρ' αὐτῇ)· φυλάξας οὖν τὴν κυρίαν, ἧκεν οὐ μετὰ κόμπου βασιλικοῦ, ἅμα μὲν μὴ πόῤῥωθεν τῷ κτύπῳ τοῦ πλήθους αὐταῖς δέος ἐμβάλοι, ἅμα δὲ τυραννίδος ἀνάξιον εἶναι νομίσας παρθένου μιᾶς ἁρπάγην· ἴσως δὲ τοῦτο καὶ περιττὸν ἡγούμενος· ὑμᾶς γὰρ ἐνόμιζεν ([5]) αὐτὴν ἐκδώσειν εἰς γάμον πρεσβευομένῳ. Ταῦτα πεπεικὼς ἑαυτὸν, οὔτε βίας, οὔτε ([6]) ἐνέδρας ᾤετο δεῖσθαι τὴν χρείαν. Εἵπετο τοίνυν αὐτῷ μετρία παρασκευὴ, καί τις τῶν ἡγησαμένων τὸ φίλτρον ὑποδείξων τὴν παῖδα. Θεασάμενος οὖν ἐν καλαῖς διαλάμπουσαν κόραις, αἱ μὲν ἐπανῆλθον

([1]) P, αὐτόν. — Meminit Demosthenis Olynth. 2, §19 : καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον, ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας,...... τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει.

([2]) Et est προπίνειν tropice usurpatum imitatione Demosthenica. Orator Olynth. 3, 22 Reuterianæ : προπέπoται τὰ τῆς πόλεως πράγματα. Ibi editor, collato Vœmel. ad Olynth. 3, § 22.

([3]) Ed., ἤπερ. P, ὅπως. P consentit in ὑπομένῃ cum Ed. Scripsi ὑπομείνῃ. Pachymeres Progymn., p. 577, 19 : ἔδει τὴν ἀρχὴν τὴν παρ' ἄλλων κλῆσιν ἀπείπασθαι ἢ προσέμεινον τότε, ἢ νῦν ἔχειν πράγματα. Sed codex bene, προσέμενον.

([4]) Vide p. 81, n. 5, de platanis ac cupressis ad ornatum plantari solitis.

([5]) P sine ἐνόμιζεν. Sic omittunt librarii, docti etiam et doctissimi necessaria vocabula. Pachymeres Progymn. p. 576, 14 : ἔθυσα βοῦν, πολλοῦ τινὸς φεῦ εἰληφὼς πρόβατα, μήπω τοῦτο παθὼν πρότερον. Codex : εἰληφώς · ἔθυσα πρόβ. Minus gravis est omissio p. 556, 14 : οὕτως ἐπὶ πᾶσι θαῤῥοῦσιν, ὡς καὶ τὴν τύχην μεταβάλλειν πολλάκις ἐλπίζειν δύνασθαι. Codex : τὴν τύχην αὐτὴν μετ.

([6]) Ed., οὔτ'. P., οὔτε.

μένειν ἐρυθριῶσαι, ὁ δὲ κακῶς ἔχων ἀπῄει. Ον γὰρ ἐνέβαλεν ἡ φήμη σπινθῆρα, τοῦτον ἡ θέα πολλὴν ἐποίησε φλόγα. Ταῦτα γὰρ ἅπαντα διεξῆλθον αὐτοῦ πρὸς τὸν δῆμον οἱ πρέσβεις, ἵνα δὴ συγγνώμην τινὰ μηχανήσωνται τῷ δεσπότῃ, δηλοῦντες ὡς τοῦ πόθου τὴν πρόφασιν ἐξ ἡμετέρων εἴληφε πολιτῶν, ἐμφαίνοντές τε δῆθεν ἐκείνου τὸ πρᾷον, ὡς, ἐξὸν αὐτῷ τὴν κόρην ἁρπάσαι, τὴν ὑμετέραν ᾤετο δεῖν ἀναμεῖναι χειροτονίαν. Οὕτω τὸν δῆμον ὑποθωπεύσαντες (¹), ὡς ἑώρων ἀπειθοῦντα (²) τοῖς λόγοις, πολέμου προσέθηκαν ἀπειλήν. Οἷα γὰρ καὶ πόθῳ φλεγόμενος (³), καὶ δυναστείας ἐπαιρόμενος ὄγκῳ, τοῦ μὲν κολακεύειν προτρεπόμενος, τῆς δὲ πάντα εἰκάθειν ἀξιούσης αὐτῷ (⁴), δι' ἧς ἀπέστειλε δεῦρο πρεσβείας ἑκάτερον αὐτοῦ πάθος ἐδήλου, τῷ μὲν κόρην αἰτῆσαι, τὸν ἔρωτα, τῷ δὲ (⁵) πόλεμον, εἰ διαμάρτοι τῆς σπουδῆς, ἀπειλῆσαι τὴν ἐκ τῆς ἐξουσίας ὑπεροψίαν. Ὑμεῖς δὲ πρὸς μὲν τὴν ἀκρασίαν ἐκείνου κοσμίως, πρὸς δὲ τὰς ἀπειλὰς ἀνεχθέντες ἀνδρείως, λογισάμενοί τε καλῶς ὅτι, ταύτην κατορθώσας τὴν αἴτησιν, ἕτερον εὐθὺς ἐπιτάξει δεινότερον καὶ πάλιν ἄλλο τι μεῖζον, ἕως ἡμᾶς κατὰ βραχὺ (⁶) δουλεύειν αὐτῷ συνεθίσῃ (⁷)· ταῦτα ὀρθῶς προειδόμενοι, καὶ τὴν ἐκείνου μελετωμένην ἐπίνοιαν ὀξέως εἰκάσαντες, ὡς τῇ μὲν πρεσβείᾳ τὴν κόρην, τῇ δὲ διανοίᾳ

(¹) Ed. et P, ἀποθωπεύσαντες. Scripsi ὑποθ. ex emendatione Schæferi Appendice ad Bastii Epistolam pag. 60.

(²) Ed., ἀπειπόντα. Codex a Reiskio citatus, ἀπειβοῦντα. « Id quis non videat mutandum esse in ἀπειθοῦντα »? Bastius ait Epist. App. p. 51. Et P, ἀπειθοῦντα.

(³) Ed. et P., φθεγγόμενος. Scripsi φλεγόμενος ex emendatione Bastii in meis ad Eunapium notis p. 580, quam proposuit et Jacobs. ad Anthol. t. 3, p. 233. De permutatione frequentissima vocabulorum φθέγγεσθαι φλέγεσθαι ac similium monui ad Aristæn. p. 613, 648. Addesis Reiffium ad Artemid. p. 339; Jo. Clericum Bibl. Antiq. t. 16, p. 151, de Philostorgii loco 1, 6.

(⁴) Ed. et P, τοῦ δὲ π. εἰκάζειν ἀξιούσης αὐτῷ. Scripsi τῆς δὲ π. εἰκάθειν ἀξιούσης αὐτῷ, videlicet τῆς δυναστείας. Quum in litera θ sibilus sit levis, potest cum ζ permutari. Et melior fuerit tonus εἰκαθεῖν.

(⁵) Ed. et P, τὸ μέν.... τὸ δέ. Reposui dativum. Statim Ed., ὑμεῖς· P, ἡμεῖς. Permutatio pronominum eorum frequentissima. Pachymeres Prog. p. 564, 8 : οὐ γὰρ ὅπλων δεήσει καὶ συμμάχων πρὸς ἀπαιδεύτου γλώσσης κατάλυσιν, ἀλλὰ μόνης ψήφου τῆς παρ' ἡμῶν. Melius codex, ὑμῶν. Modo Ed., ἡμετέραν· P, ὑμετέραν.

(⁶) Ed., καταβραχύ. Quid sit in P non enotavi; sed habere eum opinor καταβραχύ. Consentit cum Ed. in illa scriptura p. 217, 11; et in scribendo κατολίγον p. 213, 8. Compositionem disjunxi de more.

(⁷) Ed. et P, συνεθίσει. Scripsi conjunctive, idem sonante utraque vocali.

τὴν πόλιν ἐμνήστευε, τοῖς ἐκείνου διεκελεύσασθε πρέσβεσι ταῦτα προστάττειν ἑτέροις, οἳ σωφροσύνης ὠλιγοροῦσιν, οἳ παντελῶς ἀνδρείας ἐστερημένοι (1). Ὁ δὲ καὶ λαμπρῶς ἐκινεῖτο, πολλὴν ἔχων ὀργῆς ἀφορμὴν, τὴν δυναστείαν, τὸν ἔρωτα, τὸ μάτην ἐξογκωθῆναι γλυκείαις ἐλπίσιν. Ὡς γὰρ ἐγὼ τῶν ἐκεῖθέν τινος ἐπυθόμην, ἀνδρὸς οὐδαμῶς ψεύσασθαι πεφυκότος, ἡνίκα τῶν πρεσβέων ἤλπιζε τὴν ἐπανόδον, ὁ μὲν καθῆστο κεκοσμημένος ἀναμένων τὴν ἐρωμένην, παρῆν δὲ καὶ κολάκων ὄχλος, αὐτῷ διομνύμενοι πρότερον οὔπω καλὸν αὐτὸν οὕτως ἑωρακέναι. Ὁ δὲ ῥαδίως κεχαρισμένοις κηλούμενος ῥήμασιν (οὐδὲν γάρ (2) εἰς ἀπάτην ἐρῶντος ἀνδρὸς ἑτοιμότερον), εἴ που τὴν ἄφιξιν ἐνενοεῖτο τῆς κόρης, ἔρωτος ἐδίδου συνθήματα, ἐκπηδῶν ἠρέμα τοῦ θρόνου, καὶ βλέπων οὐ σφόδρα καθεστηκὸς, καὶ τὴν ἐξ ὧν ἤλπιζεν ἡδονὴν τοῖς παροῦσιν ἐκφαίνων· εἶτα δυσχεραίνων τὸν ἄχρι τῆς ἀφίξεως χρόνον, πυκνὰ μὲν ἐπυνθάνετο τῶν παρεστώτων εἰ διατρίβειν αὐτοῖς δοκοῦσιν οἱ πρέσβεις, πυκνὰ δὲ τούτους, ἄλλον ἐπ' ἄλλῳ, προσέταττεν ἐξιέναι, τὴν πρεσβείαν, εἰ πλησίον οὖσα τυγχάνει, θεασομένους. Τοιαύταις ἐκεῖνον ἀκήκοα θέλγεσθαι τὴν ψυχὴν προσδοκίαις, καὶ, μὰ Δία, οὐδὲ (3) ἀπίστως ἴσως· κοινὰ γὰρ ταῦτα νοσήματα τῶν ἐκτόπως ἐρώντων.

Ἐν ἡδίσταις οὖν οὗτος ὑπάρχων ἐλπίσιν, ὡς ἤδη (4) πικρὰν ἤκουσεν ἀγγελίαν τὰς παρ' ἡμῶν ἀποκρίσεις, τί δεῖ λέγειν ὅσον ἀνιαρῶς διετέθη; ἤλεγξε γὰρ αὐτοῦ τὴν τῆς ὀδύνης ὑπερβολὴν ἥ τε τῆς παρασκευῆς ἀφθονία καὶ τῆς ἐφόδου τὸ τάχος. Οὐ γὰρ ἔφθασαν εἰπεῖν ἐπανελθόντες οἱ πρέσβεις, καὶ παρῆν (5) αὐτοβοεὶ τὴν πόλιν ἡγούμενος ἀναρπάσαι·

(1) Ed., οἱ σωφρ. ὀλιγωροῦσι πάντ. ἀ. ἐστερ. P id exhibet quod exhibeo; idque vividius quidem, sed post ἐστερημένοι placeret additum εἰσίν.

(2) Verba οὐδὲν.... ἑτοιμότερον excerpsit Chrysocephalas Rhodonia in Villoisoni Diatriba p. 66.

(3) Ed., οὐδ'. P, οὐδέ.

(4) Ed. et P, ὡσὶ δέ. Recepi correctionem a Jacobsio factam ad Anth. t. 3, p. 325, et ad Porsonem Append. p. 329.

(5) De locutione οὐ φθάνειν... καὶ, in sensu τοῦ ἅμα καὶ, agere memini in Notit. Mann. t. 11, part. 2, p. 404, et ad Eunap. p. 273. Addatur Villoison. Epist. ad Lorryum p. 7; Wakef. Silva 3, p. 17; Matthiæ Gr. Gr. § 553, 4; Reynders. ad Plat. Symp. p. 60. Lucianus D. M. 17, 1: οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, καὶ διὰ τῶν δακτύλων διαῤῥυὲν... ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. Plutarchus De garrul. 12: οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαν αὐτῆς, καὶ, τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστα εἶδε σχολάζουσαν, ἐμβάλλει τὸν λόγον. Idem Amat. Narr. § 3: ἐγὼ δ' οὐκ ἔφθην τὸ πραχθὲν πυθόμενος, καὶ, τὸ σῶμα κηδεύσας, παρεγενόμην εἰς τὴν Σπάρ-

οὕτω πολλὴ μὲν αὐτῷ ἐπιχώριος δύναμις εἵπετο, πολλὴ δὲ μισθοφόρων ἀνθρώπων.

Παρασκευῆς μὲν οὕτως εἶχε τὰ τῶν πολεμίων· σχῆμα δὲ τυράννῳ προσῆν οὔτε πολεμικὸν ἐναργῶς, οὔτε σαφῶς ἐπαφρόδιτον, ἀλλὰ πολεμικοῦ μὲν ἡμερώτερον, ἐρωτικοῦ δὲ φοβερώτερον, οὕτω κοινήν τινα κρᾶσιν ῥώμης μετῆλθε καὶ κάλλους· ἔρως γὰρ καὶ θυμὸς αὐτὸν ὁπλίσαντες ἤγαγον. Τοιούτους ἔχων ὁ τύραννος στρατηγοὺς τῇ πόλει προσέβαλε. Καὶ ἐντεῦθεν ἀκριβῶς πολιορκία εἱστήκει κατ' ὀλίγον ἡμῖν τὸν κίνδυνον αὔξουσα.

Ταῦτα δρῶν ἠνιώμην διπλῇ, τοσούτων περιθεόντων φόβων τὴν πόλιν καὶ πάντων τὴν πρόφασιν ἐκ τῆς ἐμῆς εἰληφότων οἰκίας. Ἐπυνθανόμην οὖν ὅ τι δέοι ποιεῖν ἐμαυτῷ καὶ πολλῇ συνειχόμην εἰκότως ἀμηχανίᾳ, πατρίδι καὶ θυγατρὶ δικάζειν λαχών. Ὅτε μὲν γὰρ εἰσῄει μοι τὴν γνώμην ἡ παῖς μετὰ τῶν ἐλπίδων αἷς ἔτρεφον (¹) καὶ διετύπουν τῇ φαντασίᾳ (²) παστάδα, πολίτην νυμφίον, ὑμέναιον, τὴν θυγατέρα κύουσαν, ὠδίνουσαν, τίκτουσαν, παῖδα μητρῴῳ τιτθῷ τρεφόμενον, ψελλιζόμενον τῇ φωνῇ τοῖς ἀλλοτρίοις μὲν ἄσημα, γνώριμα δὲ τοῖς οἰκείοις, πάππον ἤδη μαθόντα καλεῖν· ὅτε μὲν ἐπὶ τοσαύτας ἐλπίδας ἐξέτεινον τὴν διάνοιαν, ἠλέουν τὴν παῖδα· ἡνίκα δὲ πάλιν εἰς ἔννοιαν τὴν πόλιν ἐλάμβανον, τὴν μητέρα, τὴν τρέφουσαν, τὴν δι' ἐμὲ κινδυνεύουσαν, ἐπὶ τὸ ξίφος ἑώρων. Πέρας δ' οὖν ἐκεῖνο σκοπήσας, ὡς ἁλοῦσα μὲν ἡ πατρὶς τὴν ἐπὶ τὴν κόρην ἀκολασίαν ἀνοίγει τῷ πολεμίῳ, ἡ παῖς δὲ, τῆς ἐμῆς ἔργον γενομένη χειρὸς, αὐτή τε τυραννικῆς ἄπεισιν ἀσελγείας ἀπηλλαγμένη καὶ τῇ πόλει βεβαίαν ἐλευθερίαν ἀνύσει, μᾶλλον εἱλόμην τὴν ὑπὲρ ἀμφοτέρων βουλὴν ἢ τὴν ἑκάτερα λυμαινομένην. Ἐξῆγον οὖν οἴκοθεν τὸ θυγάτριον, ἔχων ἐπειγόμενά μοι τὰ δάκρυα. Εἵπετο δὲ μέχρι τῆς αὐλείου θύρας ἡ μήτηρ ὀδυρομένη, ὀνόματι καλοῦσα τὴν κόρην. Ἐπορεύετο δὲ ἡ παρθένος ἡσυχῇ καὶ νεύουσα κάτω (³). Ἐγὼ αὐτὴν

την· bene nunc inserta negatione. Libanius declamatione de parili argumento t. 4, p. 471, 20 : οὐ γὰρ ἔφθημεν δόντες ἀποκρίσεις, καὶ κατακεκλείσμεθα.

(¹) Ed., ἔτρεφον, καί. Oportuit ἃς vel ὧν. Malim legi, αἷς ἔστρεφον καὶ διετύπουν.

(²) Cod. Reisk. et P., τὴν φαντασίαν.

(³) Κάτω νεύουσα, scilicet ut virgo modesta et casta. Monui ad Aristæn. 1, 19, p. 508; ad Nicetam p. 91, ad Eunap. p. 146. Choricius Marciani matrem pingit βλέπουσαν κάτω, ubi n. p. 39.

παρεσκεύαζον θᾶττον ἢ βάδην (1) κινεῖσθαι μὴ, θρηνούσης ἀκούουσα τῆς μητρὸς, χαλεπῶς ἐνέγκῃ τὴν τελευτήν· καὶ πρὸς τὴν γυναῖκα μεταστραφεὶς καὶ κινήσει χειρὸς καὶ νεύματι, λαθὼν τὴν κόρην, ἔνδον ἐσήμαινον ἀναστρέφειν (2). Ἤγετο (3) τοίνυν ἡ παῖς εὖ μάλα συγκαλυψαμένη, καὶ οὐ πάνυ τι πλέον δυσχεραίνουσα τὴν σφαγὴν ἢ μεθ' ἡμέραν εἰς ἀγορὰν ἐμβάλλειν (4). Ἐπεὶ δὲ τοῦ τείχους ἄνω περὶ τὰς ἐπάλξεις γεγόναμεν, ἐκλεξάμενός τι χωρίον εὐσύνοπτον τοῖς πολεμίοις, ὅθεν ἐκείνοις (5) ἐνῆν ὁρᾷν εὐκόλως τὰ δρώμενα (ἐτύγχανον γὰρ παρὰ τὰ τείχη σκηνώσαντες), ἐνταῦθα τῆς θυγατρὸς ἀποκαλύψας τὸ πρόσωπον, καὶ πείσας τῇ θέᾳ τὸν τύραννον μηδαμῶς ἑτέραν ὑπονοεῖν, φιλοστοργίαν μὲν πατρικὴν καὶ γυναῖκα θρηνοῦσαν ἐκβάλλω μου τῆς διανοίας, μόνον δὲ τῇ πατρίδι τὸν λογισμὸν παραδοὺς, καὶ τὴν κόρην οὐχ ὡς ἰδίαν ἔτι γονὴν ἐννοῶν, ἀλλ' ὡς τυράννου γυναῖκα γενησομένην εἰ διαφύγοι τὸν φόνον, ἐπιφέρων πληγὴν, ἑτέρας ἐδεόμην (6), ἵνα μὴ μετάμελος γένηταί τις ἐμοὶ, καὶ τελευτὴν ὀξεῖαν ἡ παῖς κερδάνῃ.

Ἐπιγνοὺς τοίνυν ἐκεῖνος ἣν ἔναγχος εἶδε, θεασάμενος τὸν πατέρα φονέα παιδὸς καὶ σφαγὴν ἐρωμένης, πολὺν ἄφωνος χρόνον εἱστήκει, θαύματι καὶ φόβῳ καὶ λύπῃ συσχεθεὶς τὴν φωνὴν, θαυμάσας μὲν ἐμὲ τῆς εὐτολμίας, δείσας δὲ πόλιν ἣν ἄνδρες οἰκοῦσιν ἐν δευτέρῳ ποιούμενοι τέκνα πατρίδος, ἀλγήσας δὲ φόνῳ καλῆς τε καὶ ποθουμένης, καὶ, τό γε (7)

(1) Formulam proverbialem θᾶττον ἢ βάδην illustravimus ego et Bastius ad Aristæn. 2, 14, p. 694. AElian. H. An. 2, 38 : θᾶττον ἢ βάδην προϊοῦσαν. Ibi Jacobs. Plutarchus Ages. 4 : θᾶττον ἢ βάδην ἐπειγόμενος. Idem De Alex. 2, § 1 : θᾶττον ἢ βάδην ἀπῄει. Menander Fragm. inc. 221 : Τὸ δὴ λεγόμενον τοῦτο, θᾶττον ἢ βάδην. Ibi Meinek. Allegatis illis Menandri verbis in Thesauri Stephaniani nupera editione, « legendum ἢ βραδέως » addidit vir doct.; qui nolit quemquam sibi parere. Lapsu calami fortuito notula « leg. ἢ βρ. » repetita male fuit e superioribus.

(2) Vix notandum mendnm typorum ἀναστέφειν Reiskianæ.

(3) Ed., εἵπετο. B Reiskii, εἴδετο. P, ἤγετο. Hoc malui, quum præcesserit εἵπετο de matre.

(4) Ed. et P., ἐμβάλλειν. B, ἐμβάλειν.

(5) Ed., ἐκείνοις. Sic P, superscripto ους.

(6) Pro ἑτέρας ἐδεόμην conjecit vir d. ἑτέρωσε ἐθεώμην. Cui conjecturæ repugnant sequentia, ἵνα τελευτὴν ὀξεῖαν ἡ παῖς κερδάνῃ.

(7) Pro τό γε, forsan τόδε. Obiter particulam γε recuperet Pachymeres Progr. p. 558', 24 : ἴσως δὲ καὶ δυσχερές. Codex, ἴσως δέ γε κ. δ. Ibidem p. 578 : τὸ τοῦ θεοῦ τέμενος ἡ Σοφία πολλαῖς μὲν καὶ παντοδαπαῖς ταῖς ἐντὸς ὡραΐσται χάρισι, πολλαῖς δὲ καὶ ταῖς ἐκτὸς κεκαλλώπισται. Codex, πολλαῖς δέ γε καί. Particulam γε non præter-

τῆς ἀθυμίας ἀφόρητον, δι' αὐτὸν ἐσφαγμένης (¹). Μόλις δ' οὖν αὐτὸν ἀνακτήσασθαι δυνηθεὶς, ἀναχώρησίν τε σημάνας τοῖς ὑπηκόοις, ἀπῄει, πολλὰ δηλαδὴ μεμνημένος ἐμοῦ τε καὶ τῆς ἐμῆς ἐγκρατείας, καὶ πρὸς τὴν τύχην, ὡς εἰκὸς, σχετλιάζων ὅτι, τοῖς ὅπλοις κρατῶν, ἀπῆλθε μὴ φέρων τοῦ πολέμου τὸ ἆθλον.

Ἀπράκτων οὖν ἀπιόντων ἐπ' οἴκου τῶν ἐλπισάντων ἀκοντὶ (²) χειροῦσθαι τὴν πόλιν, παντοδαποῖς ἐθεράπευσε τρόποις τῆς θυγατρὸς τὴν ὁσίαν, δάκρυσι καὶ χοαῖς, καὶ τοῖς ἄλλοις πᾶσιν οἷς νομίζεται τοὺς ἀπελθόντας τιμᾶσθαι, καὶ τοιαύτην ἐγκολάψας εἰκόνα τῷ μνήματι. Γυνὴ μέν ἐστι καθημένη τὸ φιλοτέχνημα· τὸ δὲ γύναιόν ἐστιν ἡ Τυραννὶς, λελυμένη τοὺς πλοκάμους καὶ κατηφὴς, καὶ λέγουσα τάδε·

« Ἡ πάντων κρατέειν ἐθέλουσα Τυραννὶς,
« Ἥδ' ἐγὼ ἡ τλήμων ὀλόφύρομαι οὕνεκα κούρης,
« Τῇ ἔπι (³) πόλλ' ἔπαθον ποθέουσά τε μαρναμένη τε ».

Τοιαύτας (⁴) ὁ τύραννος ἀφίησιν, οἶμαι, φωνὰς δι' ἐμὲ, ὁ πάλαι σοϐήσας (⁵) ταῖς ἀπειλαῖς, ὁ πρώην φοϐήσας τοῖς ὅπλοις.

misit Boivinus ex eodem codice eadem verba proferens ad Gregoram p. 764. Utitur Pachymeres formula δέ γε et p. 554, 30; 562, 6; 582, 2; 585, 26; 591, 9.

(¹) Ed., ἐσφαλμένης, quod corrigebat Jacobs. ad Anth. t. 3, p. 29. P, ἐσφαγμένης.

(²) Adverbium ἀκοντὶ illustravi ad Eunap. p. 479, ad Aristæn. 1, 15, p. 448. Aristænetus de Marte: Ἔρωτος δὲ φανέντος, γέγονε ῥίψασπις εὐθὺς ὁ τέως θρασὺς, καὶ τὴν δεξιὰν ἀκοντὶ προσανατείνας. Viri docti nonnulli ἀκοντὶ reponendum conjecerunt, quibus accessit nuper Lobeckii et Fixii auctoritas. Non pœnitet tamen reliquisse ἀκοντὶ, quum exhibeatur codice, nec sententiæ noceat. Negat quidem vir primarius esse ἀκοντὶ atticis cognitum; sed hæc est in Aristæneto difficultas minima.

(³) Ed., ἡ δ'. P, ἥδ'. Ed. et P, ὀλοφύρω οὕνεκα κόρης. Ed. et P, τῇ ἐπί. Menda sustulit cuncta Jacobs. Addit. p. 350. Idem est initium nonnullorum in Anthologia epigrammatum, Ἅδ' ἐγὼ ἁ τλάμων. Barbucallus, exempli causa, 9, 425, de Beryto: Ἅδ' ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς Ἐνναέταις κεῖμαι ἁ παναποτμοτάτα. Editori eximio videtur ex negligentia ortus hiatus. Cui mederi vitio conabor, scripto, κεῖμαι· ἆ παναποτμότατα! Vox silet post κεῖμαι· tunc erumpit ejulatio, ἆ παναποτμότατα. Sic tollitur hiatus, tollitur et debilis epithetorum acervus, τλάμων ἄπολις παναποτμοτάτα.

(⁴) Ed., τοσαύτας. P, τοιαύτας.

(⁵) Verbum σοϐεῖν me advertit ut emendem Pachymerem Progymn. sic editum p. 552, 26, in narratione Ulyssis insaniæ: καὶ ὁ Ὀδυσσεὺς παρεκκλίνων ἐκ τοῦ βρέφους τὸ ζεῦγος ἅμα σιτεῖ τὴν θήραν, καὶ τοῖς

Εγὼ μὲν οὖν ᾤμην πέρας εἶναί μοι τῶν δυσχερῶν, παρῄνουν τε ἐμαυτῷ ῥᾷον φέρειν τὸ πάθος ἑτέρων ὄντων μοι παίδων, ἐν εὐκλείᾳ τε γενόμενος, τῆς θυγατρὸς ὑπὲρ σωφροσύνης, ὑπὲρ ὅλης πατρίδος ἀνῃρημένης, καὶ τῷ μέλλοντι χρόνῳ σεμνὸν ἑαυτὴν καταλιπούσης διήγημα(¹). Τοιούτων δὲ παραμυθουμένων λογισμῶν νὺξ ἐν μέσῳ, καὶ δευτέρα τις ἦλθέ με κακοπραγία. Τῇ γὰρ ὑστεραίᾳ πολλοὶ πολλαχοῦ φοιτῶντες ἐθρύλλουν, « ὁ δεῖνα τοῦ δεῖνος κατηγορεῖ », ἐμὲ καὶ τοῦτον ἐπονομάζοντες.

Ἀποροῦντος δέ μου καὶ λίαν ἐκπεπληγμένου, καὶ ζητοῦντος τὴν πρόφασιν, ἀπήγγειλέ τις τοῦ κατηγόρου τὸν παῖδα, δεινῶς ἐρῶντα τῆς κόρης, ἑαυτὸν ἐπισφάξαι τῷ τάφῳ. Τοῦτό ἐστι τὸ ἔγκλημα, αὕτη τῆς δίκης ἡ πρόφασις· ἐπὶ τούτοις ὑμᾶς οὗτος ἀθροίσας, ἐτραγῴδει τοῦ νέου τὸν φόνον, ἐτραγῴδει μοι τῆς θυγατρὸς τὴν σφαγήν, ἄμφω καλοὺς ὠνόμαζεν ἡλικιώτας, ἥβης ἔχοντας ἄνθος, ἀλλήλων ἐρῶντας· καί με φησὶν ἀποκοσμῆσαι τὴν πόλιν, ψιλώσαντα ξυνωρίδος τοιαύτης. Εἶτα δύο μὲν οἰκητόρων ἀποβολὴ διϊκνεῖται μέχρι κοινῆς ἀκοσμίας, ἅλωσις δὲ καὶ τὰ τῆς ἁλώσεως πάθη, φόνος τῶν ἐν ἡλικίᾳ πολύς, καὶ γῆρας ὀψὲ τὴν ἐλευθερίαν ἀπομανθάνον, καὶ γυναῖκες εἰς ὕβριν μεριζόμεναι καὶ δουλείαν(²), πρὸς ἀσέλγειαν μὲν ὅσαι εἶδος καλαί, πρὸς δὲ διακονίαν αἱ μὴ τοιαῦται· τὰ δὲ τοσαῦτα τὸ πλῆθος, τὰ δὲ τοιαῦτα τὸ μέγεθος, πόλεως εἶναί σοι φαίνεται κόσμος; Τί γὰρ οὐκ ἔδρασε τύραννος ἀσελγής,

φίλοις θήραμα γίνεται. Monet vir d. « vitium latere in verbis ἅμα σιτεῖ quæ an recte legerit in scriptura minutissima se non præstare », et proponit ἅμα ζητεῖ. Est omnino legendum quod satis nitide exhibet codex, ἀνασοβεῖ τὴν θ. Quem codicem cum editione mihi conferenti non semel lectiones occurrebant scriptæ ab editis valde discrepantes, eisque receptis tacite, non minimo lectoris detrimento. Editio p. 572, 14 : ἐστὶ γὰρ φιλοτιμία ταύτῃ (τῇ φύσει) καὶ τὸ παράγειν διάφορα ὥσπερ γένη, εἴδη ζώων, οὕτω δὴ καὶ φυτῶν. Codex : ἔστι... γένη παντοῖα ζώων.... Ed. p. 576, 8 : εἰς δεῖπνα καὶ ξυνουσίας. Codex : εἰς δ. κ. ξυσσιτίας. Ed. p. 559, 21 : μὴ καὶ αὐτὸς ἐκ τοῦ τὸ πάθος ἐλέγχειν τῶν τοῦ ψεύδους κακῶν ἐμπλησθῶ. Cod. τὸ ψεῦδος ἐλ. Editio habet p. 554, 9, πολλαχοῦ; p. 565, 5, πολλά γε. Cod. bis πολλάκις, compendio non nitido quidem, sed quod aliis locis vir doctus recte legebat, verbi causa pag. 558, 21; 562, 6; 578, 12.

(¹) Ἑαυτὴν καταλιπούσης διήγημα] Lucianus Philop. 4 : μῦθος τοῖς ποιηταῖς γενήσομαι. Alpheus Anth. 9, 104 : Ἄργος, Ὁμηρικὲ μῦθε. Apollonidas Ib. 9, 287 : Ὁ πρὶν Κερκαφίδαις αἰετὸς ἱστορίη. Juvenalis 10, 167 : « Ut pueris placeas et declamatio fias. ». Cui præibat Horatius : « et fabula fias ».

(²) Ed. et P, δουλεία.

ἐρωτικὸς, ὠργισμένος, πόλιν δημοκρατίᾳ χρωμένην, γείτονος δυναστείαν ὑπεριδοῦσαν;

Ἐπεὶ οὖν τοιαύτης αἱρέσεως ἐγὼ εἰς ἀνάγκην περιέστην, καὶ δυοῖν ὁ καιρὸς ἀπῄτει με θάτερον, ἢ μόνην τὴν (¹) κόρην ἀποβαλεῖν, ἢ μετὰ τῆς κόρης ἀδικῆσαι τὴν πόλιν, τί, πρὸς θεῶν, ἐπλημμέλουν, ἑλόμενος μᾶλλον τὸ μέρος ἢ τὸ πᾶν ἀπολέσαι; Ὥσπερ γὰρ δυοῖν ἀνίσων ἀγαθῶν προκειμένων, εἰ μὴ συναμφότερα ἐξῆν λαβεῖν, τὸ μεῖζον ἐκλέξασθαι δεῖ, οὕτω καὶ, δύο παρόντων ἀνομοίων κακῶν, εἰ μὴ διαφεύγειν ἐστὶν ἑκάτερον, προσήκει τὸ χεῖρον ἐκκλίνειν (²). Ὁρᾷς ἄνδρα τομὴν ἀνεχόμενον μέρους αὐτῷ τινος ἐλαχίστου νοσοῦντος, ἵνα τελευτῆς ἐπιούσης ἑαυτὸν ἐξαρπάσῃ, καὶ μὴ τρεφόμενον τὸ νοσοῦν κατὰ βραχὺ τὸ ἐῤῥωμένον ἐπέλθῃ, ἐπειγομένου (³) τοῦ πάθους, εἰ μή τις τὸ πάσχον αὐτὸ μέρος ἐκ-

(¹) P., τήν. Reddam articulum Pachymeri Prog. c. 12, p. 582, 12: ἔσταλται δὲ καὶ σῶμα. Codex, καὶ τὸ σ. Et sic Boivinus qui totum caput descripsit ad Gregoram p. 674, idque accuratissime plerumque. Libanius t. 1, p. 470, 17: σὺ δὴ τὸν πόλεμον ὑμᾶς ἡρῆσθαι. Codex 3017: σὺ δὴ τὸ τὸν π. Themistius Orat. 27, p. 401: ἐν μέσῳ Κόλχων καὶ Ἀρμενίων καθιδρυμένος, σὺ τοξεύειν, οὐδὲ ἀκοντίζειν, ἐδίδασκε, οὐδὲ ἀναβαίνειν ἵππον κατὰ τὴν προσοίκων βαρβάρων παιδείαν. Reperi in collatione Valesiana, τὴν τῶν β., unde et abest κατὰ, idque bene, ni fallor, ut accusativus παιδείαν sit infinitivorum appositio.

(²) Quem Libanii locum apposui olim ad Aristænetea 1, 13, p. 434: δύο κακῶν εἰς αἵρεσιν προκειμένων, τὸ μετριώτερον αἱρετέον. Scholiastes Demosthenis Ol. 3, § 10: δύο κακῶν προκειμένων αἱρεῖται τὸ ἧττον. Hinc in notula τοῦ Μηνᾶ ad Babrium F. 21, δυοῖν κακοῖν προσκειμένοιν τὸ μὴ χεῖρον βέλτιστον, scribendum erat προκειμένοιν. Gregorius Naz. Orat. 40, p. 650, 2: σωφρόνων δὲ, ὥσπερ τῶν ἀγαθῶν τὰ μείζω καὶ τελεώτερα, οὕτω τῶν κακῶν αἱρεῖσθαι τὰ ἐλάττω τε καὶ κουφότερα. Theophylactus Bulg. in Anecdotis Mingarelli p. 281: τὸ μεῖον κακὸν προαιρουμένους τοῦ μείζονος. Suavis est Evenus Anth. 12, 172: Εἰ μισεῖν πόνος ἐστὶ, φιλεῖν πόνος, ἐκ δύο λυγρῶν Αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης. PseudoCicero Epistola ad Octavium: « in duobus autem malis quum fugiendum majus sit, levius est eligendum. Æneas Sylvius de Euryali et Lucretiæ amore p. 671: « Nos hoc scimus ex duobus bonis melius eligendum, aut ex bono et malo quod sit bonum; sed ex malis duobus quod minus obsit ». Adde Stanley. ad Æschylea Suppl. 1077: τὸ βέλτερον κακοῦ καὶ τὸ δίμοιρον αἰνῶ· Scholia ejusdem tragœdiæ v. 9; Cicer. Fin. 1, 10. Sangelasius, qui ex meretriculis duabus, procero altera corpore, parvo altera, hanc sibi elegerat, subdit non illepide Octasticho 17:
« La grande en fut, ce croy-je,
« bien despite; Mais de deux maux
« le moindre on doit choisir ».
Conferantur Balzac. Socrate p. 29; JB. Russæus Mandragora 3, 1.

(³) Ed., ἐπειγόμενος. P et codex Reiskii, ἐπειγόμενον. Visum est, mutato fine, scribere ἐπειγομένου. In causa sunt compendia sæpius cur

κόψοι, διατρέχειν ἅπαν τὸ σῶμα. · μὴ τὸ τεμνόμενον ἐλεήσας, τὸ δὲ ἐκεῖνο (¹) σωθὲν λογισάμενος, ἀποδέχου τῆς ἐγκρατείας τὸν ἄνδρα. Οὐδὲ νομέα γὰρ μέμψομαι μίαν οἶν ἀνῃρηκότα νοσοῦσαν, ὅπως αὐτῷ φυλαχθείη τὸ ποίμνιον, καὶ μὴ πρὸς ἕτερον ἀφ' ἑτέρου τὸ νόσημα μετιὸν ὅλην ἐπινέμοιτο τὴν ἀγέλην.

Ταῦτα πρότερον πολλάκις διασκεψάμενος, μιᾶς ἐπριάμην κόρης τὴν πόλιν, ἐν ᾗ καὶ ἐτέχθην, καὶ ἔγημα καὶ πατὴρ ἐγενόμην. Δεῖ γὰρ τοὺς (²) ἀγαθοὺς ἄνδρας, εἰ τέκνα τύχοιεν ἔχοντες, οὐ μόνον σφίσιν αὐτοῖς οἴεσθαι γεγονέναι τοὺς παῖδας, ἀλλὰ καὶ τῇ πατρίδι. Διαφέρει δὲ τί; ὅτι ὁ μὲν, αὐτῷ μόνῳ τὰ τέκνα γεγενῆσθαι νομίζων, τὴν ἐκ τῆς εἱμαρμένης ἐπιοῦσαν αὐτοῖς τελευτὴν ὑφορᾶται · ὁ δὲ, καὶ τῇ πατρίδι,

fines vocabulorum vitientur. Pachymeres Progymn. p. 579, 27 : ὁ στύλος ἐπῳκοδόμηται, πάλαι μὲν, ὡς ἀκούομεν, κεκαλυμμένος ποικίλῳ τεμεσίῳ χαλκῷ. Sic reformavit vir d. quod vidit, aut vidisse putavit in codice, κεκαλυμμένον. Sed correctio quamvis bona, ob id mala est quod inutilis ; est enim κεκαλυμμένος scriptum in codice, nec aliter legebat Boivinus ad Gregoram loco jam laudato. Pachymeres iterum p. 581, 7 : θάτερον ὑπονοοῖτο δυοῖν, ἢ τῷ ῥυτῆρι ἀγχόμενος κροαίνειν ἐκ βίας. Codex recte, ἀγχόμενον, ut Boivin. Idem ibidem p. 591, 3 : συμμαχεῖ τις τῷ δήμῳ, καὶ ἀπὸ νόμων ἔστι τῷ συναγωνιζομένῳ τὸ ἔπαθλον, ἀλλὰ δύσνους ἄλλος ἐφάνη, καὶ προσχωρῶν τοῖς ἐχθροῖς · οὐδὲ τούτοις ὦσιν οἱ νόμοι μὴ κατ' ἀξίαν ὑποσχεῖν τὰς δίκας, εἰ μόνον εἰς χεῖρας τῶν πολιτῶν γένηται. Impedimentum est in τούτοις, non tantum propter τις, quantum propter γένηται. Finis quidem vocabuli est non accurate delineatus, sed circumflexus accentus potest discerni, unde ex facili τοῦτον divinatur, et pro ὦσι exhibet omnino ἐῶσι. Jam nil restat difficultatis, recepta lectione, οὐδὲ τοῦτον ἐῶσιν οἱ νόμοι, nec neglecta codicis interpunctione : δήμῳ;... ἔπαθλον. Ἀλλά... ἐχθροῖς;

(¹) Ed. jungit σῶμα, μὴ τὸ τ. Ed., τὸ δ' ἐκείνου. P, τὸ δὲ ἐκείνου. Scripsi ἐκεῖνο. Et novum habet lector exemplum finis male scripti; nam ἐκείνου videtur mihi quidem in mendo cubare. Pachymeres, qui nunc mihi est ad manus rursus emendabitur. Sic est editus Prog. p. 585, ubi de fortuna quæ in res humanas summum jus sibi vindicat : οὐ πᾶσιν ἐφεδρεύει οἷά τις ἀπαραίτητος τύραννος, καὶ πάντες οὕτως ἐπιχειροῦνται τοῖς ἔργοις κατὰ τῆς τύχης εὐχὰς τὰς μεγίστας ποιησάμενοι; ἀγαθῇ τύχῃ τούτων λέγοντες ἐπιβάλλομαι. Codex exhibet solitam verbi formam ἐπιχειροῦσι, exhibet et τοῦτο. Insigne corruptorum finium afferam exemplum ex eodem auctore p. 577, 3 : παρ' ἕκαστον ἐνοχλοῦσι κρατῆρα προπίνοντες, καὶ τὸ, φίλους καὶ ἑταίρους καὶ συμπότας καὶ συντρόφους λέγουσιν, ὡς ἀπόλοιτο σὺν αὐτοῖς ταῦτα. Sed codex : τὸ φίλε καὶ ἑταῖρε καὶ συμπότα καὶ σύντροφε, λέγουσιν · ὡς...

(²) Verba δεῖ τοὺς... πατρίδι inseruit Rhodoniæ Macarius Chrysocephalas apud Villoisonum Diatriba pag. 66.

ὑπὲρ τοῦ μὴ ταύτην δουλωθεῖσαν ἰδεῖν, οὐ φείδεται([1]), κινδύνου καλοῦντος, τῶν παίδων, φοβερωτέραν εἶναι νομίσας τῆς τούτων ἀποβολῆς τὴν ἐσομένην αὐτοῖς ἀτιμίαν ἐν δουλευούσῃ τῇ πόλει.

Εἰ μὲν οὖν οὐ τῆς κοινῆς χάριν παῤῥησίας ἅμα καὶ σωτηρίας τὴν κόρην ἀνεῖλον, ἵνα δὲ σὺ τὸν υἱὸν ἀποβάλῃς, πονηρὸν, ὦ ἄνδρες, πονηρὸν τὸ ἐγχείρημα καὶ δεῖται ζημίας· εἰ δὲ τοὐναντίον ἐγὼ τῆς ἡμετέρας περιεῖδον γονῆς, ἵνα σὺ τῆς ἰδίας μένῃς ἀσφαλῶς ἀπολαύων, καὶ τῶν ἄλλων ἕκαστος πολιτῶν ὅσοι πατέρες εἰσὶ, καὶ τοιούτῳ μηδεὶς δουλεύσῃ δεσπότῃ, τὸ βαρὺ τοῦτο, τῆς θυγατρὸς ἡ σφαγὴ, παρὰ σωφρονοῦσι κριταῖς εἰς ἔπαινον τελεῖ μοι, καὶ δόξαν τουτὶ παρασκευάσει τὸ τόλμημα, καὶ τοὺς ὑπ' ἐκείνῳ τεταγμένους τοιαῦτα δικαίως ἀλλήλοις ἐπιτιμᾶν· «Μέχρι τίνος ἡμεῖς δου-«λείαν καρτεροῦμεν τοσαύτην; μέχρι τίνος ἡμεῖς διακονοῦμεν δεσπότῃ; «οὐ μιμησόμεθα τῶν προσοικούντων([2]) τὰς ἀρετάς; οὐ φρονήσομέν τι «λοιπὸν ἐλευθέριον, τοῖς ἐκ γειτόνων παραδείγμασι στρατηγούμενοι; «οὐ ζηλώσομεν ἄνδρας ὁμόρους ὑπὲρ ἐλευθερίας ἐπισταμένους πάντα «παθεῖν»; Τοιούτοις, οἶμαι, πρὸς ἐπανάστασιν ἑαυτοὺς διεγείρουσι λόγοις. Φύσει γὰρ ἡδὺ καὶ ζηλωτὸν καὶ περιμάχητον ἀνθρώποις αὐτονομία, καὶ πολὺ μᾶλλον αὐτοῖς ἐκείνοις ὅσοι δεσπότην μὲν ἀφόρητον([3]) καὶ βαρὺν, ἐλευθέρους δὲ γείτονας ἔχουσιν. Ἧς γάρ τις ἄμοιρός ἐστιν εὐδαιμονίας, ἕκαστον μὲν ταύτην λαβόντα βασκαίνει, μάλιστα δὲ τὸν προσοικοῦντα ζηλοτυπεῖ([4]). Ἴσως οὖν ἴσως καρπώσεσθε δι' ἐμοῦ καθαρὰν ἐξουσίαν, οὐδὲ γείτονα τύραννον ἔχοντες.

Ἀλλὰ κινδυνεύεις οὐ([5]) τὸ αἴτιον αἰτιᾶσθαι. Οὐ γὰρ ἡ περὶ τὴν κόρην ἀθυμία τοῦ νέου πρόφασις αὐτῷ γέγονε τελευτῆς, ἀλλὰ ὁ τρόπος

([1]) Ed. et P, φαίνεται. Scripsi φείδεται.

([2]) Ed. et P, προσηκόντων. Variatur inter προσοικοῦντα et προσήκοντα statim, n. 4. Sequuntur synonyma vocabula : τοῖς ἐκ γειτόνων ἄνδρας ὁμόρους.

([3]) Ed., ἐμφόρητον. Cod. Reiskii, ἀμφόρητον. P, ἀφόρητον. Quam varietatem inde protulit et recipiendam esse monuit Bastius sub V. ἐμφόρητος Thes. Didot.

([4]) Inter Choricianas hæc sententia, ἧς ἄμοιρός ἐστί τις εὐδαιμονίας, ἕκαστον μὲν ταύτην λαχόντα βασκαίνει, μάλιστα δὲ τὸν προσήκοντα ζηλοτυπεῖ, recepta fuit a Macario Chrysocephala ap. Villois. Diatr. p. 66. Ed. et P exhibent quod scripsi. In scriptura Macarii mendosum est προσήκοντα. Vide modo notam 2.

([5]) Debetur Jacobsio. ad Porson. p. 329, correctio κινδυνεύεις οὐ pro κινδυνεύει σου. Servata lectione edita, passivum foret αἰτιᾶσθαι, quod est insolens. Sæpe separanda junguntur, jungenda separantur. Pa-

ἐκείνου παντάπασι μᾶλλον ἐκλελυμένος ὑπάρχων καὶ μεστὸς ἀκρασίας. Εἰ γὰρ αἱ τῆς ψυχῆς ἀλγηδόνες αὐτόχειρας ἠνάγκαζον γίνεσθαι, κἂν αὐτὸς δήπου σαυτὸν ἀνῃρήκεις, λύπης γε (¹) ἕνεκα· τέκνοις γάρ, οἶμαι, τεθνεῶσι πατὴρ συνάχθεται μᾶλλον ἢ παιδικοῖς ἐραστής. Ὁρῶμεν ἀμέλει πένθος μὲν ἐραστῶν βραχεῖ τοῦτο (²) καιρῷ δαπανώμενον, γονέων δὲ λύπην ἐπὶ παισὶν οἰχομένοις εἰς χρόνων μῆκος ἐκτεινομένην. Οἱ μὲν γὰρ πρὸς ἰδέαν ἐπτοημένοι καλὴν, ἡνίκα τὸ ἐρώμενον λήγει, εἴτε νόσου μαραινούσης τὸ ἄνθος, εἴτε χρόνου τὴν ἀκμὴν ἀναλώσαντος, εἴτε συμβάντος θανάτου, τὸ φίλτρον εὐθὺς ἀποτίθενται· εὔνοια δὲ πατρικὴ γονεῦσι συντελευτᾷ φιλοστόργοις. Οὐ τοίνυν ὁ πόθος ἁπλῶς ἐκεῖνον ἀνεῖλεν, ἀλλὰ τῆς αὐτοῦ φύσεως τὸ μικρόψυχον.

Εἰ δὲ δεῖ, μὴ πρὸς τὸν νέον αὐτὸν, πρὸς ἕτερον δέ τινα τοῦ φόνου τὴν πρόφασιν ἄγειν, ἐπὶ σέ τις εἰκότως τὴν αἰτίαν ἀνοίσει. Σὺ γὰρ, ὡς ἔοικεν, οὔτε σωφρονεῖν ἐπαίδευσας τὸν υἱὸν, οὔτε μετρίως ἐρᾷν. Ἀλλ', εἰ καὶ ζῶντος ἠμέλεις τοῦ παιδὸς, τεθνεῶτα γοῦν ἔδει μὴ περιβόητον ἐκεῖνον ποιῆσαι, μηδὲ δημοσιεύειν περιφανῶς τὴν ἐκ φαύλης οὕτω προφάσεως τολμηθεῖσαν σφαγήν· συσκιάζειν δὲ μᾶλλον καὶ περιστέλλειν ἔνεστιν, οὐκ εἰς εὐρυχωρίαν ἐξάγειν, καὶ δικαστήριον συγκροτεῖν (³) ἐπὶ

chymeres Prog. pag. 581, 16 : ὅρα δὲ καὶ τὸν ἐπιβάτην εὐθὺς ἱππότου δρομέως ἔχοντα σχῆμα καὶ τοὺς πόδας παρὰ πλευρὰν ἑκατέραν διέχοντας · εἰ δέ γε καὶ ἐμβάδας φοροίη, ἀλλ' εἰκάσαις ἂν αὐτὸν ἐπὶ γαννυμένῳ τῷ ἵππῳ καὶ κυδρουμένῳ. Codex, ἐπιγαννυμένῳ. Et sic Boivinus, qui non scripsit εἰκάσεις, quod in nota dicitur, sed εἰκάσαις. Nec codex exhibet ἔχον τὸ, quod vidit vir d., sed id ipsum ἔχοντα, nec διέχοντας, sed διέχοντα, quod non mutandum.

(¹) Ed., γ'. P, γε.

(²) Ed. et P, βραχεῖ τούτῳ. Jacobs conjecit τοῦτο Additam. p. 291. Conjecerat etiam βραχυτάτῳ ad Porson. p. 329, et ad Anthol. t. 3, p. 151. Illud visum est facilius ac probabilius. Pachymeres Progymn. p. 577, 17 : ἔστω καὶ τούτῳ ποινή μοι καὶ τίσις. Bene codex, ἔστω καὶ τοῦτο.

(³) G. Pachymeres initio Declamationis ineditæ de philosopho τυραννοκτόνῳ · ἤδη τὴν πόλιν πᾶσαν στεφανοφοροῦσαν ὁρῶ, καὶ δῆμον τυραννικῆς ἀχλύος ἀπηλλαγμένον, καὶ πανηγύρεις πάλιν συνισταμένας, καὶ δικαστήρια καὶ βουλευτήρια συγκροτούμενα, καὶ ταῦτα πάντα θεοῖς καὶ φιλοσοφίᾳ κατορθωθέντα. Theophylactus Simoc. Epist. 11 : τῷ Σιμιχίδᾳ δικαστήριον συγκεκρότηται. Ibi consuli poterit mea nota. Codex 352 Suppl. pro Σιμιχίδᾳ fert Σιμαχίδῃ, et initio Epistolæ pro ὁ Σιμιχίδας χθὲς ἐνέπρησε exhibet ὁ Σιμαχίδης χθές που ἐνέπρησε. In codice Palatino 155, cujus variantes lectiones mihi communicavit utendas Kayserus vir doctiss., legitur ὁ Σιμαχίδης χθές που et τῷ Σιμαχίδῃ. Sed præstare videtur edita nominis forma, quam fecit nobilem Theocritus.

παιδὸς ἀδοξίᾳ καὶ πρὸς πλείους ἐκτείνειν μάρτυρας τὸ κακὸν, καὶ διδόναι πᾶσιν ὑπονοεῖν ὅτι φαύλως ἐκεῖνον ἔθρεψας, καὶ λαβὴν ἑτέρου ψόγου παρέχειν, ὡς οὐδὲ σὺ κοσμίως ἐτράφης· οὐ γὰρ ἂν οὕτως ἤγαγες τὸν υἱόν.

Γενέσθαι μὲν οὖν καὶ τῆς κόρης ἡλικιώτην οὐκ ἀντιλέγω· οὐ μὴν ἐκεῖνό γε δώσω, τὴν παρθένον ἐλθεῖν εἰς ἐπιθυμίαν αὐτοῦ, ὥσπερ ἀφελῶς οὕτως προσέῤῥιψας (¹), ἄμφω πρὸς ἀλλήλους εἰπὼν κακωτικόν τι παθεῖν, ὅπως ἅμα καλλωπίσῃς τὸν νέον, καὶ τὸ πάθος ἐλεεινότερον καταστήσῃς· ἀλλ' οὐ προσίεταί σου τὴν λοιδορίαν ἡ πόλις. Εἰ γὰρ μὴ συνῄδει πλείστην τῇ παιδὶ σωφροσύνην, οὐκ ἂν ὑπὲρ αὐτῆς εἵλετο τύραννον ἐπερχόμενον ὑπομεῖναι. Σὺ δὲ μαρτυροῦσαν παραγράφῃ τὴν πόλιν, ἢ γίνῃ τῇ τεθνεώσῃ τυράννου βαρύτερος. Ἐκεῖνος αὐτῇ πολλὴν ἐμαρτύρησεν εὐκοσμίαν, πόλεμον, εἰ διαμάρτοι, κηρύξας· οὐ γὰρ ἂν ἀπειλῆς ἡγήσατο δεῖσθαι τοιαύτης, ὡς πειθαρχοῦντος εὐκόλως τοῦ δήμου κόρην μὴ σωφρονοῦσαν ἐκδοῦναι. Τοῦτο γάρ ἐστι τὸ δεινὸν, ὅτι τοιαύτην ἀπέκτεινα(²)· τοῦτο γάρ ἐστι(³) τὸ λαμπρὸν, ὅτι τοιαύτην ὑπὲρ τῆς πατρίδος ἀνελεῖν ἀπετόλμησα (⁴). Σὺ δὲ δυοῖν ἐμοὶ πεπραγμένων, σωτηρίας καὶ φόνου, τῆς μὲν ὅλων, τοῦ δὲ μιᾶς καὶ μόνης παρθένου, οὔτε (⁵) ἀμφοτέρων προφέρειν βούλει τὴν μνήμην, οὔτε μόνου τοῦ μείζονος· ἀλλὰ, τὸ μεῖζον παραδραμὼν, τὸ ἔλαττον εἰσάγεις εἰς μέσον, καὶ, τὴν ἐμὴν κλέπτων (⁶) εὐεργεσίαν, τὴν συμφορὰν ὀνειδίζεις, ἐπιστάμενος ὅτι, κἂν ὅλῃ πατρίδι φόνος λυσιτελῇ, τοὔνομά γε εὐδιάβλητον ἔχει. Ὅθεν γυμνὸν προφέρεις τὸν φόνον, ἀφελὼν ἐκ τοῦ γενομένου τὴν τοῦ πεποιηκότος προαίρεσιν, καὶ μισότεκνον ὀνομάζεις τὸν μισοτύραννον, ἢ πανουργίᾳ συκοφαντῶν, ἢ γνώμης ἀσθενείᾳ τὸ τῆς ἀρετῆς ὕψος εἰς ὠμότητος ὑποψίαν λαμβάνων. Οἷς γὰρ οὐ πρόσεστι μεγαλόψυχον ἦθος ὡς παῖδας θανατῶσαι ὑπὲρ (7) πατρίδος, ἐκεῖνοι τὸν τοῦτο διαπραξάμενον, ἐκ τῆς αὐτῆς (⁸) δοκιμάζοντες ἀνδρείας, οὐχ ὑπερβαίνειν ἡγοῦνται.

(¹) Ed. προσείτριψας. P, προσέρριψας.

(²) P, ἀκέπτεινα.

(³) Ed., τοῦτο δ' ἐστί. P, τοῦτο γάρ ἐστι.

(⁴) Ed., ἐπετόλμησα. P et Reiskii codex, ἀπετόλμησα. Philo De Jos. § 10 : ἐμοῦ ἀπετόλμησεν αἰσχῦναι τὸ σῶμα.

(⁵) Ed., οὔτ'. P, οὔτε.

(⁶) Verbum κλέπτειν hoc sensu figurato tractavit Jacobs. Additam. p. 280.

(7) Præpositio ὑπὲρ abest a texto in P, sed adscripta est ad marginem.

(⁸) Ed., τῆς αὐτῆς. P, compendiose quidem, sed eo compendio

Φέρε, εἴ σοι κακῶς ἔλεγον τὸν υἱὸν καὶ δεινὰς αὐτοῦ κατὰ τῆς δσίας ἀρὰς ἐποιούμην, ὡς ἐπιβουλεύσαντός μοι πρὸς εὔκλειαν μείζονα· γενέσθαι γὰρ αἴτιον τοῦ μὴ καὶ σὲ μετὰ τῶν ἄλλων ἐμοὶ χάριν εἰδέναι, καὶ τὴν ἐμὴν διὰ πάντων εὐεργεσίαν ἐλθεῖν· εἰ ταῦτα λέγοντος ἤκουες, τί ἂν ἐποίησας; ἐχαλέπαινες, οἶμαι, δικαίως, εἰ τελευτήσαντα ψέγω, κειμένῳ, φασὶν, ἐπεμβαίνων (¹), δέον οἰκτεῖραι, καὶ δοκιμάσαι τὴν γνώμην, ᾗπερ αὐτὸν (²) διεχρήσατο· οὐ γὰρ ἐμοὶ πρὸς εὐδοξίαν ἐπηρεάζων εἰς τοῦτο προήχθη. Οὕτω τοίνυν κἀμὲ δίκαιος εἶ σκοπεῖν ἀπὸ τῆς γνώμης ᾗ τὴν κόρην ἀνεῖλον· οὐ γὰρ ἐκείνῳ σωτηρίας δήπου φθονῶν ἐπὶ ταύτην ἧκω τὴν πρᾶξιν.

Ἄκουε τοίνυν ἕτερον.

Εἰ, πρὶν ἀποκτεῖναι τὴν κόρην, ᾐσθόμην τοῦ νεανίσκου δρᾶσαι βουλομένου τὸ γεγονὸς, εἶτά σοι προσελθὼν, « Ὁρᾷς » ἔφην, « εἰς ὅσον « ἡμῖν ἡ πόλις ἦλθε κινδύνου· τοῦτον μέντοι τὸν φόβον ἐμοὶ καὶ σοὶ « λῦσαι πάρεστι καὶ μεγάλην ἄρασθαι δόξαν, ἀλλ' οὐκ ἀτυχίας ἐκτός· « δεῖ γὰρ ἑκάτερον τῆς οἰκείας χηρεῦσαι γονῆς· πλὴν ἐγώ σου (³) το« σοῦτον ἔσομαι δυστυχέστερος, ὅσον ἐμοὶ μὲν ἀνάγκη κτεῖναι τὴν « παῖδα, σὺ δὲ τῷ μὲν ἀποβάλλειν τὸν υἱὸν ἴσα μοι (⁴) πείσῃ, τὸ δὲ μὴ « τοῦτον ἀποσφάξαι κερδανεῖς »· εἰ ταῦτά μου νομοθετοῦντος ἀκήκοας, τίνα ἂν εἶχες, εἰπέ μοι, διάνοιαν; εἰ μὲν τὴν πατρίδα προέκρινας, τί

quod ad legendum αὐτῆς ducit. Forsan αὐτῶν. Sed inest non insuavis ironia in τῆς αὐτῆς.

(¹) Respexisse videtur locum Aristidis Or. 46, p. 348 : ἀφαιρεῖν γὰρ τοῖς χρηστοῖς τῶν συμφορῶν εἰκὸς ἦν, εἴ πως ἐνῆν, μᾶλλον ἢ τοῦτο οὐκ ἔχοντας ἐπεμβαίνειν, ὃ δὴ λέγεται, κειμένοις. Est et sententia similis Philostrati V. S. 2, 31, 2, Æliani reprehendentis qui mortuum Heliogabalum libello famoso laceraverat : ἐγώ σε ἐθαύμαζον ἂν εἰ ζῶντος κατηγόρησας. Εἶναι γὰρ δὴ τὸ μὲν ζῶντα τὸν τύραννον ἐπικόπτειν ἀνδρὸς, τὸ δὲ ἐπεμβαίνειν κειμένῳ παντός. Ad quem locum prostat in Bibliotheca philologica Volborthi t. 2, p. 201, conjectura παιδὸς pro παντός; quam memoro non valde memorabilem quidem, quippe quæ sit inutilis, sed ne inventori Fb. in mustaceo quæsita pereat laureola.

(²) Ed., αὐτόν. P, αὑτόν. Pachymeres Progymn. p. 369, 7 : ἐφ' ἑαυτοῖς. Cod. ἐφ' αὐτοῖς. Idem p. 384, 2 : καθ' ἑαυτήν. Cod. καθ' αὐτήν. Notulæ tenuitatem correctione redimam non minimi momenti. Rhetor p. 557, 7 : μέχρι δὲ τούτου πρὸς ἀλλήλους ἦν αὐτοῖς ἀντιφέρεσθαι, ἕως τὰ τῆς τύχης καὶ παρ' ἀμφοτέροις ἐκράτει, καὶ τὰ τοῦ πλούτου ἐπέτριβεν. Quis intelliget verbum ἐπέτριβεν? quis non intelliget lectionem codicis, ἐπέβριθεν?

(³) Ed. et P, σοι.

(⁴) Ed., ἴσα μοι. P, ἰσά μοι.

τοῦ προκρίναντος κατηγορεῖν ἀξιοῖς; εἰ δέ σοι μικρὸν ἔμελε ταύτης, θαυμάζω σου τῆς ἀναιδείας, εἰ, δικαζόμενος παρὰ τοῖς ὑπὸ σοῦ προδοθεῖσι πρὸς ἄνδρα τούτους ῥυσάμενον, εἶτα λαβεῖν οἴει τὸ δικαστήριον.

Ἀλλ' ἴσως, ὦ παρόντες([1]), νῦν ὅτε δουλείας ὁ φόβος ἡμῖν ἐκποδὼν, πᾶσαν ἄδειαν ἄγοντες λογίζεσθε τὸν δεδρακότα τὸν φόνον ὅτι πατὴρ, ἐννοεῖσθε τὴν ἐσφαγμένην ὅτι θυγάτριον, λαμβάνετε κατὰ νοῦν τὰ τῆς ἀνῃρημένης πλεονεκτήματα. Τῶν γὰρ ἰδίων ἕκαστος ἀπηλλαγμένος φροντίδων, τὴν ἀπὸ τοῦ καιροῦ σχολὴν ἐν τοῖς ἑτέρου πράγμασι δαπανᾷ. Εἰ δὲ τὴν πάλαι συνοικοῦσαν ἰσηγορίαν ἡμῖν ὑπὸ τῶν ἐχθρῶν ἀφῃρέθημεν, ὃ συμβέβηκεν ἂν εἰ μὴ τὸ πραχθὲν ἐτολμήθη, σιωπήσαντες ἂν τὸν πατέρα, τὴν παῖδα, τῆς παρθένου τὰς ἀρετὰς, τοιούτοις ἐμέλλετε ([2]) λόγοις ἀλλήλους ἐπ' ἐμὲ παροξύνειν· « Ἦ γὰρ ([3]) ἐπένθησέ τις ὑπὲρ « ὅλης πατρίδος εἰ ἀπόλωλε μία παρθένος ἢ τῶν κακῶν ἀφορμή; τί « δὲ μέγα λαβεῖν ἐπεθύμησεν ὁ τὴν πρεσβείαν ἐκπέμψας »; οὕτω γὰρ ἂν αὐτὸν ὠνομάζετε, σιωπῶντες τὸν τύραννον· « κόρην εἰς γάμον ᾔτη- « σεν ἄνθρωπος ([4]), ἀνδρὸς μὲν ὡραίαν, οὔπω δὲ μνηστῆρος ἑτέρου τυγ- « χάνουσαν ». Τοιούτοις οὖν ῥήμασιν εἰκότως ὑφ' ὑμῶν ἠλαυνόμην.

Ὅπερ εἰς νοῦν εἰληφὼς, εἰ καὶ τὸν νεανίσκον ᾐσθόμην μὴ καρτερεῖν τῷ φόνῳ τῆς κόρης ἐπιβιώσεσθαι, τουτονί τε ([5]) ἄγειν ἐπ' ἐμὲ τὴν αἰτίαν τῆς ἐκείνου σφαγῆς, οὐδὲ οὕτως ἂν ἀπεσχόμην τοῦ φόνου, κρεῖττον ἡγούμενος ἑνὶ συκοφάντῃ περιπεσεῖν ἢ κατήγορον ἅπασαν ἔχειν τὴν πόλιν. Ἔδει μὲν οὖν πρῴην συνισταμένης τῆς ἐκκλησίας ἐναντίον τῶν πρέσβεων ἀναιρεῖν με τὴν κόρην καὶ πόῤῥωθεν ἀναστεῖλαι τὸν πόλεμον, τῆς ἐφ' ᾗ γέγονεν αἰτίας ἀνῃρημένης, ἵνα μήτε τὴν χώραν ἀπρόσωπον ἡμῖν ποιήσωσιν οἱ πολέμιοι, κείραντες αὐτοῖς ([6]) τοὺς ἀγροὺς, μήτε τοὺς ἐν τούτοις ἑαλωκότας τοὺς μὲν ἀποσφάξωσι, τοὺς δὲ δοριαλώ-

([1]) Addidi ὦ ex P; et addendum monuerat Jacobs. ad Anth. 12, 85, 9. Sed codicem sequor, non Jacobsium. Nam ὦ potest abesse, et in compellationibus sæpe abest. Avarus in Progymnasmatis Pachymeris p. 577, 11 : οὐ φέρω ταῦτα, παρόντες. Neque dissentit codex, neque addendum ὦ.

([2]) Ed., τοιούτοις δ' ἐμέλλετε. Conjunctio abest ab codice meo P.

([3]) Ed. et P, εἰ γάρ. Scripsi ἦ γάρ. Statim P, εἰ γὰρ ἀπόλωλε. Ed., εἰ ἀπόλωλε. Et jungunt τις ὑπέρ.

([4]) Ed. et P, ἄνθρωπος. Forsan ἄνθρωπος.

([5]) Ed., τ'. P, τε. Statim Ed., οὐδ'. P, οὐδέ.

([6]) Ed., αὐτούς. Reiskii codex, αὐτοῖς. P, αὐτῆς.

τους (1) ἐργάσωνται. Ἔδει μὲν οὖν οὕτω ταῦτα γενέσθαι· ἀλλὰ, τῶν δεινῶν οὔπω παρόντων, λογισμὸς ἐξηπάτα με πατρικός· « Τίς ἐξάγει « τῶν βασιλείων τὸν τύραννον; τίς ἁβροδίαιτον ἄνδρα κινεῖ διατεθρυμ- « μένον σῶμά τε καὶ ψυχήν; ἐβασάνισε τῇ πρεσβείᾳ τοῦ δήμου (2) τὴν « γνώμην, καὶ μαθεῖν ἀναμένει πῶς ἔχει πρὸς ἀπειλὰς, κἂν ἴδῃ μὴ « ταραττόμενον ἠρεμεῖ· ἡ γὰρ ἀλαζονεία, τούτοις ἄποθεν (3) ἀκροβο- « λισμοῖς κεχρημένη, τοῖς μὲν εὐλαβουμένοις καὶ ἄνανδρόν τι φρονοῦ- « σιν ἐπιστρατεύεται, πρὸς δὲ τοὺς εἰδότας κόμπου καταφρονεῖν, ὅπλα « κινεῖν οὐ τολμᾷ ». Τοιαύταις ἐμαυτὸν ἐλπίσιν ἐξέδωκα, καί μοι πιθαναί πως ἐδόκουν· οὐ γὰρ ἐβουλόμην προφάσεως εὐπορεῖν ἐπὶ φόνον ἀγούσης τοιοῦτον.

Οὕτω σφόδρα τῆς θυγατρὸς ἐκηδόμην, ἕως ἐπῆλθε καιρὸς μείζων ἐμφύτου φιλοστοργίας. Ἐπειδὴ γὰρ πᾶσα μὲν ἄλλη σωτηρίας ἐλπὶς τὴν πόλιν ἀπολελοίπει, μία δέ τις ἡμῖν ὑπεφαίνετο τὴν ἐμὴν ἀπαιτοῦσα γονὴν (4), παρεχώρησα τῆς παιδὸς ἵνα λάβω τὴν πόλιν. Τί γὰρ, εἰπέ μοι, πράττειν ἐχρῆν; ἐᾶσαι τὸ δεινὸν εἰσιέναι, καὶ παραδοῦναι τῇ τυραννίδι τὰ πράγματα, καὶ συγχωρῆσαι αὐτῇ καταλύειν δημοκρατίαν ἀρχαίαν; οὐ γὰρ ἔφερε πλείονα χρόνον ἡ πόλις, οὔτε σῖτον εἰς μῆκος πολιορκίας ἱκανὸν κεκτημένη, καὶ πρὸς ἀγῶνα καὶ πόλεμον ἀπαράσκευος οὖσα, τῆς ἐφόδου τῶν ἐναντίων εὐθὺς τὴν πρεσβείαν ἐκδεξαμένης (5) καὶ βραχυτάτου καιροῦ μεταξὺ διελθόντος.

(1) Ed., δορυαλώτους. P, δοριαλώτους. In Choricio p. 84, 9, scripsi δοριάλωτοι pro Ed. et codd. lectione δορυάλωτοι.

(2) Ed. sine nomine δήμου, quod dedit P.

(3) P, ἄπcθεν, superscripto ω. Cf. p. 108, n. 4.

(4) Ed., γονήν. P, γονῆς. Reiskii cod., γονῆν.

(5) Ed., ἐνδεξαμένης. P, ἐκδεξ. Quæ præpositiones sæpenumero permutatæ fuerunt. Libanius de uxore garrula, t. 4, p. 141, 3: ὕει ῥαγδαίως τοὺς πρώτους εὑρόντας τραγῳδίαν λέγουσα, καὶ τοὺς ἐνδειξαμένους, καὶ ὅτῳ τρόπῳ τὸ σχῆμα ηὐξήθη. Codex 3017 ἐκδεξαμένους... χρῆμα. Illud est optimum, hoc incertum; quum σχῆμα de ornatu scenico capi queat. Pachymeres Prog. p. 574, 23: καχλάζον ἐκχεόμενον ἔλαιον τοὺς ὀφθαλμοὺς ἐκτυφλοῖ, ὡς ἡ κατὰ Πέρσας ἱστορία διδάσκει με. Codex, ἐγχεόμενον. Respicit rhetor Procopii historiam B. Pers. 1, 6, p. 33: τυφλοὺς οἱ Πέρσαι ποιεῖν τοὺς κακούργους εἰώθασιν, ἔλαιον ἕψοντες, καὶ αὐτὸ ὡς μάλιστα ζέον ἐς τοὺς ὀφθαλμοὺς οὔτι μύοντας ἐπιχέοντες. Quo loco usus est Brisson. De R. P. p. 333, sed valde mendoso. Quid egerint Brissonii editores ignoro. Atque sequente Pachymeris pagina præpositionem ἐκ video locum non suum occupantem: πῶς ἐκτέτραπταί

« Ἀλλ' εἰ καὶ ἄφρακτος» (1), φησὶν, « ἡ πόλις ἐτύγχανεν οὖσα, με« γάλη ῥοπὴ πρὸς τοὺς ἐναντίους ὑπῆρχεν ἡμῖν τὸ δίκαιον, καὶ ταύτην « ὁρῶμεν μᾶλλον τὴν ἀρετὴν τρόπαια ἐγείρουσαν ἢ πλείστην κατα« σκευὴν ἀδίκως συγκροτουμένην. Εἰ μὴ (2) τὴν παῖδα τὴν σὴν « ἔφθης (3) ἀνῃρηκὼς, ἠγωνισάμεθα ἂν, οὕτως ὡς εἴχομεν, ἀηττήτῳ « ῥώμῃ, δικαιοσύνῃ θαῤῥήσαντες ». Ἥκιστα μὲν πόλεμος ἐπὶ ῥητοῖς ἐθέλει χωρεῖν καὶ πολλοῖς (4) ἀμέλει νίκας ἀδίκους φιλοτιμεῖται. Θῶμεν δὲ (5) ὅμως (καλὸν γὰρ οὕτω φρονεῖν) τὸ δίκαιον κρατεῖν πανταχοῦ· ἄλλοις οὖν ἄλλας (6) ἐπιδείκνυσί τε καὶ χορηγεῖ σωτηρίας προφάσεις· τοὺς μὲν εὐβουλίᾳ τινὶ διασώζει, τοὺς δὲ προδοσίᾳ τῶν πολεμίων· ἄλλους βούλεταί τι παθεῖν, ἵνα πικροτέρων αὐτοὺς λύσηται συμφορῶν. Τοιαῦτα καὶ θεοὶ πολλάκις ἐν ταῖς μαντείαις, εἰ πολλὰ ἐπιτάττουσι πράττειν ἀνθρώποις, ἧς ἐδέδοτο νίκης ἀκαιρίαν τύχῃ (7). Εἰ γὰρ καὶ σωτηρίας ἄξιος ἕκαστος εἶναι δοκεῖ σύμμαχον ἔχων τὸ δίκαιον, ἀλλ' οὐ τὸν αὐτὸν σώζεσθαι τρόπον ἅπαντες ἄξιοι· ἀλλ' εἰσὶν οὓς δεῖ τι καὶ δυσχερὲς ὑπομεῖναι πρὸς ἀπαλλαγὴν μειζόνων κακῶν.

Ἐρεχθεὺς τὸ θυγάτριον, ἔκ τινος τοῦτο μαντείας ἀκηκοὼς, εἰς σωτηρίαν ἀνεῖλε τῶν Ἀθηναίων· ἀπέκειτο γὰρ ἢ μὴ φείσασθαι τῆς παιδὸς, ἢ τὰς Ἀθήνας ἀποβαλεῖν (8). Ἆρ' οὖν ἐκεῖνος μὲν ἀνδρείως ἤνεγκε τὴν μαντείαν, ἡ δὲ τούτου γυνὴ δεινῶς ἐπιέζετο; οὐκ ἔστιν (9)· ἀλλὰ προσῆ-

μαι τὰ τῆς διαίτης; Reducenda optima codicis lectio : πῶς ἀντέστραπται.

(1) Ed., ἄφθαρτος. P, ἄφρακτος.

(2) In P inter συγκρ. et εἰ μὴ spatium relictum est trium fere syllabarum capax. In Pachymeris Prog. p. 552, 17, inter συζεύξας et ὄνον codex spatium exhibet vacuum talis mensuræ, atque simile aliud p 553, 7, inter πατρὶ et καὶ, qua de re fuit monendus lector.

(3) Ed., τὴν ἐμὴν ἔφθην... θαῤῥήσαντες; sed quum sit τὴν σὴν in cod. Reiskii et P, scripsi ἔφθης, recepto σὴν, et sic continuatur objectio. Videtur utraque lectio bona. Alii codices electionem poterunt facere magis probabilem.

(4) Pro πολλοῖς Jacobs. πολλάς.

(5) Ed., δ'. P, δέ.

(6) Forsan, ἀλλ' οὖν ἄλλοις ἄλλας.

(7) Exhibeo verba editionis mendosa, excepto ἐδέδωτο. P, εἰ πολλοῖς ἐπιτ. πρ. ἀνθρώποις ἧς ἐδέδοτο νίκης ἀκαιρία τύχη.

(8) Codex Reiskii, ἀποβαλλεῖν. De historia Erechthei loci veterum collecti aut significati a Matthiæo ad Euripidis Erechtheum, et interpretibus ad Hyginum F. 46, 238.

(9) Lycurgus Leocratea § 24, recitaturus longam Praxitheæ uxoris Erechthei orationem, hæcce præmisit verba : ἄξιον δὲ καὶ τῶν ἰαμβείων (Euripidis) ἀκοῦσαι, ἃ πεποίηκε λέγουσαν τὴν μητέρα τῆς παιδός· ὄψεσθε γὰρ ἐν αὐτοῖς μεγαλοψυχίαν καὶ γενναιότητα ἀξίαν καὶ τῆς πολεως καὶ τοῦ γενέσθαι Κηφισοῦ θυγατέρα.

γεν ἐπὶ φόνον ἡ μήτηρ τὴν παῖδα κεκοσμημένην, ὥσπερ ἐπὶ θάλαμον ἄγουσα. Εἶτα, κινδύνου τοσούτου περιεστῶτος ἡμῖν, οὐδὲ γυναικὸς εὐτολμίαν ἐχρῆν με ζηλῶσαι; Ἐρεχθεὺς μὲν οὖν (οὐ γὰρ ἡ τούτου θυγάτηρ πρόφασις ἦν τοῦ τὰς Ἀθήνας ἐνοχλοῦντος πολέμου) τοιαύτης εἰκότως ἐδεήθη μαντείας εἰσηγουμένης, ὅπως ἂν ἡ πόλις αὐτῷ διαφύγοι τὸν κίνδυνον· ἡμῖν δὲ πᾶσιν ὁ πόλεμος ὑπῆρχε περιφανὴς ὅθεν τε γέγονεν, ὅπως τε παύσεται. Αὐτὸ τοίνυν ἡγοῦμαι τὸ δίκαιον ταύτην ἐμοὶ τὴν ἔννοιαν ἐμβαλεῖν ([1]), πάσης ἡμῖν ἑτέρας ἀσφαλείας ἀπούσης. Ὅτι γὰρ εἰς ἀπορίαν ἐσχάτην ἡ σωτηρία συνηλάθη τῶν οἰκητόρων, καὶ οὐδεὶς οὔτε τὸν πλησίον, οὔτε ([2]) αὐτὸς αὑτὸν εἶχεν ἐξαπατᾷν ὡς ἔνεστί πως καταφυγὴν ἑτέραν εὑρεῖν, αὐτὸς διαῤῥήδην ὁ τοῦ κατηγόρου παῖς ἐμαρτύρησεν. Οὐ γάρ, τῶν πολεμίων ἡμῖν εὐθὺς προσβαλόντων, τὴν κόρην ἀνεῖλον, ὥσπερ ἐπειγόμενος ἀποβαλεῖν τὸ θυγάτριον· οὐδὲ σπουδὴ γέγονέ μοι τὸν φόνον κρύφα τῶν ἄλλων τολμῆσαι, καθάπερ εὐλαβουμένῳ μὴ προαισθόμενός τις κωλύσῃ· τοὐναντίον μὲν οὖν κωλύσοντά μέ τινα περιῄειν ζητῶν, καὶ πολλοῖς, ἐξεπίτηδες τὴν περὶ τοῦ φόνου προεῖπον βουλήν, ὅπως, εἴ τις ἐμπόδιον γένοιτο κρείττονα γνώμην εὑρών, ἄμφω κερδάνω, καὶ τὸ φείσασθαι παιδὸς καὶ τὸ δόξαι περὶ πολλοῦ τὴν πατρίδα ποιεῖσθαι. Πάντων οὖν μελετωμένην μοι τὴν σφαγὴν αἰσθομένων, ἔδει τὸν καλὸν ἐραστήν, εἴπερ ἕτερον σωθῆναι τρόπον ἐνῆν, ἐμέ τε ([3]) ἀποστρέψαι τοῦ φόνου, καὶ δεηθῆναι τοῦ δήμου χειροτονεῖν αὐτὸν στρατηγὸν καὶ δύναμιν ὡς ἐκ τῶν ὑπαρχόντων διδόναι, ἢ καὶ ἁπλῆν τινα([4]) ἀσφάλειαν μετελθεῖν. Ταῦτα ποιῆσαι τὸν νεανίαν ἔδει, πλὴν εἰ μὴ τεθνεώσης ἠράσθη τῆς κόρης. Ἀλλ' οὐκ ἦν, ὡς ἔοικεν, ἕτερος πόρος οὐδείς· οὐδὲ γὰρ ἂν ἐμέ τε καὶ σέ, καὶ τὸν παῖδα τὸν σόν, καὶ πόλιν διέλαθεν ὅλην.

« Ἀλλ' οὐκ ἔδει » φησίν, « ἐπ' ἀδήλοις ἐγχείρημα τολμῆσαι τοσοῦ« τον· ἦν γὰρ οὐδενὶ φανερὸν ὡς ἕπεται τῷ φόνῳ τῆς κόρης ἡ τῶν « ἐχθρῶν ἀναχώρησις· μᾶλλον μὲν οὖν ὑπῆρχε τεκμαίρεσθαι σφοδρό« τερον ἀντικινηθῆναι τὸν τύραννον καὶ μείζω προσθεῖναι τῇ πολιορκίᾳ « σπουδήν, ἐρωμένης ἠρεθισμένον θανάτῳ ». Καὶ πῶς ἤρα κόρης οὐκέτι προσδοκωμένης; ἐλπίδος γὰρ οἰχομένης, ἔρως πέφυκεν ἠρεμεῖν, ἔρωτος

([1]) Ed. et P, ἐμβάλλειν.
([2]) Ed., οὔτ'. P, οὔτε.
([3]) Ed., τ'. P, τε.
([4]) Forsan ἄλλην τινά.

δὲ πεπαυμένου συναποσβέννυται καὶ θυμὸς ὃν ἀνῆψεν ὁ πόθος, εἰ μή πω τύχῃ τις παραπλησίως τῷ νεανίσκῳ δύσερως ὤν. Ἐξάγεις γὰρ οὐ βουλόμενον τεθνεῶτος κατηγορεῖν, εἰς τοιαύτην με περιστήσας ἀπολογίας ἀνάγκην. Ἐπειδὴ κἀκεῖνος συνέστειλε τὸν πόλεμον, καὶ διέλυσε τὴν ὀργὴν τῷ μὴ δεδιέναι ὅτι πρὸς γάμον ἡ παῖς καὶ ἑτέρῳ τινὶ συναφθείη· ἐπιθυμία γάρ, μὴ τοῦ σκοποῦ λαβομένη, δεύτερον οἴεται κέρδος τὸ μηδὲ (¹) ἄλλον τυχεῖν· τεκμαίρομαι δὲ (²) καὶ τοὺς περὶ αὐτὸν κόλακας, ἀνελπίστου λοιπὸν αὐτῷ γινομένης τῆς περὶ τὴν κόρην ἐπιθυμίας, πεπεικέναι τὸν ἄνδρα καταλῦσαι τὴν προσεδρείαν, παραμυθουμένους καὶ διεξιόντας οὐκ ἀπορεῖν αὐτῷ γυναικῶν τὰ βασίλεια, παραπλησίων τὸ εἶδος τῇ τεθνεώσῃ· τὸν δὲ ψυχαγωγίαν ἐθέλοντά πως εὑρεῖν, ἡδέως τε παρασύρεσθαι, καὶ κατὰ μικρὸν ἀνανεοῦσθαι τῇ μνήμῃ πατρίδα καὶ βασιλικὴν ἑστίαν, κατάλογον ἐρωμένων, ὀψοποιούς τε καὶ οἰνοχόους(³), καὶ ἄλλην ἀκόλαστον δίαιταν ᾗ δουλεύουσι τύραννοι.

Τί οὖν ἔτι πρὸς τούτοις ἡμῖν ὁ κατήγορος (⁴) ἐσοφίσατο;

« Ὑπῆρχε τρόπος » φησίν, « ὡς τὸ εἰκὸς ὑπηγόρευε, καὶ σώζων τὴν « παῖδα καὶ τὴν ἐνοχλοῦσαν λύων πολιορκίαν. Ἔδει μὲν γὰρ ἐπὶ τοῦ « τείχους ἐν ὄψεσι τῶν ἐχθρῶν ἱστάναι (⁵) τὴν κόρην, ἀργὸν δέ σε φέ- « ρειν τὸ ξίφος, ἕως κήρυκα πέμψας ὁ δῆμος ἐδίδαξε τὸν τύραννον, ὡς, « εἰ μὴ λύσας τὴν προσεδρείαν ἀπέλθοι, τὴν φιλτάτην ὄψεται σφατ- « τομένην. Ἴσως ἄν, τὴν ἐρωμένην οἰκτείρας, ἀνέζευξε, καὶ οὔτ' ἂν « αὐτὸς τὸ θυγάτριον ἀνῃρήκεις, οὔτε τοῦ παιδὸς ἀπεστερούμην ἐγώ· εἰ « δὲ μή, τότε ἂν ἐδόκεις ἐν καιρῷ διαπράττεσθαι τὸ νῦν πρὸ τοῦ και- « ροῦ τολμηθέν ».

Ἀλλὰ νῦν, ὦ βέλτιστε, τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ πλείστῳ παραλόγῳ συμβάν (ὃ γὰρ οὕτως ἐμπίπτει μεγάλως δουλοῖ τὰ φρονήματα) οὐδὲν καθ' ἡμῶν ἀφῆκεν ἐκεῖνον διαλογίσασθαι. Εἰ δέ τις ἐν μέσῳ γέγονε χρόνος, ὑφηγουμένου τοῦ δήμου τῷ κήρυκι, τοῦ δὲ κήρυκος τὰ παρὰ τοῦ πλήθους ἐκείνῳ διεξιόντος, ἐκείνου δὲ τῶν οἰκείων

(¹) Ed., μηδ'. P, μηδε.

(²) Editio plene distinguit post τυχεῖν. Inchoata in ἐπειδὴ sententia pendet. Suppressa conjunctione δὲ, vel scripto γε, syntaxis facile posset institui.

(³) Ed., ὀψοποιούσας καὶ οἰνοχόους. Codex Reiskii, ὀψοποιοῦσθε καὶ ἠνοχόους. P exhibet quod scripsi. Junguntur eadem vocabula p. 77, 16. Jungunt et alii.

(⁴) Ed., οὐ κατήγορος. P, ὁ κατ.

(⁵) P, ἑστᾶναι. Ed., ἱστάνειν. Scripsi ἱστάναι.

πυνθανομένου συμβούλων ὅ τι (1) δέοι παθεῖν, πάντως ἂν ἢ τούτων τὶς ὑπετίθετο (2) γνώμην, ἢ πρὸς ἑαυτὸν αὐτὸς διελέγετο· « Ἐπειδὴ τῆς « κόρης, ὡς ἔοικεν, οὐκ ἔνεστί σοι τυχεῖν, τί μὴ τὴν πόλιν κερδανεῖς; « ἀνεκτότερον ἐραστῇ μᾶλλον ἀποβαλεῖν ἐρωμένην ἢ μαθεῖν ἑτέρῳ « πρὸς γάμον αὐτὴν ἐκδεδόσθαι· τὴν γὰρ οὕτω καλὴν οὐκ ἔστι μεῖναι « παρθένον. Εἰ δέ τι παράδοξον γένοιτο, καὶ πολλὴν οὕτως ἡλικίαν δι-« έλθοι, αὕτη σοι τοῦ μέλλοντος ἡ φροντὶς πικροτάτη γενήσεται βάσα-« νος ». Ταῦτ' ἂν αὐτῷ βουλεύεσθαί τε καὶ πράττειν ὁ μεταξὺ χρόνος ἐδίδου, ὥστε μετὰ τῆς κόρης ἐντεῦθεν ἡ πόλις ἂν διεφθάρη πρὸς τὴν θέαν (3). Εἰ δὲ κἀκεῖνος ἡμῖν τοιούτους ἀντέπεμψε λόγους, « Ἂν ἀπο-« σφάξητέ μοι (4) τὴν κόρην, καταβάλλω τὴν πόλιν », τί ἂν τῷ δήμῳ παρήνεσεν ὁ τὰς ποικίλας ἡμῖν γνώμας εὑρίσκων; ἀνελεῖν, ὥς φησιν, ἐν καιρῷ τὴν παρθένον; οὐκοῦν ἐχειροῦτο τὴν πόλιν ὁ τύραννος, ὑβρίσθαι νομίσας (5). Νῦν μὲν γὰρ οὐ πρὸς ὕβριν ἐκείνου πεποιηκέναι τὸν φόνον ἐδόξαμεν, ἀλλ' ἐλπίσαντες, ὅπερ ἀπέβη, πέρας ἕξειν τὸν πόλεμον, λυομένης τῆς ἐφ' ᾗ προῆλθεν αἰτίας, καὶ τῆς ἐπιθυμίας ἐκείνῳ συντελευτώσης τῇ ποθουμένῃ. Εἰ δέ, προειρηκότος καθαιρήσειν τὴν πόλιν εἰ τὴν κόρην ἀνέλοιμεν, εἶτα τοῦτο διεπραξάμεθα, εἰκότως ἄν, περιφρονηθείς, ἠγανάκτει μέχρι τοῦ τὸ ἄστυ κατενεγκεῖν. Οἴκοθεν μὲν γὰρ ἐκεῖνον ἐξήγαγεν οὐχ ἡ τῶν πρεσβέων ἀτιμία τοσοῦτον ὅσον ἡ τοῦ λαβεῖν τὴν κόρην ἔτι περιοῦσαν ἐλπίς· ἐνταῦθα δ' ἂν ὑπ' αὐτῆς ἐθυμοῦτο τῆς ὕβρεως, γεγονότος φόνου παρὰ τὰς αὐτοῦ πρὸς τὸν δῆμον διὰ τοῦ κήρυκος ἐντολάς. Εἰ δὲ φείσασθαι τῆς παιδὸς ἡμῖν συνεβουλεύεσθε, προθυμότερον ἂν οὕτως ἠπείγετο τὴν πόλιν ἑλεῖν, ἵνα τύχῃ τῆς κόρης. Οὐκοῦν ἢ τούτων ἀμφοτέρων, τῆς τε πόλεως ἅμα καὶ τῆς ἐρωμένης, ἀπέλαυεν, ἢ, σφαττομένης μοι τότε τῆς θυγατρός, ἀνόνητος ἂν ὑπῆρχεν ἡμῖν ἑαλωκόσιν ὁ φόνος.

« Ἀλλ' οὐδέν » φησί, « δυσχερὲς ὁ τύραννος ὑπομείνας, αἰτήσει κό-« ρην ἑτέραν καὶ πάλιν ἄλλην, καὶ τετάρτην ἴσως καὶ πέμπτην, καὶ « τοιαῦτα προστάττων οὐ παύσεται. Εἰ μὲν οὖν μιμήσονταί σου τὸ

(1) Ed. ὅτι. P., ὅ, τι.

(2) Ed., ἐπετίθετο. P, ὑπετίθετο.

(3) Sic Ed. et P, πρὸς τὴν θέαν. An corrigendum, πρὸς τῶν θεῶν!

(4) Ed. et P, ἀποσφάξηταί μοι.

(5) Fortasse legendum : οὔκουν ἐχειροῦτο... νομίσας; οὐκ ἂν ἐχ..... νομίσας;

« θράσος ὅσοι τῶν ἄλλων πατέρες, πολλὰς διὰ σὲ παρθένους ἡ πόλις « ἡμῶν ἀποβάλλει([1]) · εἰ δὲ μηδείς σοι γένηται μιμητής, ὅρα σοι τὸ τῆς « πράξεως ἄτοπον ἐκ τοῦ μηδένα βούλεσθαι ταύτην ζηλῶσαι ».

Ἐγὼ δέ σου τὰ ῥήματα μεταστρέψας, φημί· « Εἰ μὲν οἱ τῶν([2]) ἄλλων « παρθένων μιμήσονταί με γονεῖς, πολλοὺς εὐεργέτας ἡ πόλις ἕξει δι' « ἐμὲ, τέκνων αὐτὴν ποιουμένους τιμιωτέραν; εἰ δὲ μηδεὶς οὕτω φα- « νείη φιλόπολις, ὅρα τῆς ἀρετῆς τὴν ὑπερβολὴν ἐκ τοῦ μηδένα δύνα- « σθαι ταύτην ζηλῶσαι » · Ὅλως δὲ τὸ συμβὰν ἐρᾷν ἀποτρέπει τὸν τύραννον κόρης ἑτέρας παρ' ἡμῖν τρεφομένης, τεκμαιρόμενον τοῖς ἐμοὶ πεπραγμένοις ὡς κατὰ ζῆλον ἡμέτερον ἀνέξεταί τις τὴν παῖδα μᾶλλον ἀποβαλεῖν ἢ δυνάστῃ πρὸς γάμον ἐκδοῦναι. Εἰ τοίνυν ὃ βούλεται ἕκαστος τοῦτο καὶ οἴεται, ὅπερ οὐχ οἴεταί τις οὐδὲ βουλήσεται. Οὔκουν εἰκὸς ἐκεῖνον εἰς ἐπιθυμίαν ἐλθεῖν ἣν οὐ προβαίνειν ἐλπίζει · κἂν ἔρωτι περιπέσοι ([3]), προστάττειν ὀκνήσει τοῖς ἐκείνου διακονεῖν προστάγμασι· κἂν διαμάρτοι προστάξας, οὐ πάλιν ἐπιστρατεύσει, λογιζόμενος, ὅπερ ἐστὶν, ὡς οὐκέτι τὴν πόλιν ἀφύλακτον οὖσαν εὑρήσει. Τὸ γὰρ ἐγχείρημά μοι παρασκευῆς τε καὶ φυλακῆς ἡμῖν([4]) γέγονεν αἴτιον, ἵνα μὴ πάλιν ἀνδρὸς δεηθῶμεν τὴν οἰκείαν([5]) ἀναιροῦντος γονήν.

Βούλει τῆς ἐμῆς εὐεργεσίας κατανοῆσαι τὸ μέγεθος; ἀπόκριναί μοι βραχέα πυνθανομένῳ.

([1]) Ed., ἀποβάλλῃ. Codex Reiskii et P, ἀποβάλλει.

([2]) Ed., εἰ μὲν οἱ μὲν τῶν. Altero μὲν caret P. Mendum est typorum, ut mox τιμωτέραν, et infra οὔκνουν pro οὔκουν.

([3]) Ed. et P, περιπέσοι. Malim περιπέσῃ et mox κἂν διαμάρτῃ. Sed optativus servari potest. Pachymeres Progymn. pag. 586, 9 : κἂν ἡ τύχη δώσει τὴν θάλατταν. Non fuit enotata, quæ tamen recipiatur, superscripta varietas, δώσοι. Procopius Cæsar. sæpius in Historiis formulam adhibet ἂν οὕτως τύχοι.

([4]) Ed., ἡμῖν. P., ὑμῖν.

([5]) B., οἰκίαν. Non id enotarem, ni sic fieret via ad utiliora. Pachymeres Prog. p. 554, 20 : οὔτε τοῖς κοινοῖς χρήσιμος, οὔτε τοῖς κοινοῖς ὠφέλιμος. Codex recte : τοῖς οἰκείοις ὠφ. Sic currente velocius calamo scribimus ex codice quæ codex non exhibet. Pergam illi rhetori prodesse. De sole ait p. 553, 8 : τοῦ ἅρματος ᾧπερ ἐμβεβηκὼς ἐκεῖνος τέμνειν τὴν ἐν ἄστροις ὁδὸν καθ' ἑκάστην πιστεύεται. Codex, ἐμβεβαώς. Respicitur Phœnissarum initium : Ὦ τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν, Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις. Rursus p. 583, 22 : ἀνύειν τὴν κέλευθον, μακρὰ βεβῶντας, ὡς λέγουσιν. Participium videtur recte scriptum; sed codex etiam recte βιβῶντας, ut est in Il. 3, 22 : μακρὰ βιβῶντα. Gravius est mendum p. 585, 26 : πρὸς τὸ ζῆν κινδυνεύουσιν. Codex, περί. Ac p. 569, 22, pro ἀγχιτάτω Cod. ἀγχοτάτω.

Οὐκ οἴει τὸν ἡγεμόνα τῶν πολεμίων, ἐμμανῶς ἐρῶντα τῆς κόρης, ἡνίκα τῆς δεῦρο στρατηγίας ἱκανῶς εἶχεν αὐτῷ, προσκαλεσάμενον τὰ τέλη τῶν ἀρχομένων (¹) μάλα σπουδαίως αὐτοῖς ἐπιτρέψαι, καὶ διὰ τούτων ἅπασι τοῖς λοιποῖς, τὴν μὲν πόλιν καταδουλῶσαι, τὴν δὲ παρθένον αὐτῷ διασώσαντας ἄγειν, μὴ στρατιωτικῶς ἕλκοντας καὶ τραχέως, χειρὶ δὲ (²) ἀλύπῳ καὶ ἡμέρῳ φωνῇ καὶ βλέμματι πράῳ; οὐκ οἴει ταῦτα προστάξαι τὸν ἄγαν ἐρῶντα, καὶ προσέτι κελεῦσαι τοῖς ὑπηκόοις μὴ τοὺς τῆς ἐρωμένης δεσποίνης γονέας ἐργάσασθαί τι δεινόν; Κατανεύειν ἀνάγκη τοῖς εἰρημένοις. Ἐξὸν οὖν ἄρα μοι (³) κηδεστὴν ὀνομάζεσθαι βασιλέως, καὶ πλουτεῖν καὶ δορυφορεῖσθαι, καὶ πολλοῖς ἐπιτάττειν, καὶ τὴν παῖδα τρυφῶσαν ὁρᾷν ἐσθημάτων ἁβρότητι καὶ χρυσίων πολυτελείᾳ καὶ πολλαῖς θεραπαίναις, οὐ τιμάς, οὐ δυναστείαν, οὐ πλοῦτον, οὐ θυγατρὸς σωτηρίαν (⁴), οὐ τὸ δοκεῖν ἄστοργος εἶναι πατήρ, οὐδὲν ἡγησάμην ἄξιον εἶναι τοῦ πατρίδος ὑπεριδεῖν.

« Ἔστω ταῦτα » φησίν· « οὐδὲν ἀντιλέγω· ἀπῄτει τῆς κόρης τὸν « φόνον ὁ κίνδυνος. Ἐχρῆν οὖν ἑτέρῳ τὴν σφαγὴν ἐπιτρέψαι, καὶ τὴν « χεῖρα γοῦν καθαρὰν μύσους ἔχειν τοσούτου ».

Ἐβουλήθην μᾶλλον φοβῆσαι καὶ καταπλῆξαι τὸν τύραννον, καὶ δεῖξαι τοῖς ἔργοις ὡς ὑπὲρ ἐλευθερίας οὐδὲ σφάττειν αὐτοχειρὶ παρ' ἡμῖν ἀποκνοῦσι τέκνα πατέρες. Οὐ γὰρ ἂν ἔλαθον πατὴρ ὑπάρχων τῆς κόρης. Καὶ χρηστοὶ γὰρ ἐκεῖνοι πολῖται, δι' ὧν τὸ σπέρμα προῆλθεν ἡμῖν τῶν κακῶν, οἳ (⁵) τὴν παρθένον αὐτῷ προξενήσαντες, συνῆσαν τοῖς πολεμίοις ὑποδείξοντες τὰ σαθρὰ τῶν ἡμετέρων χωρίων, ὅσον τε τοῦ τείχους ἐστὶν ἐπίμαχον.

Ἔστι δὲ ταῦτά μοι πρὸς ὑμᾶς, ὦ ἄνδρες, καὶ τους περιεστηκότας ἔξωθεν καὶ τῶν λεγομένων ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτὸν ἐξήρκει τοσοῦτον εἰπεῖν, ὡς, εἴτε (⁶) αὐτὸς τὸ πραχθὲν εἰργασάμην, εἴτε

(¹) Supra p. 80, τὰ τέλη τῶν οἰκητόρων· ibi nota. Pariter p. 42, 2 : τῶν ἀστυγειτόνων τὰ τέλη.

(²) Ed., δ'. P., δέ.

(³) Ed., ἄρά μοι. P., ἄρα μοι.

(⁴) In P e regione hujus loci scriptum est ad marginem, compendio subobscuro, αὐτήν. Potest recipi pronomen post nomen σωτηρίαν, ut sit : « non filiæ salutem ipsam ».

(⁵) Ed. et P., οἵ. Id reliqui. Scripto οἵ, fiebat syntaxis facilis ; sed vulnus non sanabatur sententiæ, quæ mutila esse videtur.

(⁶) Ed., εἴτ' P., εἴτε. Corruptus est in illa conjunctione Pachymeres Progymn. pag. 583, 27 : ὁ διὰ θα-

τις ἕτερος, οὐδέν σοι τοῦτο πρὸς τὴν τοῦ παιδὸς διέφερε σωτηρίαν. Ἀλλὰ μᾶλλον ἐχρῆν, ἐμοῦ πεποιηκότος τὸν φόνον, καρτερῆσαι τὸν νέον. Ἦν γὰρ αὐτὸν ἐντεῦθεν λογίζεσθαι καὶ σκοπεῖν ὡς ἀλογία πολλὴ τὸν πατέρα μὲν ἀποκτεῖναι τὴν παῖδα, καὶ ζῆν, ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένην, αὐτὸν δὲ (¹) ἀφειδῶς ἔχειν τοῦ βίου. Εἰ δὲ πικρότερον εἴποις ἐραστὴν ἀνιᾶσθαι πατρὸς, οὐ συμβαίνοντα μὲν φύσεως νόμοις ἐρεῖς. Ἔδει δὲ ὅμως (²) τὸν νέον εἰς τὸν τύραννον βλέψαι, καὶ ζηλῶσαι καρτερίαν ἐραστοῦ, μείζους ἂν καὶ πλείονας ἔχοντος τοῦ μὴ βούλεσθαι ζῆν ἀφορμάς. Τὸ γὰρ μάτην ἀποστεῖλαι πρεσβείαν, δι' ἧς τύραννος ἐκολάκευσε δῆμον, καὶ τὸ πόλεμον διὰ κενῆς (³) ἀνατείνασθαι, καὶ τῆς παρασκευῆς ἡ δαπάνη, καὶ τὸ κατενεχθῆναι πρὸς ἔρωτα κόρης ἐλάττονος αὐτοῦ τὴν ἀξίαν, μὴ τυχεῖν δὲ τοῦ γάμου, καὶ τὸ διχόθεν παρὰ τοῖς ὑπηκόοις αἰσχύνην ὀφλῆσαι, τοῦ τε πόθῳ περιπεσεῖν, τοῦ τε διαμαρτεῖν τῆς ὑπὲρ τούτου σπουδῆς, καὶ τὸ μεμνῆσθαι τῆς ἑορτῆς τὴν ἡμέραν, ὅτε παίζουσαν ἐν τῷ ἄλσει τὴν παρθένον ἰδὼν, οὐκ ἀπῆλθεν ἁρπάσας· τοσαῦται τοίνυν εἰς ταὐτὸν ἐλθοῦσαι προφάσεις οὐ τοσοῦτον καθεῖλον τὸν τύραννον ὅσον αὐτὸν ἀποσφάξαι. Τοιοῦτον ὁ νεανίας ἔχων παράδειγμα καρτερίας, οὐ γέγονε μιμητής· ἤλγησε δὲ πλεῖον ἰδιώτης τυράννου. Καί τοι τοὺς ἐν μεγίστοις ὑπάρχοντας ἀξιώμασι χαλεπώτερον φέρειν εἰκός· οἱ γὰρ πνέοντες μεγάλα τὰς ὑπὸ τῶν ἐλαττόνων πικρῶς φέρουσιν ἀτιμίας. Ὁ δὲ (⁴), οὔτε πρὸς τοῦτο ἰδὼν, οὔτε τῇ πόλει συγχαίρων βεβαίας ἀπολαυούσῃ δημοκρατίας, οὔτε τοῖς ἐχθροῖς ἐφηδόμενος ἀπράκτοις ἀναχωροῦσιν, οὐκ αἰσχυνθεὶς, οὐκ ἐλεήσας τὸν φύσαντα, οὐ λαβὼν κατὰ νοῦν ὡς ἑαυτῷ μὲν δυσέκνιπτον ὄνειδος, σοὶ δὲ πένθος ἐπίσημον καταστήσει, οὐ τὸ πάντων μέγιστον λογισάμενος, ὡς αὐτὸς μὲν ἀναίτιος τοῦ φόνου τῆς ἐρωμένης,

λάσσης πλοῦς, ὃν εἴτουν πομπίλον τις ἰδὼν τὸν θαλάττιον, εἴτουν καὶ ἐπιπνοίᾳ κινούμενος θείᾳ, ξύλῳ καὶ λίθοις ηὐτούργησε, μέγα τι ἐτόλμησεν ἔργον, οὐχ ἥκιστα δὲ καὶ παντὶ τῷ βίῳ ὠφέλιμον. Codex, εἴτε-εἴτε. Nec habet μέγα τι, sed μέγα μέν. Neque navigationis inventor ligno et saxis primam sibi navem ædificavit, verum ξύλῳ καὶ λίνοις, quod legi in codice.

(¹) Ed., δ'. P., δέ. Consentiunt et in ἐσφαγμένην. Malim ego quidem, ταῖς αὐτοῦ χερσὶν αὐτῆς ἐσφαγμένης.

(²) Ed., δ' ὅμως. P., δὲ ὅμως. Mox Ed., ἔχοντας, mendo typorum. Mendum parile tollatur ex Pachymere p. 555, 2, ubi τοῦ συνοίσοντας, quod mutetur in συνοίσοντος, teste codice et coll. p. 584, 27. Sed res talis non indiget testimoniis. Sic p. 393, 5, ἀπολύοντες mutandum in ἀπολύοντος, codice duce, aut non.

(³) Ed. et P., διακενῆς. Plerumque talia placuit dividere.

(⁴) Ed., δ'. P, δέ.

ὁ δὲ τύραννος τούτου γέγονε πρόφασις, ἔδει δὲ πλέον ἀλγῆσαι τὸν δεδωκότα τὴν ἀφορμήν· ταῦτα δὲ πάντα παρ' οὐδὲν ποιησάμενος, τὴν οἰκείαν ἐτόλμα σφαγὴν, ἐπιδούσης αὐτῷ τῆς ἀκρασίας τὸ ξίφος. Οὐ τοίνυν ὁ πόθος αἴτιός σου τῷ παιδὶ γέγονε φόνου· ἀλλ' ὡς ἀνὴρ ἀκρατὴς καὶ, τὸ λεγόμενον, ἥττων ἑαυτοῦ, πέπονθε τὸ συμβάν. Ὡς ἔδει γε τοσοῦτον ἰσχύειν τὴν ἐκ τοῦ μὴ κατορθοῦν ἔρωτα λύπην! ἦ γὰρ ἂν ἀπηλλάγμεθα φοβεροῦ γειτονήματος.

Μεταξὺ δὲ λέγων διενοήθην τί ἂν ὁ νεανίσκος ἐποιήσεν, εἰ, τὴν πόλιν ἑλὼν, ἔγημε τὴν κόρην ὁ τύραννος. Εἰ γὰρ, ἀποτυχόντος ἐκείνου, τῆς οἰκείας ὑπερεῖδε ψυχῆς, τί ἂν ἔδρασε πλέον κατωρθωκότος; ἀνδρὶ γὰρ ἐρῶντι πάντων ἀνιαρότερον (¹) ἀντεραστὴς εὐτυχῶν. Οὐκοῦν ἀσελγείας μὲν τυραννικῆς τὴν παρθένον, τὸν δὲ νέον ζηλοτυπίας, τὴν δὲ πόλιν μεμηνότος ἐῤῥυσάμην δεσπότου.

Ἴσως τοίνυν καὶ τοιαύτην ἐρεῖ τις ὑπόνοιαν, ὡς, εἰ (²) τὴν κόρην ἁπλῶς εἰλήφει πρὸς γάμον ὁ τύραννος δι' ἧς ᾔτησε τοῦτο πρεσβείας, εὔνους ἂν ἡμῖν καὶ φίλος ὑπῆρχε, καὶ οὐδεν ἂν ἔδει πολιορκίας καὶ φόνου.

Ἔστι μὲν οὐκ ἐμὸν ἔγκλημα τοῦτο, τοῦ δήμου δὲ μᾶλλον κατηγορία· ἔστω δ' οὖν καὶ πρὸς ἐμὲ τὴν μέμψιν ὁρᾷν. Ἐπαινῶ γὰρ οὕτως ἐνεχθέντα τὸν δῆμον. Ἵνα τοίνυν ὑπὲρ ἐμαυτοῦ καὶ ὑμῶν ἀπολογήσωμαι τὰ εἰκότα, φημὶ μὲν καὶ αὐτὴν τοῦ δυνάστου τὴν αἴτησιν, ἐφ' ἑαυτῆς

(¹) Ed. et P., ἀνιαρώτερον. Sed notum est produci penultimam in ἀνιαρός. Sæpe in terminationibus id genus peccatum fuit. Athenæo 1, 58, vetus mendum ἰσχυρώτερος non reliquit diligens Dindorfii industria. Monachus in Moschi Prato § 110 : τί τοίνυν τοῦ τὸν θεὸν ἔχοντος βοηθὸν ἰσχυρώτερον; imo ἰσχυρότερον. Joannes Alex., in Maiano Spicilegio t. 2, p. 592, hæcce citat Aristotelis verba : τὰ νοητὰ καὶ θεῖα, ὡς Ἀριστοτέλης φησὶν, εἰ καὶ φανώτατα (imo φανότατα) ἐστὶ κατὰ τὴν ἑαυτῶν οὐσίαν, ἡμῖν διὰ τὴν ἐπικειμένην τοῦ σώματος ἀχλὺν σκοτεινὰ δοκεῖ καὶ ἀμυδρά. Himerius Orat. 12, 6 : ὦ σαυτοῦ γένους ὄμμα φανώτατον. Imo φανότατον. Rursus Orat. 7, 9 : παντὸς μὲν χρυσοῦ φανώτερος περιλάμπει. Non relinquenda fuit in imo margine bona scriptura φανότερον. Adrianus in Epigrammate Anecd. Oxon. t. 3, p. 354 : Ἴλιον οἰκεῖται κλεινὴ πόλις ἄνδρας ἔχουσα Σοῦ μὲν ἀφανωτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους. Melior est lectio ἀφαυροτέρους Anth. Pal. 9, 387; nec tamen mala altera, modo fiat levis emendatio, ἀφανεστέρους, ab ἄφανος, rariore quidem epitheto quam ἀφανής, sed non respuendo. Conf. pag. 55, n. 2.

(²) Ed., ἦν. P., εἰ. Codex Reiskii, ἢ, soni similitudine confirmante lectionem εἰ.

κρινομένην, οὐκ ἀπεικότως ἡμῖν χαλεπήν τινα δόξαι (1)· ὅ τι γὰρ ἂν πράξειε δῆμος, τυράννῳ δόξαν ἐκείνῳ παρέχει τοῦ φόβῳ πεποιηκέναι. Οὐ μὴν οὕτω πικρῶς τὴν περὶ τὴν κόρην ἠνέγκαμεν αἴτησιν, ὅσον τὴν ἐκ ταύτης ἀθροιζομένην συνήθειαν μειζόνων ἐπιταγμάτων. Ὃν γὰρ ἀλόγως ἡ τύχη βασιλέα χειροτονεῖ, κἂν εὔλογόν τι πράξας ἀνύσῃ τὴν χρείαν, οὐ τὸ τῆς αἰτήσεως εὔλογον, ἀλλὰ τῆς ἐξουσίας τὸν φόβον ἡγεῖται κατωρθωκέναι τὸ προσταχθὲν, τῆς τυραννίδος αὐτὸν οὕτω φρονεῖν ἀπαιτούσης· φοβερὸς γὰρ, οὐ δίκαιος, ἐθέλει δοκεῖν· ὥστε, τῆς παρθένου τυχὼν, ἕτερον ἄν τι προσέταξε μεῖζον, καὶ πάλιν ἄλλο τι χεῖρον, ἡ δὲ πόλις κατὰ μικρὸν (2) ἐγυμνάζετο τὴν ὑπ' ἐκείνῳ δουλείαν. Εἰ δὲ, τὰ πρῶτα διακονεῖν ὑπομείνασα, τὰ δεύτερα περιεῖδε, μᾶλλον ἂν ἐκεῖνον παρώξυνεν ἢ μηδὲν ἐξ ἀρχῆς ὑπουργοῦσα. Τὸ μὲν ὅλως μὴ πρᾶξαι τὸ κελευόμενον ἐλευθέρων ἐστὶν ἀνθρώπων· ἅπαξ δὲ τὸν ἐκείνου ζυγὸν ἐνεγκόντας, εἶτα βούλεσθαι πάλιν ἀναισχυντῆσαι (3), δούλων ἐστὶν ἀντιτεινόντων δεσπότῃ. Ἐκ τούτων ἁπάντων, ἡμῖν τὸ ἐπίταγμα χαλεπὸν ἔδοξεν εἶναι· ἔτι δὲ μᾶλλον ὁ τύραννος βαρύτερον φανῆναι τοῦτο πεποίηκε, πόλεμον, εἰ τὸ προσταχθὲν ὑπερίδοιμεν, ἀπειλήσας· ἐννοίας ἡμῖν ἐντεῦθεν εἰσελθούσης, ὡς, εἰ μετρίαν ἡγεῖτο τὴν αἴτησιν, ἤλπιζε πείθειν, πείσειν δὲ προσδοκῶν, οὐκ ἂν ταύτης ᾤετο δεῖσθαι τῆς ἀπειλῆς. Οὐ τοίνυν μόνον, τὸν πόλεμον ἀπειλήσας τὸ τοῦ πράγματος ἄτοπον ἀπεκάλυψεν, ἀλλὰ καὶ πρὸς ὀργὴν ἡμᾶς ἀνεσόβησεν, ὡς ἀνάνδροις διαλεχθεὶς καὶ πόλεμον ἐκ πρεσβείας μηνυόμενος (4) δεδοικόσι. Τοιούτῳ φρονήματι καὶ θυμῷ τὴν πρεσβείαν ἄπρακτον ἀπεώσασθε, κατὰ νοῦν εἰληφότες ὡς ἡ κόρη διάπειρα τῆς ἡμετέρας ἐκείνῳ γίνεται γνώμης, καὶ ἀγῶνα τοῦτον αὐτῷ κατασκευάζει πρὸς τὴν τῆς δημοκρατίας καθαίρεσιν. Ἡγεῖτο γὰρ ὕβριν αὐτῷ καὶ κίνδυνον φέρειν πόλιν αὐτόνομον ἐφορμοῦσαν (5) τοῖς βασιλείοις καὶ τὴν αὐτοῦ καιροφυλακοῦσαν τυχὴν, κἂν ἐλάχιστον αὐτῷ πτῶμα συμβῇ ῥᾳδίως αἰσθομένην· βραχεῖα δὲ πρόφασις καὶ μικρὸν ἐναντίωμα διαλύει τὰς ἄγαν εὐδαιμονίας, ὅταν ἐκ βιαστῶν πραγμάτων καὶ πλεονεξίας συστῇ (6). Τοιαύταις ἐκεῖνος συνεχό-

(1) Ed. et P., δεῖξαι. Scripsi δόξαι. Cf. p. 200, n. 8.

(2) Ed. et P., καταμικρόν. V. p. 214.

(3) Forsan, ἀναχαιτίσαι, verbum demosthenicum.

(4) Potius μηνυόμενον, vel μηνύων.

(5) Ed. et P., ἐφορμῶσαν. Correxit Jacobs. ad Porson. pag. 529.

(6) Imitatur Demosthenis locum quem apposui p. 30, n. 4, et ex

μενος ἀγωνίαις, ἐπεχείρησεν, οἶμαι, πάροδον εἰς τὴν πόλιν διὰ τῆς κόρης εὑρεῖν. Οὐ μὴν ᾤχετο τῇ πρεσβείᾳ τὸν δῆμον λαβών.

Ἆρά τις καθ' ἡμῶν ἔτι σοι περιλέλειπται (¹) προσβολή, ἢ πάσας ἀπεκρουσάμην;

« Ἔστι » φησὶν, « ἔστιν ἀντιλογία τις ἄμαχος. Αὔθαδες γάρ τι « καὶ τυραννικὸν διεπράξω, μὴ περιμείνας ἐκκλησίαν καὶ δῆμον ἐπιτρέ- « ποντά σοι τὸν φόνον ». Καὶ τί ἂν οἴει τὸν ἄρχοντα τῶν (²) πολεμίων, ἐκκλησιαζόντων ἡμῶν, διαπράξασθαι; ἡσυχίαν ἄγειν, ἢ διακηρῦξαι τοῖς ὑπηκόοις ἐκεχειρίαν; εἶναι γὰρ ἄτοπον ἡμᾶς ἐκκλησιάζειν, αὐτοὺς δὲ πολιορκεῖν. Δεῖ οὖν ἀποθέσθαι τὰ ὅπλα, καὶ μὴ ταράττειν ἀνθρώπους ὑπὲρ σωτηρίας βουλευομένους. Ταῦτ' ἐκεῖνον οἴει ποιεῖν καὶ περιμένειν δημοτικὴν ἐκκλησίαν, τὸν ἐρῶντα, τὸν πολιορκοῦντα, τὸν τύραννον; πάνυ γε, εἰ τὸν παῖδα τὸν σὸν ᾔσθετο ἔχων ἀντεραστήν. Καὶ μὴν παρὰ (³) τοιοῦτον ἐνεδέχετό με καιρὸν τὴν ἀγορὰν περιτρέχοντα συλλέγειν καθ' ἕκαστον ἄνδρα τὸ πλῆθος, ἔπειτα θυραυλεῖν, καὶ συγκαλεῖν οἴκοθεν οὓς, τὴν ἀγορὰν περινοστήσας, οὐχ ἴδον (⁴), καὶ τὰς θύρας ἐξαριθμεῖν, μή τινά που λάθω παραδραμών. Σύ τε τῶν πολεμίων ἡμῖν ὑπῆρχες ἐγγυητής, ὡς ἀνέξονται περιμένειν ῥητόρων φιλονεικίας καὶ δήμου θορύβους, ἔνθα πολλάκις βοᾷ μὲν ἕκαστος, ἀκούει δὲ τῶν λεγομένων οὐδείς (⁵); Εἰ τοσοῦτον (⁶) οἱ δυσμενεῖς ἀνεβάλλοντο χρόνον, περιττὸν ἂν ἐποιούμην ἀναμένων τοῦ δήμου τὴν γνώμην, ἤδη μοι καταφανῆ γενομένην. Τῆς γὰρ ἔξω τροφῆς δῃουμένης, τῆς δὲ ἔνδον ἐπιλειπούσης, ἑώρων μὲν ὡς οὐκ ἔνεστιν ἕτερον τρόπον ἐλευθέρως σωθῆναι τὴν πόλιν ἢ τῷ φόνῳ μου τῆς παιδός· ἀναδυόμενος δὲ καὶ φεύγων τὴν πρᾶξιν, περιῄειν πολυπραγμονῶν ὅ τι ποτὲ τοῖς ἄλλοις ἐδόκει. Ἤσθα-

quo videtur scripsisse πταῖσμα, non πτῶμα.

(¹) P. et B Reiskii, περιείληπται.

(²) B sine τῶν.

(³) B et P, περί. Sensui aptior est præpositio παρὰ, et, quum propter compendia fere similia præpositiones περὶ et παρὰ permutentur, ac totis quoque literis scriptæ, non de correctione dubitandum. Pachymeres Prog. de Venere pag. 558, 5: προσβάλλει τῷ ῥόδῳ, καὶ ταῖς μὲν ἀκάνθαις τὸν ταρσὸν τοῦ ποδὸς παραπείρεται. Receptum ex hoc unico Pachymeris Progymnasmatum loco in Thesaurum Didot. verbum παραπείρω deleatur; nam codex exhibet περιπείρεται.

(⁴) B, οὐ τὴν οἰκίαν περινοστήσας οὐκ ἰδών. P., οὓς τὴν ἀγοράν (et B, ἀγοράν) περ. οὐχ ἰδών. Scribendum fuit ἴδον.

(⁵) Feci interrogationem.

(⁶) Ed., τοσούτου. P, τοσοῦτον.

νόμην οὖν ὡς ἀθύμως ἔχοντες καὶ δυσχερῶς οἱ πολλοὶ, κατὰ συστάσεις γινόμενοι, διεμέμφοντό μοι μιᾶς ἕνεκεν θυγατρὸς, καὶ ταῦτα παίδων ἑτέρων ὄντων μοι, σειομένην ὑπερορῶντι τὴν πόλιν. Οἱ μὲν ἄνδρες ἐν ταύταις με ταῖς διαβολαῖς περιέφερον, αἱ γυναῖκες δέ μου τὴν σύνοικον. Βαρύτατος δέ μοι τῶν λοιδορούντων ὁ τῶν ἀγροίκων ὅμιλος ἦν. Ὅσοι δὲ πολεμίων τὴν ἔφοδον φθάσαντες ἐνταῦθα κατέφυγον, οὗτοι μάλιστά με τῶν ἄλλων ἀπέκναιον, δακτυλοδεικτοῦντες (¹), ἐπιόντες, καταρώμενοι, γύναιον ἕκαστος καὶ παιδίον ἐφελκόμενος, ὄχλον καὶ τοὺς ἐντυγχάνοντας ἐρωτῶν ὅτῳ θρέψειε τρόπῳ, τῶν ἀγρῶν δῃωθέντων, ἑαυτοῦ τὴν σύνοικον, τὰ παιδία· αὐτὸν μὲν γὰρ ἴσως καὶ τὴν γυναῖκα δύνασθαι τῆς χρείας ἧττον ἐσθίειν, ἡλικίαν δὲ παίδων τοῦτο μὴ φέρειν, πυκνοτέρας τε φύσει δεομένων τροφῆς, καὶ τῆς ἐνδείας τὴν πρόφασιν μανθάνειν οὐ δυναμένων. Παραπλήσια δὲ τοῖς ἀγροίκοις αἱ τούτων μοι γυναῖκες ὠνείδιζον· αἱ μὲν αἶγας, αἱ δὲ (²) ὄϊς ἄγουσαί τε καὶ θέουσαι, τῇ μὲν ἐχόμεναι τῶν θρεμμάτων, τῇ δὲ τοὺς χιτωνίσκους ἄχρι γονάτων ἀνέλκουσαι. Οὐκοῦν ἅπερ ἡμῖν ἐπιτρέψαι μόνον τὸν δῆμον ἐβούλου, ταῦτα καὶ δῆμος καὶ γύναια καὶ πλῆθος ἀγροίκων διεκελεύσατο. Ταύτην ἐγὼ μείζονος ἐκκλησίας χειροτονίαν καλῶ, εἴπερ ἅπαντες οὗτοι πλείους τὸν ἀριθμὸν ἢ δῆμος ἐκκλησιάζων. Καὶ, νὴ τοὺς θεοὺς, πολλὴν ὑμῖν εἶχον τῆς ἀθυμίας συγγνώμην, ὡς ἄσπονδον καὶ ἀκήρυκτον ταῖς πολιτείαις ἡ τυραννίς. Τὸν δ' οὕτως ἔχοντα μίσους, εἰ παρειλήφει τὴν πόλιν, ὅπερ ἔπραξεν ἂν, μὴ τῆς παιδὸς ἐσφαγμένης, τί ἂν οἴεσθε δρᾶσαι; τρέποιτο μὲν εἰς ἐκεῖνον, ῥηθήσεται δὲ πρὸς ἀπόδειξιν τοῦ μεγάλων ὑμᾶς δι' ἐμοῦ κακῶν ἀπηλλάχθαι· εἶτα καὶ ἥδιστον ἄκουσμα δυστυχημάτων ἐλπὶς εἰς ἔργον οὐ προελθοῦσα.

(¹) Æschylus Agam. 1504 : δακτυλοδεικτῶν δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων. Ibi plurima congessi. Ibi et videndum Blomfieldii Glossarium. Lucianus Dial. Mer. 6, 4 : εἰ θέλεις ἐν βραχεῖ λέγειν ἁπάσας, ἐνδειξάσας σε τῷ δακτύλῳ. Arsenius Viol. p. 175 : δακτύλῳ δείκνυται, ἐπὶ τῶν ἐπισήμων. Ibi Walz. P. Cornelius Pseudolo Posteriore, 4, 3 : «... les petits enfants, sitôt qu'on m'apperçoit, Me courent dans la rue, et me montrent au doigt ». Cujus forsan meminit Campistron Zelotypo, 2, 2 : Les enfants dans Paris me montreront au doigt ». Naudet. vir. doct., ad Plauti Pseudolum gallice conversum, habet quæ cum fructu legentur, t. 8, p. 483. Addesis et Menagium ad Petrarchæ verba, Sonetto La gola : « per cosa mirabile *s' addita*, Chi vuol far d'Elicona nascer fiume ».

(²) Ed., δ'. P, δέ.

Τὰ βρέφη μὲν ἴσως οὐδὲ σφάττειν ἂν ἠξίουν οἱ δυσμενεῖς, ἀλλὰ τὰ μὲν τείχους(¹) ἐκτὸς ἀποῤῥίψαι, τὰ δὲ εἰς πῦρ ἐμβάλλειν, τὸ δὲ μάχιμον καὶ χεῖρας ἀνταράμενον ἀποσφάξαι, τὴν δὲ λοιπὴν τῆς νεότητος μοῖραν ἀνδραποδίσασθαι. Τούτοις μὲν ἅπασιν οὕτως ἐχρῶντο· τὸ δὲ γῆρας, ὅσον εἰς διακονίαν ἀνόνητον ὁ χρόνος ἐποίησεν, παρεώρων, οὐ τὴν πολιὰν ἐλεοῦντες, ἀλλ' ὅπως τοιούτων γένοιντο θεαταὶ συμφορῶν. Παρθένων δὲ βίαν ὅτι μὴ πάντων προέταξα μέμφεσθε(²), τοῦ πολέμου πρόφασιν ἐσχηκότος ἐρωτικήν. Εἰ δὲ τῶν σωθέντων τινὲς ὑπεξῆλθον(³) τῷ θορύβῳ λαθόντες, ἀλῆται καὶ πτωχοὶ περιῄεσαν, μόλις δὴ πείθοντες οὓς ἂν αἰτήσωσι χορηγεῖν ὡς ἦν ποτὲ καὶ αὐτοῖς εὐδαίμων ὁ βίος. Αὕτη πόλεως ἁλισκομένης εἰκών. Πάντες ὑμεῖς ἐλεύθεροι δι' ἐμέ, ἐξετάσαντες τοίνυν ἀνθ' οἵων ὑμῖν οἷα(⁴) γεγένηται, καὶ παραθέντες τυράννῳ(⁵) δημοκρατίαν, ἀνομίᾳ τε νόμους, πλούτῳ ἔνδειαν, φόβῳ ῥᾳστώνην, ἐλευθερίαν δουλείᾳ, δόξαν αἰσχύνῃ, σωφροσύνην ἀκολασίᾳ, πόλιν ἀνάστατον ἀδεῶς οἰκουμένῃ; Ταῦτα παραβάλλοντες ἀλλήλοις ἕκαστος αὐτὸς αὑτοῦ πυνθανέσθω, εἰ τιμωρήσασθαι δεῖ τὸν τοιαύτας ἀπωσάμενον συμφοράς, ἃς ἐννοήσασα μᾶλλον ἢ παῖς καὶ μάλιστα τῶν παρθένων τὴν βίαν, ἐπειδὴ τὴν τεκοῦσαν εἶδεν ὀδυρομένην, ὅτε πρὸς σφαγὴν οἴκοθεν ἤγετο, παρακαθημένη τε καὶ θωπεύουσα, «Μῆτερ,» ἔφη, «σὺ μὲν ὑπὸ τῶν ὀδυρμῶν συσχεθεῖσα τὸ δέον ἔοικας ἀγνοεῖν· ὁ «δὲ πατὴρ οὐδὲν μὲν ἧττον ἢ σὺ στέργει τὴν παῖδα, γυναικὸς δὲ κουφό- «τερον ἀνὴρ ἀθυμεῖ. Εἴξωμεν οὖν, εἰ δοκεῖ, παραινοῦντι. Πάντως «ἄμεινον ἀμφοτέρων βούλεται, καὶ ἀνὴρ πεφυκὼς καὶ τὴν διάνοιαν οὐ «σφόδρα τῇ λύπῃ δουλώσας. Ὅρα δὲ ὅσα πειθομένη κερδαίνεις· τὸ «πειθαρχεῖν εἰδέναι τῷ συνοικοῦντι, τὸ πατρίδα ῥύσασθαι δι' ἐμὲ κιν- «δυνεύουσαν, τὸ θυγατέρα μὴ συνάψαι δυνάστῃ, φθόνον καὶ μῖσος «ἀδιάλλακτον ἔχοντι πρὸς ἅπασαν πολιτείαν μὲν ἔννομον, μάλιστα δὲ «τὴν αὐτῷ γειτνιῶσαν(⁶). Μήποτ' οὖν ἐγὼ κληθείην ἀνδρὸς γυνή, κη- «δεσταὶ δὲ καὶ ὑμεῖς(⁷)· εἰ δὲ καὶ τέκω, προϊόντος τοῦ χρόνου, μήτηρ

(¹) B, τάχους. Mox Ed., δ'. P, δέ. Et sic mox v. 24.

(²) Ed., μέμφεσθαι. P, μέμφεσθε.

(³) Ed., ἐπεξῆλθον. P, ὑπεξῆλθον.

(⁴) Ed. et P, ἡμῖν. Visum est ὑμῖν convenientius. Formulam ἀνθ' οἵων οἷα illustravi p. 119, n. 3.

(⁵) Fere videtur scribendum fuisse τυραννίδι, quum opponantur statim ἄψυχα nomina nominibus ἀψύχοις.

(⁶) Conf. p. 233, 26.

(⁷) Ed., ἡμεῖς. P, ὑμεῖς. Mox, pro εἰ δέ, videretur aptius esse εἰ γάρ.

« μὲν ἐγὼ δηλαδὴ, πάππος δ' οὑτοσὶ, τηθὴ δὲ σὺ κληθήσῃ τυράννου « γονῆς, ὥστε τὰ ἥδιστα τῶν ὀνομάτων ἡμῖν αἴσχιστα γένηται. Εἶτα « τῇ πόλει τρέφομεν ἕτερον τύραννον, καὶ δουλείαν ἀθάνατον αὐτῇ μη- « χανώμεθα, κληρονόμους χορηγοῦντες τῇ μοναρχίᾳ, παιδὸς ἀεὶ διαδε- « χομένου πατέρα. Εἰ δὲ ταχέως ἐμοῦ λήψοιτο (1) κόρον, καὶ μεστὸς « ὑβρίζων με γένοιτο, καὶ τῶν βασιλείων ἐκβάλλοι, ἀποκρίνας ἑτέραν, « οἷα ποιεῖν εἰώθασι τύραννοι, τοῦτο μὲν παθεῖν ἂν μᾶλλον ἑλοίμην, « ἢ παῖδας ἀνδρὶ δυνάστῃ τεκεῖν · οὐδὲ τοῦτο γυναικὶ φορητόν. Τού- « τοις, ὦ μῆτερ, τοῖς λογισμοῖς δεῖ καρτερεῖν. Τὸ δὲ μέγιστον, πατρὶς « ὑμῖν οὐκ ἔστιν ἑτέρα, ταύτης ἁλούσης · παῖδες δ' ὑμῖν ὑπάρχουσιν « ἕτεροι, τελευτώσης ἐμοῦ ».

Ταῦτα καὶ τὰ παραπλήσια τούτοις εἰποῦσα, ἡ μὲν ἠρέμα τε(2) ὑπεδάκρυε, καὶ μετεστρέφετο, τὴν μητέρα πειρωμένη λαθεῖν · ἡ δὲ μέγα καὶ δεινὸν ἀντεβόησεν, οὐκ ἀντιλέγουσα τοῖς εἰρημένοις, ἐξ αὐτοῦ δὲ τοῦ μηδὲν ἔχειν ἀντειπεῖν πλέον ὀδυνωμένη, συνετῆς οὕτως ἀποστερεῖσθαι παιδὸς μικρὸν ὕστερον μέλλουσα.

Τοιαύτης μοι γέγονε θυγατρὸς ἡ πόλις τιμιωτέρα, καὶ τοὺς ἐπελθόντας ἐχθροὺς ἀπεωσάμην τοῖς ἐμοῖς ἀτυχήμασι.

Μηδεὶς οὖν τῇ κατ' ἐμοῦ ψήφῳ παραμυθείσθω τὸν τύραννον · ὡς, εἰ πύθοιτο τὴν ἐσχάτην ἐμὲ παρ' ὑμῖν ὑποσχεῖν τιμωρίαν (λάλος δὲ κατὰ φύσιν ἡ φήμη), εἶτα καὶ γείτων καὶ πολυπραγμονῶν τὰ τῆς ἡμετέρας(3), εἰ τοίνυν αἴσθοιτο τὰς ἐλάττους εἰληφέναι (4) ψήφους, οὐ μικρὰν ἕξει παραμυθίαν τῆς ἐφ' οἷς ἀπέτυχε λύπης, τοῦ κτείναντος αὐτῷ τὴν ἐρωμένην κατεγνωσμένου. Ἐκεῖνον μὲν οὕτως ψυχαγωγήσετε, τῇ μητρὶ δὲ τῆς κόρης ἕτερα προσθήσετε (5) δακρύα, μᾶλλον δὲ καὶ τὴν τοῦ πένθους ἀφαιρεῖσθε παραψυχὴν, τὸ δοκεῖν (6) ὑπὲρ τῆς πόλεως ἀνῃρῆσθαι;

(1) P, λήψεσθε.

(2) Ed., τ'. P, τε. Detur in transcursu particula τε Pachymeri jam toties vocato ad partes, Progymn. p. 572, 3 : ἡ γὰρ ἐκείνων ἑκάστου κακία ἔσχε μὲν δρᾶσαι καὶ αὐτὴ τὰ προσήκοντα, οὐχ οἷα δὲ ὡς καὶ ἰλιάδα ποιῆσαι κακῶν. Reponas e codice, οὐχ οἷα δὲ ὥστε καὶ ἰλ. Statim mendum est typorum vel calami non negligendum : λέγειν ἐκεῖνος τῶν κακῶν οὐκ ἠπίστατο περιὼν, λήγειν δ' ἀνάγκη τὸν περὶ τούτου λόγον διεξερχόμενον. Reponendum e codice λήγειν ἐκεῖνος...

(3) Ed. et P, τὰ τοῖς ἡμετέροις.

(4) Fortasse εἰληφέναι με.

(5) Ed. et P, προσθήσετε. Codex Reiskii, προσθήσεται.

(6) Ed., τῷ δοκεῖν· P, τὸ δοκεῖν.

Ὑμᾶς μὲν οὖν, ὦ παρόντες, τοιούτοις ἐπισπῶμαι πρὸς ἔλεον δικαιώμασιν, οὐ τὴν τελευτὴν δυσχεραίνων (οὐχ οὕτω φιλοψυχῶς ἔχω), ἀλλὰ τὸ δόξαι (¹) πεποιηκέναι φόνον ἀδίκως, καὶ τοῦτον οἰκείας παιδός.

Τοῖς δὲ θεοῖς καταβαίνων ἤδη προσεύχομαι εὐτυχεστέραν μὲν τῆς ἀπελθούσης εἶναί μοι γονὴν ἐπινεῦσαι, τὰ δ' ἄλλα τοιαύτην (²), καὶ τύραννον μάλιστα μὲν εἰς εὐκοσμίαν καὶ σωφροσύνην μετενεγκεῖν · εἰ δὲ (³) ἀνιάτως ἔχει, πρὸς τὰς τῶν ὑπηκόων παρθένους τὴν ἐκείνου τρέψαι μανίαν.

(¹) Editio, δοκεῖν. P atque codex Reiskii, δόξαι.

(²) Meminit verborum Ajacis Sophoclei ad filium : Ὦ παῖ, γένοιο πατρὸς εὐτυχέστερος, Τὰ δ' ἄλλ' ὅμοιος. Similia contulit eruditissimus tragicorum græcorum interpres Patinus Stud. t. 1, p. 395.

(³) Ed., δ'. P, δέ. Modo P, δ'. In talibus multum casus valet.

ΠΑΤΡΟΚΛΟΥ ΠΡΟΣ ΑΧΙΛΛΕΑ

ΜΕΛΕΤΗ.

῾ΥΠΟΘΕΣΙΣ(1).

Ἀφαιρεθεὶς Ἀχιλλεὺς (2) τῆς Βρισηΐδος, ἐπὶ τῆς οἰκείας διῆγε σκηνῆς ὀργιζόμενος (3). Πρεσβεύεται πρὸς αὐτὸν Ἀγαμέμνων, μετὰ πλείστων τὴν κόρην ἀποδιδοὺς δωρεῶν· καὶ γέγονεν ἄπρακτος αὐτῇ (4) πρεσβείᾳ (5) καὶ Βρισηΐδι καὶ δώροις. Χρόνος ἐν μέσῳ βραχὺς, καὶ προσθήκη ταῖς Ἑλλήνων ἀτυχίαις πολλή. Ἤσθετο Πάτροκλος καὶ συνήλγησε καὶ τὰ μὲν δακρύων, τὰ δὲ (6) νουθετῶν, διαλλάξαι πειρᾶται τὸν Ἀχιλλέα τοῖς Ἕλλησιν (7).

Μελετῶμεν (8) τὸν Πάτροκλον.

(1) Hæc declamatio inter Libanianas locum est sortita, ut videtur quidem, non suum, t. 4, p. 80. Diserte eam tribuit Choricio codex Matritensis apud Yriartem p. 401, reclamante tamen Lascari « idiographa annotatiuncula : τοῦ « Λιβανίου ἐστί », et Yriarte, quem Villoisonus sequitur Diatr. p. 66. Stat autem pro Choricio Maius vir emin. Præfatione Spicilegii t. 5, p. xxviii : « Neque nunc primum « Libanius Choricii spoliis imme- « rito ditatus fuit. Nam et Patrocli « ad Achillem orationem inter Li- « banianas vulgatam codex idem « Matritensis Choricianam facit, « eamque jure postliminii ad Cho- « ricium Yriartius revocat ; quæ « sane in posterum collocanda erit « juxta Phœnicis dictionem quæ « quinta apud nos est »; supra pag. 146. De Yriartæ sententia falsus est Maius qui locum properantioribus raptim percurrebat oculis. Nec monito parui de voluminis loco huic declamationi dando, qui prolixiores orationes continuate lectoribus proponere malui. — Lemmatis illis caret P.

(2) « Sic Bav. et Wolf.; ἀφαιρεθείσης Mor.; ὁ Ἀχ. Aug. » REISK. — P, ἀφαιρεθεὶς Ἀχ.

(3) Sic Aug.; ὠργισμένος Morell. » REISK. — P, ὠργισμένος.

(4) Ed., αὐτῇ πρεσβείᾳ. Mor. in margine : ἴσ. αὐτῷ. Videtur esse πρεσβείᾳ in P, quod recepi. Subauditur σὺν, quod notum.

(5) Ed., τάδε.

(6) Ed., Ἕλλησι. P, Ἕλλησιν.

(7) Vide p. 50, de hac formula.

ΠΡΟΘΕΩΡΙΑ (1).

Πόθεν τοῖς Ἕλλησιν ἤδη συνάχθεται Πάτροκλος, οὔπω τοῦτο παθόντος (2) τοῦ Θετταλοῦ (3); ἄμφω γὰρ συνήθεις καὶ φίλοι· κοινὰ δὲ τὰ φίλων ἡ παροιμία νομοθετεῖ (4). Πόθεν οὖν, πρώην τῆς Ἀχιλλέως ὀργῆς μετασχὼν, οὐ μέχρι τέλους αὐτῷ τὴν κοινωνίαν ἐφύλαξε (5) τοῦ θυμοῦ; ἔλυσεν, οἶμαι, τὴν ἀπορίαν ὁ ποιητὴς, τὸν μὲν ἥμερον ἡμῖν παραδοὺς (6) καὶ πρὸς οἶκτον εὐάγωγον (μειλίχιον (7) γὰρ αὐτὸν ὀνομάζει)· τὸν δὲ τραχύν τε καὶ σοβαρὸν καὶ θυμούμενον (8) ἐν τοῖς ἔπεσι προσειπών. Ἔδει τοίνυν ἐν χρείᾳ φιλανθρωπίας σύμβουλον εἶναι τὸν πρᾶον τοῦ μὴ τοιούτου. Ἐντεῦθεν ὁ μὲν ἐκείνῳ παρίσταται κρήνης δίκην αὐτῷ δάκρυα χέων (9)· ὁ δὲ Πηλέως, ἀλλ' οὐδὲ τὴν (10) πρόφασιν ἔγνω τῶν ὀδυρμῶν. Τοιγαροῦν πυνθάνεται τὴν αἰτίαν (11) αὐτοῦ, καὶ διασύρει

(1) P, ἡ θεωρία.

(2) « Πεπονθότος, Aug. » REISK. — P, παθόντος.

(3) Periphrasis nominis Achillis. Horatius Od. 2, 4, 10 : « Barbaræ postquam cecidere turmæ Thessalo victore ». Ovidius Am. 2, 8, 11 : « Thessalus ancillæ facie Briseidos arsit ». Vide Drelincurtii Achillem Homericum p. 4.

(4) « Τῶν φίλων Aug. ». REISK. — De qua varietate et ipso proverbio egi ad Anecd. Nova p. 266.

(5) « Οὐκ ἐφύλαξε Aug. ». R. — Debuit monere Reiskius de negatione ante μέχρι, num absit ab Augustano.

(6) « Ἀποδούς Aug. ». R.

(7) Non μειλίχιον, sed μείλιχον Il. 19, 300.

(8) Illis ipsis nominibus non est usus Homerus de Achille, cui dicitur νηλεὲς ἦτορ ἔχων, ἄγρια εἰδὼς, χωόμενος κατὰ θυμὸν, ac similia quæ non memini nec quærere est animus.

(9) « Ἐκεῖνα Aug. » R. — Ed., παρίστασθαι. P, παρίσταται. Respicitur initium Iliados 16 : Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο ποιμένι λαῶν, Δάκρυα θερμὰ χέων, ὥστε κρήνη μελάνυδρος.

(10) « Τήν. Sic Bav. Wolf. Aug.; γάρ Mor. » R. — P, τήν. Articulus τὴν nocere videtur Callimacho Anth. 12, 148 : Οἶδ' ὅτι μου πλούτου κενεαὶ χέρες · ἀλλὰ, Μένιππε, Μὴ λέγε, πρὸς Χαρίτων, τοὐμὸν ὄνειρον ἐμοί. Ἀλγέω τὴν, διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούων · Ναὶ, φίλε, τῶν παρὰ σεῦ τοῦτ' ἀνεραστότατον. Varie tentatum fuit τήν. Ipse olim scripsi μήν. Nunc propono legi τιν, eodem sono, pronominis doricam formam qua usus est poeta H. Cer. 25. Struxerunt ἀλγέω cum dativo, vi præpositionis ἐπὶ præsentis vel absentis. Propono etiam : Ἀλγέω, ἣν διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούω. In primo versu reliqui μου, lectionem Vaticanam, pro qua eleganter quidem, sed absque necessitate certatim scribunt μοι editores. Epigramma Gallicis versibus eisque optimis reddidit Dutheil. Præfat. Callim. p. 22.

(11) « Sic Bav. Wolf. Aug.; τὴν deest Mor. » R. — P, τήν. De re ipsa videsis orationem Achillis Il. 16, 2.

τὰ δάκρυα, καὶ κόρης ὀδυρομένης οὐδὲν ἀπεοικέναι φησίν (1). Ὁ μὲν οὖν Ὁμήρου Πάτροκλος βραχέα πρὸς τὸν Φθιώτην (2) ἀφοσιούμενος (3), τοσοῦτον ἐθέλει τὸν ἄνδρα καταπραΰνειν (4), ὅσον ἐκεῖνον αὐτῷ συμμαχεῖν ἐπιτρέψαι τοῖς Ἀχαιοῖς (5) · ὁ δέ γε ἡμέτερος αὐτὸν ἐπιχειρεῖ τῆς σκηνῆς ἐξάγειν τὸν Ἀχιλλέα. Φιλέλλην γάρ τις ἐγὼ, καὶ πέπονθα τὴν ψυχὴν φυγάδας ὁμοῦ καὶ κοπτομένους ἰδὼν (6), καὶ πρὸ τοῦ Πατρόκλου τὴν ἐκείνων ἐδάκρυσα τύχην · τάχα δ' ἂν καὶ ἄλλως ἄμεινον εἴη τὸν Πηλέως ἐπικουρῆσαι προτρέπειν, ὅπως, εἰ μὴ τούτῳ (7) βούλοιτο πειθαρχεῖν, τὴν ἐλάττονα γοῦν σύμμαχίαν τὸν Πάτροκλον ἀπονείμῃ (8) τοῖς Ἕλλησι. Καὶ Δημοσθένης γὰρ (9), Ἀθηναίων συνελθεῖν Ὀλυνθίοις ὀκνούντων, ὅμως διπλῆν ἀποστεῖλαι βοήθειαν ἐνουθέτησε, τὴν μὲν ῥυσομένην τὴν Ὄλυνθον, τὴν δὲ ποιήσουσαν (10) τὴν Φιλίππου κακῶς,

(1) Achilles l. l. : Τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη Νηπίη... Τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.

(2) «Θέτιδος Aug.» R. Philostratus Ep. 11 : ὁ Φθιώτης Ἀχιλλεύς. Ibi poteram secure carere nomine Ἀχιλλεύς.

(3) Scholiastes Aristidis t. 3, p. 605 : ἀφοσιούμενοι] ἀπολογούμενοι καὶ πληροῦντες τὸ δίκαιον. Libanius t. 4, p. 474, 30 : ὁ πατὴρ παρῆλθεν ἀφοσιούμενος καὶ τρόπον τινὰ τιθεὶς ὑπὲρ τοῦ παιδὸς ἱκετηρίαν. Scholiastes ad ἀφοσ. τὸ εἰκὸς πληρῶν.

(4) Ed. et P, πραΰνειν. Recepi καταπραΰνειν ex Aug. Omittunt sæpe librarii compositorum præpositiones. Themistius Orat. 14, p. 223 : προτροπάδην ἐλαύνομεν οἱ τέως καὶ διωκόμενοι· διὰ τάς... « delendum καὶ » editor ait doctissimus, « aut καταδιωκόμενοι scribendum ». Cui posteriori opinioni favet et perpetua præpositionis κατὰ cum conjunctione καὶ permutatio. Sed quum conjunctio, qua carent Pantini et Petavii editiones, casu videatur Harduinianam intravisse, delenda est. Aliter codex Ambrosianus, cujus habeo collatam scripturam : ἐλαυνόμενοι τέως διωκόμενοι. Unde locum sic refingerem : καὶ προτρ. ἐλαυνόμενοι τέως καὶ διωκόμενοι (ni tollendum διωκόμενοι ut scholium participii ἐλαυν.), διὰ τὰς περὶ σοῦ λειπομένας ἡμῖν ἐλπίδας ἑστήκαμεν. Etiam receperim e mea collatione παρὰ σοῦ pro περὶ σοῦ.

(5) « Ut ille Achilles sibi, Patroclo, permitteret adjuvare Achivos in bello ». R.

(6) «ὁρῶν in marg. A.». R.—P, ἰδών. Sic passim variatur in synonymis. Pachymeres Prog. p. 565, 16 : αἵδε μὲν αἱ πατρίδες. Codex, αὗται μ... Rursus pag 580, 11 : βάσιν ὥσπερ εὑρεῖαν. Codex. β. οἷον εὐρ., et sic recte Boivin. Et pag. 589, 14 : ἐνταῦθα συναγομένους. Codex, ἐνταυθοῖ σ. Philostratus extrema Epistola 1 : σαφῶς δὲ ἑρμηνεύσομεν καὶ ἔξω εὐτελείας, ἣν τῶν νοηθέντων τὰ μὲν κοινὰ καινῶς φράσωμεν, τὰ δὲ καινὰ κοινῶς. Codex 2775 : ἑρμηνεύσωμεν... νοημάτων.

(7) « Τοῦτο Wolf. et m. Mor. » R. — P, τούτῳ.

(8) Libanius t. 4, p. 475, 1 : ὅπως μηδεὶς χαλεπήνοι πρὸς τοῦτον. Proposuit Reiskius χαλεπαίνοι, χαλεπῆναι, χαλεπαίνῃ. Est χαλεπαίνῃ in P.

(9) « γοῦν Aug. ». R. — P, γάρ.

(10) « Sic Wolf. Aug. ; ποιοῦσαν Mor.» R. — P, ποιοῦσαν. Visum est ῥυσομένην postulare et futurum

ὅπως αἰσχύνοιτο μᾶλλον ὁ δῆμος εἰ, τῶν πραγμάτων δυοῖν δεομένων, μηδ' ἑτέραν ἐκπέμψει (¹).

Τοιαύτῃ συμβουλεύων ὁ Μενοιτίου μεθόδῳ πιθανὸς πολλαχόθεν ἔσται τῷ νεανίσκῳ, ἐρεθίζων τὴν ῥώμην, ἐπαίρων τὸ φρόνημα, τὴν ἐπιθυμίαν ψυχαγωγῶν, εἰς ἔλεον τὴν ὀργὴν μεταφέρων, αἰδεῖσθαι παρασκευάζων τὴν γνώμην, παροξύνων μὲν ταῖς Ἕκτορος ἀριστείαις (ζηλοτυπεῖ γὰρ ἐκτόπως τὸν ἄνθρωπον), κουφίζων δὲ πολλοῖς ἐγκωμίοις φιλότιμον (²) φύσιν, ἄγων (³) ἐν μνήμῃ τῆς Βρισηΐδος (ἐρωτικὸς γὰρ ὁ ἀνήρ), εἰς οἶκτον δὲ κάμπτων οἷς ὀλοφύρεται τῶν Ἑλλήνων τὰ πάθη, ἐρυθριᾷν δὲ ποιῶν (⁴) οἷς ὀνειδίζει τὴν ἀμετρίαν αὐτῷ τῆς ὀργῆς. Ὃ γὰρ ἂν φθέγξαιτο Πάτροκλος ἐλεύθερον ὑποψίας παρ' Ἀχιλλεῖ, τῆς ἑταιρίας (⁵) οὐδὲν ἐώσης δοκεῖν ὕπουλον ἔχειν. Οὐ μὴν, τῇ φιλίᾳ τὸ πᾶν ἐπιτρέψας, ῥᾳθυμόθερον κυβερνήσει τὸν λογισμόν· οὐ γὰρ τὸν ἐξ οὐρίας που πλέοντα (⁶) τῷ πνεύματι χρὴ παραδοῦναι τοὺς οἴακας· ἀλλὰ δείξει μὲν πάλαι μετεγνωκότα τὸν βασιλέα, διηγήσεται δὲ τὰ συμβάντα τοῖς Ἀχαιοῖς μετὰ (⁷) τὴν Ἀχιλλέως διάστασιν (⁸)· τὰς μὲν ἀτυχίας (⁹) διεξιὼν, εἰ δέ πού τινος (¹⁰) εὐημερίας ἢ νυκτερινῆς εὐπραγίας ἔλαβοντο παρατρέχων, μή πως ἀμβλύνῃ τὴν ἄγουσαν ἐπὶ τὸν οἶκτον παράκλησιν, καὶ δόξης ἐρῶντα στρατιώτην λυπήσῃ, βουλόμενον (¹¹), ἀπόντος αὐτοῦ, μηδὲν ἰσχύειν τὸ στράτευμα.

tempus ποιήσουσαν. Respicitur Demosthenes Ol. 1, § 17 : φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν ὑμῖν · τῷ τε τὰς πόλεις Ὀλυνθίοις σώζειν καὶ τοὺς τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν, καὶ τῷ τὴν ἐκείνου χώραν κακῶς ποιεῖν.... Potuit sophista τὴν Φιλίππου nude dicere locum memoriter innuens, nec est sollicitandus.

(¹) P, ἐκπέμψῃ.

(²) « Τὸν φιλότιμον Bav. » R. — Voluit, puto, scribere τὴν φ., vel caret nomine φύσιν.

(³) « Num φυλάττων »? R.

(⁴) « οἷς... ποιῶν. Sic Aug. Bav. et Wolf. Hæc omnia desunt Mor. » R. — Adsunt in P.

(⁵) « αἰτίας B. » R.—P, ἑταιρίας.

(⁶) Ed., τὸν ἔλεον. P, τὸν λογισμὸν, quod malui. Et, monente Reiskio, in Aug. super πλέοντα, non suo loco, scriptum est, γρ. λογισμόν. De metaphora πλεῖν ἐξ οὐρίας vide p. 85, n. 4.

(⁷) « Post μετὰ delevi μὲν, quod deest Aug. Bav. et Wolf. » R. — P, sine μέν.

(⁸) « Sic Aug. Bav. et Wolf. μετάστασιν Mor. » R. — P, διάστασιν. Adrianus Allatii p. 241 : μετακεχειρισμένη. Leg. διακεχειρισμένη, e codice. Cf. p. 244, 11.

(⁹) « Ἀδυστυχίας Bav.; ἀτυχίας in texto Aug., sed in marg. vulg. est. » R. — Vulgata est δυστυχίας. P, ἀτυχίας quod prætuli.

(¹⁰) « Sic Aug.; που deest Mor. » R. — Deest et P.

(¹¹) Λυπήσει βουλόμενος Bav. » R.

Ἡ ΜΕΛΕΤΗ ΠΑΤΡΟΚΛΟΥ. (1)

Ὤμην μὲν, ὦ (2) Ἀχιλλεῦ, τὰς τῶν ἐμῶν δακρύων πηγὰς ἀποσβέσαι σοι (3) τὴν ὀργήν· δεινὸν γὰρ ἂν εἴη τὸν Ἕκτορα φλέγειν τῶν Ἑλλήνων τὰ σκάφη, καὶ σὲ πρὸς ἐκείνους φλέγεσθαι τῷ θυμῷ (4). Σὺ δέ μου τῆς γνώμης οὕτω διέστηκας, ὥστε καὶ ἀπέσκωψάς μοι τὸν ὀδυρμὸν (5), καὶ παραβάλλεις (6) ἐμοὶ παιδίον κλαυθμυριζόμενον, καὶ, τῶν σκωμμάτων τὸ μέγιστον, θῆλυ παιδίον, ἑπομένην ἐν ὁδῷ τῇ μητρὶ καὶ τῆς ἐσθῆτος ἀντεχομένην (7), ὡς ἀναγκάσαι σχολαίτερον (8) τὴν τεκοῦσαν βαδίζειν, ὅπως αὐτὴν ἀνελομένη κομίσειε (9). Τοιαύτης εἰκόνος ἔτυχον παρὰ σοί (10), δακρύσας ὁμόφυλον στράτευμα συμφοραῖς κεχρημένον, εἰ μὴ διαλλαγείης ἀμάχοις. Πρώην μὲν οὖν Ὀδυσσεὺς ἧκε δεῦρο πρεσβεύων τρίτος αὐτὸς (11), καὶ πολὺς ὑπὲρ Ἀγαμέμνονος ῥέων ὀχετὸς, οὐ τὴν λύπην αὐξήσας ὁ ῥήτωρ (12). Οὐ μὴν ἀλλὰ καὶ τῆς Ὀδυσσέως

(1) Lemma in P : ἡ μελέτη πραγματικὴ, ὅτι τῶν μήπω γεγονότων ἀξίωσις καὶ δοκιμασία.

(2) « Sic Bav. Wolf. Aug.; ὦ deest Mor. » R. — Deest et P. Hæc vocula sæpe periit, sæpe male fuit addita. Vide p. 223, n. 1.

(3) « Σου Bav. » R. — P, σου.

(4) Prava antithesis τοῦ φλέγειν physico sensu et τοῦ φλέγεσθαι figurato in re tam seria ac gravi. Non agnosco Libanium. Id Choricium potius decet. Eadem Racinii ἀπειροκαλία in Neoptolemi oratione : « Brûlé de plus de feux que je n'en allumai ». Cf. p. 152, n. 2.

(5) « μει Bav. » R. — P, μοι. Modo elegi σοι, nunc eligo μοι. — « Τοὺς ὀδυρμοὺς Bavaricus. ». R.— Et sic P.

(6) « Sic B. A. Wolf. *Mecum comparas*. Προβαλλ. Mor. » R. — P, παραβ.

(7) « ἑπόμενον..... ἀντεχόμενον Aug. » R. — Et sic P.

(8) « Sic Aug. Bav. Wolf.; σχολαίαν Mor. » R. — P, σχολαιότερον.

(9) Sic Aug. Bav. et Wolf.; ἀνελομένην Mor. » R. — P, ἀνελομένη κομίσαιεν.

(10) Ed., παρά σοι. P, παρὰ σοί. Et infra sic Ed.; sic P.

(11) Ulysses socios habuit legationis Phœnicem et Ajacem Telamonium. Vide Il. 9.

(12) « Ὃς τὴν σὺ μὴν λύπην Aug.; ὀχετοὰ (sic) Bavar. E varietate lectionis, quæ mirifica hic loci est, colligo legendum esse : ῥέων ᾤχετο, τὴν ἐμὴν λύπην αὐξήσας ». R. — P. consentit cum Ed. Locus videtur corruptus; sed Reiskii conjectura non facit satis. Conjicio : καὶ πολὺς ὑπὲρ τοῦ Ἀγ. ῥέων ᾤχετο, σοῦ τ. λύπην αὐξήσας. Hic Patrocli sententiam claudo. Nam etsi ὁ ῥήτωρ dici possit Ulysses (p. 264), nomen fere videtur e notula marginali irrepsisse, qua glossator indicavit inesse imitationem τοῦ ῥήτορος, videlicet Demosthenis. Insignis enim metaphora πολὺς ῥέων exstat in Demosthenis Ctesiphontea § 45 : Πύθωνι θρασυνομένῳ καὶ πολλῷ

γλώττης (¹) ἀποτυχούσης, καὶ τῆς Αἴαντος συγγενείας (²) καὶ τῆς Φοίνικος πολιᾶς, ἔχω τῆς νουθεσίας ὁδὸν ἄβατον τοῖς εἰρημένοις ἀνδράσιν. Οὐ γὰρ ἐκ τῆς Ἀγαμέμνονος ἀφῖγμαι σκηνῆς, οὔτε πάθους παραινῶ σοι κρατεῖν οὗ μὴ κοινωνὸς ἐγενόμην· ἀλλὰ κέκτημαι τάξιν τὴν ὀρθῶς εἰωθυῖαν τὰ πράγματα κρίνειν, ἥτις οὔτε τοῖς πρέσβεσι τούτοις ὑπῆρχεν, οὔτε σοι προσοῦσα (³) τυγχάνει. Οὔτε γὰρ οἱ νοσοῦντι μὴ συναλγοῦντες ἰάσασθαι δύνανται τὸ λυποῦν οἷς μὴ μέλον αὐτοῖς (⁴)· οὔτε τὴν ἰδίαν ὁ νοσῶν ὀξέως ὁρᾷ θεραπείαν, τυφλωττούσης αὐτῷ τῆς διανοίας. Μόνος ἄρα σύμβουλος ὑπάρχει σαφής, οὗ μήτε τὸν λογισμὸν μέγας ἀμβλύνει θυμός, μήτε ῥᾳθυμεῖν ἐπιτρέπει νόμος φιλίας. Εἰμὶ τοίνυν ἐγώ σοι τοιοῦτος. Καὶ γὰρ ὑβρισμένου (⁵) δεινῶς ἠνιάθην, καὶ μεταστάντι τῶν Ἀχαιῶν ἠκολούθησα, καὶ πρεσβευομένοις (⁶) οὐ διηλλάγην, ἕως ἦσαν (⁷) ἱκανοὶ δυστυχεῖν.

Ἐπεὶ δὲ τὸ δύνασθαι πράττειν κακῶς αὐτοὺς ἀπολέλοιπε, καὶ τοὺς Τρῶας οὐ χωρεῖ τὸ πεδίον καὶ μάταιον μὲν (⁸) ἡ τάφρος ἀνάλωμα, περιττὴ δὲ τὸ (⁹) τεῖχος δαπάνη, καὶ τὴν ἐπὶ τὰς ὁλκάδας ὁδὸν ἀνέῳξε τοῖς ἐναντίοις ὁ πόλεμος, καὶ πυρὸς ἀπειλὴ δηλοῖ τὰ δεινά, καὶ διῆλθε χρόνος ἀρκῶν εἰς κόρον ὀργῆς, εἶξον λοιπόν, Ἀχιλλεῦ, Πατρόκλῳ δακρύοντι καὶ χρόνῳ παραδραμόντι, καὶ βαρβάρων πυρὶ (¹⁰), καὶ μεγίσταις

ῥέοντι καθ' ὑμῶν. Inde Libanius t. 4, p. 277, 14 : Δημοσθένης ὁ πολὺς κατὰ Φιλίππου ῥέων. Joannes Chrys. t. 5, p. 550 : κἂν σφοδρῶς ῥέοντα ἴδωσι τὸν πρότερον ῥήτορα καὶ πάντα ἐπικλύζοντα τῇ γλώττῃ. Seneca extrema Præf. ad Excerpta Controv. L. 4, de Haterio : « multa erant... quæ susciperes, quum torrentis modo *magnus* quidem, sed turbidus flueret ». In quibus agnoscitur Horatius de Lucilio : « Quum flueret lutulentus, erat quod tollere velles ». Idem 1, S. 7, 28, de Persio : « salso multoque fluenti ». Ibi Bentley. Petronius c. 6 : « flumine largo Plenus, Pierio defundes pectore verba ». Ibi Burdelot. Adde Iahnii Symbolas pp. 7, 105.

(¹) « Γλώττης Bav. Wolf.; γλώσσης Aug. » R. — Ed. γνώμης. P, ὀδυσσέως ἀποτυχούσης, omisso medio nomine. Serius altera manus inter versus scripsit γλώττης.

(²) Peleus, pater Achillis, et Telamon, Ajacis pater, fratres erant, Æaci scilicet filius uterque. Conf. p. 148, n. 2.

(³) « Πρέπουσα Aug. » R. — Ed. et P, προσοῦσα.

(⁴) Forsan, οὗ μὴ μέλον αὐτοῖς.

(⁵) Ed., ὑβρισμένῳ. P, ὑβρισμένου.

(⁶) « Sic Aug. Πρεσβευσαμένοις Mor. » R. — P, πρεσβευομένοις.

(⁷) « Sic Aug. et Wolf.; ἦμεν Mor. » R. — P, ἦσαν.

(⁸) « Ἦν Aug. » R. — P, μέν.

(⁹) « Δὲ ἡ περὶ τό Aug. » R. — P, δὲ τὸ, ut Ed.

(¹⁰) P, βαρβάρῳ πυρί. Nec habet

τῶν Ἀχαιῶν συμφοραῖς. Τὸν γὰρ ἐκ τῆς ἡμετέρας ὀργῆς ἄχρι τῆς αὐτῶν πρεσβείας καιρὸν ἀδεέστερον ἐπολέμουν, ἧπερ τὸν ἀφ᾽ οὗ διήμαρτον πρεσβευσάμενοι, τότε μὲν ὑπὸ τῆς ἐλπίδος τῶν σῶν ὡπλισμένοι διαλλαγῶν, νῦν δὲ τῆς ἀθυμίας καταβαλλούσης (¹) αὐτοῖς (²) τὴν ἰσχὺν, καὶ οὐδὲ σμικρὰν ὑποφήναντός (³) σου πειθοῦς προσδοκίαν, ἀλλὰ καὶ προσθήκην ἐπιβαλόντος τῷ μίσει· ὅθεν οὐδὲ τολμῶσι δευτέραν ἐκπέμψαι πρεσβείαν, ἵνα σοι μὴ πλέον ἐκτείνωσι (⁴) τὸν θυμόν· οὕτω πάντα μετέρχονταί σοι θεραπείας τρόπον (⁵).

Ὑπείξωμεν (⁶) οὖν ἅπασι τούτοις, ὅπως καὶ τῷ Μενοιτίῳ τὰς ὑποσχέσεις ἐκτίσωμεν, ἃς, ἐπειδὴ λήθην αὐτῶν εἰληφέναι δοκεῖς (7), ἀναμνῆσαί σε βούλομαι. Ἐτύγχανε μὲν παρὰ σοὶ καταλύων, ὅτε πρὸς τὴν ἐνταῦθα στρατείαν ἡ Ἑλλὰς μετέωρος ἦν· ὡς δὲ καλὴν εὗρεν ὑποδοχὴν καὶ πλείστης ἀπέλαυσε δεξιότητος, καὶ συνήθης λοιπὸν ὑπῆρχεν ὁ ξένος, ὁ μὲν ἀνεδύετο τὸν υἱὸν ὑπερορίῳ πιστεῦσαι πολέμῳ, σὺ δὲ χρησταῖς ἐδελέαζες ἐλπίσι τὸν ἄνθρωπον, παρακαταθήκην ἐπονομάζων ἐμὲ (⁸), καὶ μικροῦ τὸν πόλεμον ἐγγυώμενος κατὰ σκοπὸν ἡμέτερον

καί. Credo librarium voluisse scribere βαρβάρων. Nam in dativo plerumque iota subscripsit, videlicet modo in Πατρόκλῳ, χρόνῳ. Ceterum placere potest epithetum, βαρβάρῳ πυρί.

(¹) « Καταβαλούσης Aug. et Bav.; καταβαλλ. Mor. » R. — Reiskiana καταβαλ. P, καταβαλλ. Hoc malui.

(²) Sic Aug. Bav. et Wolf.; αὐτῆς Mor. » R. — P, αὐτοῖς.

(³) « Ἀποφην. Aug. » R. — P, ὑποφ. et obtulit modo καὶ, quo caret Ed.

(⁴) « Malim ἐντείνωσι aut ἐπιτείνωσι ». REISK. Illud probabile. Emendabo in transcursu Procopium Gazæum Epist. 63 Maianæ : ὁ Στρατήγιος τοῖς λόγοις στρατεύεται κατὰ σοῦ, καὶ πολὺς μὲν ταῖς λοιδορίαις χωρεῖ, μακρὰν δὲ κατακτείνει κατηγορίαν. Legerim, κατεκτείνει.

(⁵) Ed. μετ. θερ. σοι τόπον. P, μετέρχονταί σοι θεραπείας τρόπον; transposito pronomine e correctione.

(⁶) « Sic Bav. et Wolf.; ὑποδείξωμεν, Aug.; ὑπείξομεν Mor. » R. — P, ὑπείξομεν.

(7) Ed., ἐπειδὰν........ δοκεῖς. P habet ἐπειδή. Solœcismum dedit AEliano H. A. 6, 5, vir doctus proponens κἂν scribi pro καὶ in hoc loco : χάριν δὲ ἄρα καὶ δελφῖνες ἀποδοῦναι τῶν ἀνθρώπων ἦσαν δικαιότεροι, καὶ τῷ νόμῳ τῶν Περσῶν... οὐκ ἐνέχονται. Est καὶ *tamen*, *et tamen*.

(⁸) Ed., ὀνομάζων., ἐπονομ. addita quidem præpositione ab altera manu, sed docta nec recente, ex collatione, ut videtur alius exemplaris. Delenda erit per imprudentiam addita præpositio Pachymeri Prog. p. 558, 10 : Πάρεστι δὲ τὸν λόγον ἐξελέγξαι ψευδόμενον. Codex, ἐλέγξαι. Pariter p. 589, 3 : τὴν τομὴν προφθάσας καὶ κατακτὰς τὸν κτενοῦντα, τὸ δρᾶσαι τοῦ προπαθεῖν προτιμήσας. Codex, τοῦ παθεῖν, idque multo melius. Frequenter libra-

φέρεσθαι, ὥστε καὶ τὴν Τροίαν ἡμῖν ὑποτάξαι καὶ χάριτας ἀποδοῦναι τῆς νίκης· τὸ δὲ πέρας τῶν ὑποσχέσεων εἰς αὐτὴν ἄγεις Ὀποῦντά με (1) τῷ πατρὶ, καὶ παραδίδως ὥσπερ ἄλλο τι χρέος, τόκους αὐτῷ προσεκτίνων, τὰ τρόπαια (2), τὴν εὐδοξίαν, τὰ λάφυρα.

Ποῖα δὴ (3) λάφυρα πρὸς Μενοίτιον οἴσομεν, ἐν τῇ σκηνῇ καθήμενοι, καὶ σὺ μὲν ᾄδων πρὸς λύραν, ἐγὼ δὲ ἀκούων (4); πῶς δ' ἂν εἴη τὰς τοῦ πατρὸς ἐντολὰς ἐμὲ διαπράξασθαι; Ὡς γὰρ ἐς Ἴλιον ἀνηγόμην, ἐφόδιά μοι δέδωκε πατρικὰ, νουθετήσας τοιάδε·

« Ὦ παῖ, πλεῖν μὲν (5) ἐμοὶ καὶ πολεμεῖν οὐκ ἐπιτρέπει τὸ γῆρας· « ἀφῃρημένος δὲ ταῦτα τῇ πολιᾷ, βούλομαί σοι νουθεσίαν ὥσπερ τινὰ « παιδαγωγὸν ἐπὶ Τροίαν συνεκπέμψαι (6). Τί οὖν φημί; οὐ πᾶσιν « ἅπαντα διδόασιν οἱ θεοί (7). Τοιγαροῦν ἀνδρίᾳ μὲν Ἀχιλλεὺς φέρει

sii non oblata describimus, sed nova scribimus, synonyma præsertim, et similia vel subsimilia. Pachymeres p. 555, 5 : σκόπει τοὺς καθ' ἑκάστην ἄφρονας, καὶ ὡς ἐν καθαρῷ ἐσόπτρῳ τούτοις ὄψει τὰ τῶν λόγων ἐπαληθίζοντα. Codex, ἐνόπτρῳ. Rursus, p. 568, 4 : Αἴγιναν.... πλησθεῖσαν ἀνδρῶν καλλίστων, εὐνόμων, ἀρηϊκῶν. Codex, ἀρρεϊκῶν, imo ἀρεϊκῶν. Et de oliva et vite p. 574, 2 : παρὰ ταύτας καὶ μόνας τὸ μετοπωρινὸν κάρπιμον δείκνυται, καὶ ἡ βραδυτὴς τοῦ καιροῦ πρὸς τὴν πέπανσιν τὴν εἰς ἄκρον τελεσφόρησιν παρορᾷ. Ultimum verbum sensu caret, quem præbet optimum codicis scriptura παριστᾷ. Velim et pro παρὰ legi περί.

(1) « Sic A. B. W.; ἄγεις deest Mor. » R. — Sic et P, cum scholio : Ὀποῦν, ὄνομα τόπου. Imo Ὀποῦς. Patrocli umbra Achilli visa per insomnium Il. 23, 85 : Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος ἤγαγεν ὑμέτερόνδε. Ibi Schol. : Ὀποῦς, πόλις τῆς Λοκρίδος. Quod ait ἄγεις est intelligendum de ipsis Achillis promissis, qui se reducturum prædicabat in patriam Opuntem Menœtii filium.

(2) « Τὰ τρόπαια Aug. » R. — P et Ed., τὸ τρόπαιον. Illud prætuli, quod plus habere emphaseos videbatur.

(3) « Δὴ Aug. » R. — Sic P, quod prætuli vulgato δέ.

(4) P, δ' ἀκούων. — Legati missi ab Agamemnone ad Achillem Il. 9, 186, Τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ Καλῇ δαιδαλέῃ.... Τῇ ὅγε θυμὸν ἔτερπεν· ἄειδε δ' ἄρα κλέα ἀνδρῶν· Πάτροκλος δέ οἱ οἶος ἐναντίος ἧστο σιωπῇ.

(5) P sine μέν.

(6) « Ἐπὶ τρ. συν. A. et Bav. » R. — Et P sic. Ed. sine ἐπὶ Τροίαν.

(7) Sententia est Homerica Il. 4, 320 : Ἀλλ' οὔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν · Ibi Duportus Gnomologia p. 23, quem vide et p. 187 ad Od. 8, 167 : Οὕτως οὐ πάντεσσι θεὸς χαρίεντα δίδωσιν Ἀνδράσιν. Multus est et Erasmus Adagio « Non omnia possumus omnes » 2, 3, 94. Priorem versum ut oraculum adhibet poeta Anthologiæ 12, 96, Οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται Ὡς « οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν, puerum laudans cætera formosissimum », sed pedibus deformioribus, quem sic solatur : Πλὴν κρηπὶς κρύψει ποδὸς

« τὰ πρῶτα · σὺ δὲ, πρεσβύτερος ὢν, οὐ φαυλοτέραν ἐκ τῆς ἡλικίας τὴν « φρόνησιν ἔχεις (¹). Δότε τοίνυν γενναίας ὑμῶν ἀκοῦσαί μοι (²) « πράξεις τοῖς ἀλλήλων πλεονεκτήμασιν ὁμοῦ κεχρημένοι · ἰσχὺς γὰρ « καὶ σύνεσις ἑκατέρα μὲν μικρὰ πέφυκε πράττειν, ἄμφω δὲ συνελ- « θοῦσαι μεγάλα (³) ».

Τί οὖν ἐροῦμεν ἐκείνῳ, σὲ μὲν εἰσπράττοντι τὴν ὑπόσχεσιν ἣν ἐπηγγείλω, ἐμὲ δὲ τὴν συμβουλὴν ἣν εἰσηγήσατο (⁴) ; Πηλεὺς δὲ ποίων ἀκούσεται λόγων, τὴν παραίνεσιν ἀπαιτῶν, δι' ἧς, ἐνταῦθά σε πέμπων, ἠξίου μὴ νεότητι σαυτὸν ἐκδιδόναι, μηδὲ εἰκῇ δυσκολαίνειν, καὶ λήγειν ἔριδος, οὐ μα Δία τῆς Τρωϊκῆς, ἀλλ' εἴ ποτέ τις πρὸς ἄνδρας οἰκείους σοι γένηται (⁵).

Τοιαύτας ἡμῖν ὑποθήκας παραδόντες ἐξέπεμψαν. Ἆρ' οὖν μετρίαν αἰσχύνην ὀφλήσομεν, ὑπερορῶντες γεγηρακότων ἀνθρώπων καὶ ταῦτα γονέων (⁶), καὶ γνώμας οὕτω λυσιτελεῖς δεδωκότων ;

ἴχνιον, ὦ 'γαθὲ Πύῤῥε, Κάλλεϊ δὲ σφετέρῳ τέρψει ἀγαλλομένον. Est in codice ἀγαλλόμενος, quod servo, scripto δ' οὐ. Κάλλεϊ δ' οὐ σφετέρῳ τέρψει ἀγαλλόμενος, scilicet ποῦς · « pulchritudineque gaudens non sua oblectabit »; vel scripto τέρψει, potius τέρψῃ a τέρψομαι medio : « pulchritudineque non tua gaudens oblectaberis ». Sic τέρψομαι ἰδὼν Theocriti 28, 6. — Statim Ed., ἀνδρείᾳ. P, ἀνδριᾳ.

(¹) P sine τήν. Meminit sophista Nestoris homerici sic Patroclum alloquentis Il. 11, 784 : Σοὶ δ' αὖθ' ὧδ' ἐπέτελλε Μενοίτιος Ἄκτορος υἱός · Τέκνον ἐμὸν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς, Πρεσβύτερος δὲ σύ ἐσσι · βίῃ δ' ὅγε πολλὸν ἀμείνων · Ἀλλ' εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ' ὑποθέσθαι...

(²) P, ἀκοῦσαι, absque pronomine. Malim με. Esse videtur μοι a verbo δότε remotius.

(³) Horatius Od., 3, 4, 65 : « Vis consili expers mole ruit sua ». AEschylus Prom. 1048 : Αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς Αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει.

(⁴) Γρ. ἐποιήσατο in marg. Aug. » R. — Mox Aug. πέμπειν.

(⁵) Meminit Nestor Il. 11, 783 Pelei filium Achillem ad Trojam mittentis pugnaturum, et eum monentis quidem, sed aliter : Πηλεὺς μὲν ᾧ παιδὶ γέρων ἐπέτελλ' Ἀχιλῆϊ, Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

(⁶) Potuisset dicere καὶ τούτων γονέων · apte dixit καὶ ταῦτα et apte dixisset καὶ τοῦτο. Theopompus Athenæi 6, 18 : οὐχ ὅπως ἐξ ἀργυρωμάτων οὐκ ἔχων πίνειν, ἀλλ' οὐδὲ χαλκῶν, ἀλλ' ἐκ κεραμέων, καὶ τοῦτο ἐνιότε κολοβῶν. Sic olim editum fuit et sic fert codex; novæ editiones habent καὶ τούτων, idque recte nec sine auctoritate. Sed cur altera præferenda fuit alteri lectio? Tupius Emend. t. 1, p. 253, Theopompi tangens locum, « καὶ τουτο, leg. τούτων » ait; sed id dictatorie, ut solet. In Thesauro Stephanus olim Athenæum allegans scripsit καὶ τοῦτο. Sed Londinenses editores tacite scripserunt τούτων, quos sequuntur Parisienses hic et alibi securiores.

Καὶ μὴν οὐ μόνος(1) ἐνετέλλετό σοι Πηλεὺς ἥμερον εἶναι καὶ πρᾶον· ἀλλὰ, παιδίον ὢν ἔτι (2), τοῦ Χείρωνος φοιτητὴς, νῦν μὲν στρατιώτης ἐμάνθανες(3) κατὰ θηρίων τὰς μελέτας ποιούμενος(4), νῦν δὲ μηδαμῶς ἀγριαίνειν, ᾄσμασι καὶ χορδαῖς τιθασσεύειν ἐπισταμένης τῆς μουσικῆς(5). Καὶ νὴ τοὺς θεοὺς ἄγαμαί σου τὸν παιδευτὴν, λίαν εὐστόχως εἰκάσαντά σου τὴν φύσιν. Ὁρῶν γάρ σοι(6) θυμοῦ περιουσίαν πολλὴν, ὡς(7) μὴ τοὺς πολεμίους ἀρκέσειν ὅλην εἰς αὐτοὺς δαπανῆσαι (8), ἡγήσατο δεῖν ἁρμονίᾳ κρουμάτων ἀναλῶσαι τὸ λεῖπον, μήποτε λάθῃ (9) πρὸς ὁμοφύλους σοι κενωθέν.

Ἴθι δὴ, νομίσαντες ὑπὸ Πηλέως καὶ Μενοιτίου καὶ Χείρωνος ἐρωτᾶσθαι τὴν πρόφασιν, ἧς ἕνεκα τούτους παρείδομεν (10) συμβουλεύσαντας, κοινῇ τὴν πρὸς ἐκείνους ἀπολογίαν σκεψώμεθα.

(1) « Μόνος A. B. Wolf. » R. — P, μόνον ut et Ed.

(2) « Sic A. B. W.; ὢν deest. Mor. » R. — P, ὤν. In ætatis notatione sæpissime participium reperitur. Choricius p. 8, 3 : μειράκιον ὤν. Aristophanes N. 869 : παιδάριον ὤν. Ibi exempla adposui. Idem Pluto 88 : ἐγὼ γὰρ ὢν μειράκιον. Ibi, quum scholiastes simplex nomen μειράκιον habeat, monet Hemsterhusius excidisse ὢν vel ὄν. Xenophon Anab. 2, 6, 16 : Πρόξενος... εὐθὺς μὲν μειράκιον ὢν ἐπεθύμει γενέσθαι ἀνήρ. Plurima adsunt exempla ex Demosthene, Plutarcho, aliis.

(3) « Post σρατιώτης videtur εἶναι deesse ». R. Quod citra necessitatem conjecisse Reiskium monet Jacobs ad Anth. t. 4, 796. Apte dicitur στρατιώτην τίς τινα διδάσκειν, nec apte minus dicitur τις μανθάνειν στρατιώτης.

(4) Epigramma τῶν ἀδεσπ. 402 : Θήρη μὲν πολέμου μελέτη· θήρη δὲ διδάσκει Κρυπτὸν ἑλεῖν, ἐπιόντα μένειν, φεύγοντα διώκειν. Ibi multa congessit Jacobs. Venationem ferarum laudat Plato Legg. extr. 7, quæ quidem illis unice conveniat ὅσοις ἀνδρείας τῆς θείας ἐπιμελές. Philo V. Mos. 1, § 11 : ποιμενικὴ γὰρ μελέτη καὶ προγύμνασμα βασιλείας... καθάπερ καὶ τοῖς πολεμικοῖς τὰς φύσεις τὰ κυνηγέσια.

(5) Exstat Den Texii viri doct. pulcherrima disputatio De vi musices ad excolendum hominem e sententia Platonis. Cf. p. 147, 7.

(6) P, γάρ σου. Cf. p. 245, n. 5; 250, n. 4.

(7) « F. οὕτω πολλήν ». R. — Ὡς non postulat omnino οὕτως præcedere. Sic suum Latini *ut* ponunt, *ita* non præcedente.

(8) « ἑαυτοὺς δαπανῆται ». R. — P, τῶν πολεμίων (superscripto accusativo ab eadem manu) ἀρκ. ὅλ. εἰς αὐτὴν δαπανῆσαι.

(9) P, λάθοι.

(10) « Παρείδομεν, Sic Bavar.; παρίδομεν Mor. » R. — P, παρείδομεν. Frequens est confusio vocalium ι et ει. Porphyrius Abstin. 1, 56, de ægrotis, qui, morbo ut liberentur, nihil non tolerant, τεμνόμενοι, φοινισσόμενοι, καιόμενοι, πικρὰ φάρμακα πίνοντες, κτλ. Quum sæpissime jungantur de curandis morbis verba τέμνειν καὶ καίειν (quod monstravi ad AEsch. Agam., 824, ad Anecd. N. p. 162; et addesis Rhoer. hic loci, Baguet. ad Dion. Chrys. pag. 73), nihil videtur esse

Ἐροῦμεν νὴ Δία τὴν Ἀγαμέμνονος ὕβριν, τοὺς κήρυκας (1) καὶ τὴν τῆς Βρισηΐδος ἀφαίρεσιν· καλῶς· Ἀγαμέμνων δὲ τὰς (2) ἡμῶν σιωπήσεται λοιδορίας, ἐν αἷς φιλοπότης ἐστὶ καὶ μεστὸς (3) ἀναιδείας, καὶ νοσεῖ δειλίαν ἐσχάτην (4); οὐκ ἔστι· τὰς ἀλλήλων γὰρ ὕβρεις ἄμφω προβάλλεσθε, τὰς ἰδίας κρύπτων ἑκάτερος (5). Οὐκοῦν ἔνιοι μὲν Ἀγαμέμνονος, ἔνιοι δὲ ἴσως ἡμῶν καταγνώσονται.

Ἐγὼ δὲ πῶς (6) ἔχω; καὶ τίνα ψηφίζομαι τρόπον;

Εἰ μὲν τῶν Ἑλλήνων τις ἕτερος τὸν κρατοῦντα προπηλακίσας (7) ἐτύγχανε (τίς δ' ἂν ἐπὶ τοσαύτην ἀνέβη θράσους ὑπερβολήν;), πλὴν εἴ τις ἐτύγχανε προαχθείς, ἐδεῖτο ἂν ἡ παῤῥησία σωφρονισμοῦ, καὶ δικαίως ἂν ἀφῄρειτο (8) τοῦ γέρως. Νῦν δὲ τὴν τιμωρίαν ἔγκλημα τῷ δεδρακότι πεποίηκεν ἡ τοῦ παροινοῦντος ἀνδρία (9), μᾶλλον δὲ τὴν ἀν-

quod lectorem debeat morari. Sed inveni in codice 2083 τινόμενοι pro τεμνόμενοι, quæ scriptura, si, facta permutatione, mutetur in τεινόμενοι, lectio fit non mala, « torti ac cruciati » scilicet παρατεινόμενοι, κατατεινόμενοι. Sed puto rarum esse hoc sensu simplex τείνομαι. Nil igitur mutandum videtur in græcis verbis; sed latina Feliciani interpretatio participii φοινισσόμενοι, « dum cruentamur », mutanda, quum post τεμνόμενοι, « dum secamur », nil lucretur sententia. Melius Fugerollius : «secti, rubefacti ». Agitur enim de cutis rubefactione, de qua monuit Fœsius OEcon. in Φοινιγμός.

(1) Talthybium et Eurybaten præcones, qui, jubente Agamemnone, Briseidem ex tentorio Achillis abduxerunt, Il. 1, 320...

(2) « Sic Aug. et Bav.; καλῶς deest Mor., et dat Ἀγ. δὲ τῆς.; λοιδορίαν B. et Wolf. » R. — P, καλῶς... τὰς... λοιδορίας.

(3) « Sic Aug. et Wolf.; καὶ deest Mor. » R. — P, καί. Evolvebam modo Stephani commentarium in Hippocratis Prognosticon 1, 4, Spicilegii Maiani t. 5, p. 22, ubi : τὸ « πρὸς ἕκαστον νόσημα » εἰ μὲν κατὰ πολλῶν νοσημάτων εἴπωμεν, ἐπὶ διαφόρων λαμβανόμεγ (sic; lego λαμβάνομεν) ἀνθρώπων, ἐπειδὴ πληθυντικὴ ἐστὶν ἡ φωνή· εἰ δὲ ἔστιν ἑνός (f. καθ' ἑνός) ἀνθρώπου, τὸ τῶν νοσημάτων λαμβανόμενον (lego λαμβάνομεν) ἀντὶ τοῦ περὶ αἰτιῶν συμπτωμάτων νοσημάτων· lego περὶ αἰτιῶν καὶ σ. καὶ νοσημ.

(4) Achilles Agamemnoni Il. 1, 149, 225 : ἀναιδείην ἐπιειμένε.... οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων κραδίην δ' ἐλάφοιο....

(5) « Ἄμφω προβάλλοντες Aug. et Wolf.; προβάλλομεν m. Mor.; κρύπτων m. Mor. ἑκάτερος A. B. W. et m. Mor.; ἑκάτεροι text. Mor. » R. — Recepi scripturam P.

(6) « Δὲ καὶ πῶς Aug. » R. — P, δὲ πως. Mox Bav. τρόπων.

(7) « Sic A. B. et W.; προπηλακίσαι Mor. » R. — P, προπηλακίσας. Mox προαχθεὶς videtur carere complemento aliquo, εἰς τοῦτο προαχθεὶς, τοῦτο ποιεῖν προαχθεὶς, alio. Infra p. 253, 6 : οὐ μὴν προήχθη χαρίσασθαι τῷ θυμῷ. Rursus p. 254, 1, ἐπὶ τὸν ὅρκον προήχθη.

(8) « Ἀφῃρεῖτο Aug. » R. — P, ἀφῄρητο. Placet ἀφῃρεῖτο ob ἐδεῖτο.

(9) « Παρόντος ἀνδρεία A. B. et W. » R. — Ed., τοῦ παροινηθέντος

δρίαν αὐτὴν ἡγοῦμαι τῆς ἀτιμίας γενέσθαι σοι πρόφασιν. Ἄλλου (1) μὲν γὰρ ὑπερεφρόνει ἂν ἴσως ὁ βασιλεὺς, οἰόμενος τὰ σκῆπτρα φαυλίζειν, εἰ λήψεται δίκην τῆς λοιδορίας· ἔστι δὲ καὶ (2) τιμωρία τὸν κεχρημένον ὑβρίζουσα, ὅταν ἀμύνηταί τις τὸν ἄγαν ἐλάττονα. Εἰ δὲ σιγῇ τὴν ὕβριν ἤνεγκε, δεδοικέναι ἂν ἔδοξεν· οὐ γὰρ δὴ σοῦ γε καταφρονεῖν ἐνομίζετο. Οὐκ ἀπεικότως ἄρα τὸ σὸν ἀφείλετο γέρας, φοβερὸν ἅπασι τὸ χρῆμα τῆς βασιλείας ἐμφαίνων τῇ κατὰ τοῦ πρώτου τῶν Ἀχαιῶν ἐξουσίᾳ. Πλὴν ἔδει φιλοσοφῆσαι, κατὰ νοῦν εἰληφότα τοὺς ὑπὲρ τῶν Ἑλλήνων σου πόνους. Καὶ ὡς ἐμεμψάμην ἀκρατῶς ἐνεχθέντι (3) δῆλον ἐποίησα, κοινωνήσας σοι (4) τῆς ἀποστάσεως.

Τί οὖν μεταβέβλημαι νῦν, καὶ γέγονα τῆς ἐκείνου μερίδος; Λογίζου τὰ συμβάντα μετὰ τὴν ἐκ τῆς μάχης ἡμῶν ἀπουσίαν ἄχρι τῆς παρούσης ἡμέρας· κἂν εὕρῃς ἐκεῖνον ἢ μήπω κολαζόμενον, ἢ τὴν αὐτὴν κεκτημένον προαίρεσιν, ἢ παραλείψαντά τι τῆς προσηκούσης ἀπολογίας, ἢ τύχης μετέχοντα δεχομένης μείζονα δίκην, τότε με δακρυούσῃ προσείκαζε κόρῃ. Ὡς γὰρ εὐτελὲς καὶ σμικρὸν (5) φανὲν τοῖς πολεμίοις σῶσαι τὴν Τροίαν, καὶ φλόγα φέρειν ἀλλήλοις (6) ἐκέλευον, οὐδὲ ὅσον δρα-

ἀνδρία. P, τοῦ παρόντος ἀνδρεία, et mox ἀνδρείαν, quum sit ἀνδρίαν in Ed. Scripsi παροινοῦντος, quod compendiose scriptum et male lectum peperit παροινηθέντος et παρόντος etiam. Agamemnon est παροινηθεὶς, Achilles de quo agitur παροινῶν. Lectio παρόντος est debilis adeo ut sit absona. Patroclus modo cum justa et honesta libertate est loquutus, et Achillem πεπαρῳνηκέναι nunc dicit libere.

(1) P, ἄλλον. Legitima utraque verbi ὑπερφρονεῖν syntaxis.

(2) « Pone ἔστι addunt A et B δέ· ego verum malim γὰρ addi ». R. — P, δέ. Id recepi, consentientibus libris. In P, ex regione sententiæ adscripsit librarius, ὡραῖον.

(3) « Ἐνεχθέντα Aug. » R. — Sic fines vocabulorum passim vitiantur. Pachymeres Prog. p. 557, 25 : ἐπὶ πολλοῖς καὶ ἄλλοις τῶν ποιητῶν ψευδηγορίας κατέγνωκα, μάλιστα δὲ ἐφ' οἷς περὶ τῆς τοῦ ῥόδου χροιᾶς τερατεύεται. Codex, τερατεύονται. Iterum pag. 572, Paridis libidinem ἰλιάδα ποιῆσαι κακῶν ait, ὥστε καὶ τῷ παντὶ αἰῶνι διὰ τῆς παροιμίας ταύτην συμπαρεκτείνεσθαι. Codex, ταύτης.

(4) P, σου, superscripto σοι eadem manu.

(5) P, μικρόν. Supra fuit σμικρὰν sine varietate.

(6) P, ἀλλήλοις, et in margine γρ. ἀλλήλων. Voluisse puto librarium scribere, γρ. ἀλλήλους. Uterque casus verbo κελεύειν convenit. Respicitur, ni fallor, oratio Hectoris Il. 8, 505 : ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε... Καίωμεν πυρὰ πολλὰ, σέλας δ' εἰς οὐρανὸν ἵκῃ, Μήπως καὶ διὰ νύκτα καρηκομόωντες Ἀχαιοὶ Φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης.

πέτας ἐκπλεῦσαι τοῖς Ἕλλησι καταλιπόντες, συγκαλέσας Ἀγαμέμνων τὸ πλῆθος, εἶτα παρελθὼν εἰς μέσους, τέως μὲν ἔκλαιε (¹) σιωπῇ κύπτων εἰς γῆν (θέαμα πικρὸν, Ἀχιλλεῦ, βασιλεὺς ἐν ὑπηκόοις δακρύων! ἤ που κατέσταζε (²) τῆς ἀλουργίδος καὶ τοῦ σκήπτρου τὰ δάκρυα)· ὀψὲ δ' οὖν ἀνοιμώξας ἀφῆκε φωνὰς ἀθλιωτέρας τῶν ὀδυρμῶν, θρηνῶν μὲν τοὺς ἐῤῥιμμένους, δεδιὼς δὲ καὶ τρέμων ὑπὲρ τῶν ὑπολοίπων, καὶ κατεπείγων εἰς ἀναχώρησιν λίαν ἀπᾴδουσαν (³) ἡγεμόνος συμβούλου, καὶ τῆς ὑπερηφάνου παρασκευῆς (⁴). Καθελκομένου τοίνυν ἤδη τοῦ ναυτικοῦ, ἐπειδὴ τῶν Ἀχιλλέως ὁ Νέστωρ ἐμνήσθη διαλλαγῶν, εὐθὺς ὁ δρασμὸς ὑπεχώρει· τὸν γὰρ Μυκηναῖον εὗρεν ὁ Πύλιος οἴκοθεν ταυτὰ βεβουλευμένον (⁵). Οὔκουν ἐξεπλάγη τῇ νουθεσίᾳ τὴν ἀκοὴν, οὐκ εἰ δέοι (⁶) πειθαρχεῖν ἐλογίσατο· ἀλλ' ὥσπερ αὐτὸς τῷ Νέστορι (⁷) προειπὼν εἰσηγήσασθαι τὴν βουλὴν, ἵνα πιθανωτέρα φανῇ, σοφοῦ παραινοῦντος πρεσβύτου, οὕτω δεδιὼς, τὴν γνώμην ἐπεσφραγίσατο, καὶ τὴν ἑαυτοῦ περὶ (⁸) σὲ παροινίαν ἐπὶ τοῦ συλλόγου μεμψάμενος, οὐ τοῦτο μόνον ᾠήθη πρὸς ἀπολογίαν ἀρκεῖν (⁹)· καὶ ταῦτα τοὺς ὑβρισμένους εἰδὼς μετρίαν πολλάκις θεραπείαν νομίζοντας (¹⁰) τὴν ὁμολογίαν τοῦ πλημμελήσαντος, ἄλλως τε ὅταν σεμνότερος ᾖ τὴν ἀξίαν· μέγιστον δὲ πάντων ἀξιωμάτων ἡγεμονία. Οὐ μὴν ἀπέχρησεν Ἀγαμέμνονι τοῦτόν σε μόνον τιμῆσαι τὸν τρόπον (¹¹)· ἀλλὰ παρὰ (¹²) τὰς σὰς ἐφοίτησε θύρας ὁ

(¹) Il. 9, 9 : Ἀτρείδης δ' ἄχεϊ μεγάλῳ βεβολημένος ἦτορ Φοίτα, κηρύκεσσι λιγυφθόγγοισι κελεύων Κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον... ἂν δ' Ἀγαμέμνων Ἵστατο δακρυχέων, ὥστε κρήνη μελάνυδρος...

(²) « Κατέσταζε Wolf. et textum Bav. Sed in marg. Bav. ἀπέσταζε ». R. — Ed., ἤπου κατέσταξε. P, ἤπου κατέσταζε.

(³) « Sic A. B. W.; λίαν deest Mor. » R. — P, λίαν.

(⁴) « Σκηνῆς παρασκευῆς Mor. Σκηνῆς delevi, quod omittunt A. B. et W. » R. — P sine σκηνῆς.

(⁵) Scripsi ταυτὰ pro ταῦτα. P, συμβουλευόμενον, superscripto βεβουλευμένον, quæ lectio est editionis, ab eadem manu.

(⁶) « Κόρην Wolf. (pro ἀκοήν). οὐδ' εἰ Bav.; οὐκ εἰ Mor. » R. — P, οὐκ. Non displicebat hic dissolutio sententiarum.

(⁷) Τῷ Νέστ. Aug. et Wolf. » R. — P, Τῷ, Ed. sine τῷ.

(⁸) « Ἐπὶ Aug. » R. — Agamemnon oratione conferenda Il. 9, 116 : Ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι.

(⁹) « Ἀρκεῖν A. B. et W. » R. — P, ἀρκεῖν. Ed., ἀρκοῦν.

(¹⁰) « Νομίσαντας Wolf. » R.

(¹¹) «Τοσοῦτόν σε in marg. Augustani; μόνων τ. τῶν τρόπων Bavarici ». R.

(¹²) « Παρὰ] sic Wolf.; περὶ Mor. Sed et καὶ erat addendum ». R. — Et καὶ addidit, quod non habet P, nec est omnino necessa-

βασιλεὺς τῇ πρεσβείᾳ, πόλεις ἑπτά σοι διδοὺς, ἄλλην ἄλλης ἔχουσαν γῆς ἀρετήν· ἡ μὲν ἀγαθὴ σπείρειν ἐστὶν, ἡ δὲ πεφίληται τῷ Διονύσῳ, ἡ δὲ λειμῶσιν ἁβρύνεται, καὶ τῶν ὑπολοίπων ἴδιον ἑκάστη κέκτηται πλεονέκτημα· ποίμνιά τε πρόσεστι καὶ βουκόλια, ψυχαγωγία καὶ κέρδος. Τοσαύτη περιουσία μικρά τις ἐφάνη τῷ δεδωκότι, καὶ προσέθηκε γάμον τε θυγατρὸς, καὶ προῖκα τῆς κόρης ὁλκάδα χρυσοῦ.

Εἰ μὲν οὖν ὀλίγον ἔμελε χρημάτων αὐτῷ, ἴσως ἂν ἔδοξεν (¹) ἀσωτίᾳ φύσεως μᾶλλον ἢ πρὸς ὑμετέραν (²) τιμὴν ἀποστεῖλαι τὰς δωρεάς· ἐπεὶ δὲ φιλοκτεανώτατος (³) πάντων ὁ ανὴρ, κατὰ τὸν σὸν, Ἀχιλλεῦ, λόγον (⁴), παρεῖδεν εὐνοίᾳ τῇ σῇ περιπόθητον κτῆμα, καὶ γέγονέ σοι φιλόδωρος ὁ φιλάργυρος. Οὐ τοίνυν πολλὰ καὶ λαμπρὰ χαριζόμενος Βρισηΐδα τῶν δώρων ὠνεῖται, οὔτε δίδωσι μὲν, δίδωσι δὲ τῆς εὐνῆς ἐπιβὰς (⁵), οὔτε, κοσμίως ἀποδιδοὺς, ἐν ὑπονοίαις δυσχεραίνειν παρῆκεν· ἀλλ' ἀνεῖλε τοῦτο καθάπαξ, ὅρκῳ διαλύσας (⁶) τὴν ὑποψίαν. Τίθει τοί-

rium. P, περί. Malui παρά. Initia περ παρ adeo similia sunt per se ac præcipue si compendiose exarentur, ut sæpissime permutata sint. Themistius Orat. 8, pag. 123, 22 : εἰ μέλλοιμέν τι περαίνειν. Sic editum ex conjectura eaque bona pro pristina lectione παραινεῖν. Inveni quod in posterum rescribatur, τι περανεῖν. Eumathius Hysm. 9, p. 325 : ἐγὼ δὲ τὰ παρὰ τοὺς ἐμοὺς ἀναλογισάμενος πόδας ἔκ τε χειρῶν καὶ χειλέων τῆς ἐμῆς ἐκείνης Ὑσμίνης χαριεντίσματα. Recipiendum περὶ e codice 2897. Cf. p. 234, n. 3.

(¹) « Sic A. B. et W.; ἂν deest Mor. ». R. — P, ἄν. Redundat particula in loco Pachymeris Prog. p. 589, 17 : καλῶς ἂν εἶχεν ἂν θαῤῥοῦσι τοῖς λοιποῖς ἡμῖν σιγᾶν. Codex, καλῶς εἶχον ἄν.... Sufficit scriptum semel ἄν. Bene editor doct. correxit εἶχεν. Sed debuit de correctione monere. Particula illa fere una explebit lacunam in Himerio Or. 28, § 2 : ἡδὺ γὰρ τοῦτο ἑκάστῳ καὶ τίμιον, ἀφ' οὗπερ πρῶτον ἄρχηται, κἂν μικρὸν τὴν φύσιν φαίνηται. E vestigiis literarum in codice divinavi, ἀφ' οὗπερ ἂν τὸ πρῶτον...

(²) Ὑμετέραν pro σὴν Choricium plus sapit quam Libanium. Cf. p. 29, n. 1. Modo Ed. et P, ἀσωτία.

(³) Φιλοκτεανώτατός ἐστι, sic Wolf.; ἐστι deest Mor. » R. — Et meæ deerit. Facile subaudietur. Reiskianam desero. P, φιλοκτεανότατος πάντων.

(⁴) Achilles Agamemnoni Il. 1, 122 : Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων.

(⁵) Sumtum ex ipsa Agamemnonis oratione Il. 9, 131 : μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων Κούρην Βρισῆος, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, οὐδὲ μιγῆναι... Confer et Il. 19, 258. Ibi Agamemnon : Ἴστω νῦν Ζεὺς... Μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι, Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τευ ἄλλου· Ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν...

(⁶) « Δυσχεραίνειν περιεῖδεν ὅρκον διαλύσας Aug. et Wolf. περιεῖδεν etiam dat marg. Mor. » R. — P cum Aug. videtur prius conspiras-

νυν τῆς ἀφαιρέσεως ἣν ἐθέλεις αἰτίαν, εἴτε τὴν πρὸς σὲ γενομένην διαφορὰν, εἴτε τινὰ πρὸς τὸ γύναιον ἔρωτα. Εἰ μὲν γὰρ ἐρασθεὶς ἐκαρτέρησε, τὴν ἰδίαν ([1]), ὡς ἔοικεν, ἡδονὴν δευτέραν τῆς σῆς ἔθετο χάριτος· εἰ δὲ ἀγανακτῶν ἀπέσπα τὴν κόρην, ἐγίνωσκε δηλαδὴ ([2]) πικρότερόν σε λυπήσων τῇ μίξει τῆς ἐρωμένης· ὁ δὲ τὸν ἐχθρὸν ὑποκνίζων τὴν οἰκείαν φιλεῖ θεραπεύειν ὀργήν· οὐ μὴν προήχθη χαρίσασθαι τῷ θυμῷ. Οὐκοῦν φαίνεται πάλιν ἐντεῦθεν τὴν περὶ σὲ θεραπείαν τῆς οἰκείας ([3]) προκρίνων· καὶ τοσούτῳ μᾶλλον ἐντεῦθεν, ὅσῳ πρὸς μεῖζον ἐπάλαισε πάθος· θυμὸς γὰρ ἀκμάζων ἔρωτος μᾶλλον ἐκμαίνει. Καὶ σὺ τούτου τεκμήριον, τῇ πρὸς τὸν Ἀτρέως ὀργῇ Βρισηΐδος ὑπερορῶν.

« Ἀλλ' ὁμιλήσας τῇ κόρῃ » φῂς ([4]), « ὅρκῳ σοφίζεται τὴν ἐγκράτειαν, ἐν χρείᾳ μου γεγονὼς τῆς συμμαχίας ». Οὐδὲν ἄρα σοι κεχαρισμένον ὀκνεῖ ([5]) διαπράξασθαι, κἂν ἐπιορκῆσαι δεήσῃ ([6]). Ὀμνὺς μὲν γὰρ ἀληθῆ, ἀποδίδωσιν ([7]) οἵαν βούλει τὴν κόρην· τῇ δὲ περὶ σὲ κολακείᾳ ([8]) τοὺς ὅρκους ὑπερορῶν, ἐν μείζονι τῶν θεῶν, εἰ θέμις εἰπεῖν, ἄγει ([9]) σε μοίρᾳ. Ἄλλως τε δὲ ([10]) μηδαμόθεν ἐπιορκεῖν ὑποπτεύω τὸν ἄνδρα.

Εἰ μὲν γὰρ σὺ, τοῦτον ὀμνύναι ([11]) προκαλεσάμενος, δῆλον ἐντεῦθεν ἐποίεις ὡς οὐ διαλλαγήσῃ μὴ τελοῦντι τὸν ὅρκον, εἰς ἐπιορκίας ἀνάγκην περιειστήκει· ὁμωμοκὼς δὲ νῦν αὐτεπάγγελτος, οὐδὲν αἰσχρὸν ἑαυτῷ φαίνεται συνειδώς. Μὴ γὰρ ὑπολάβωμεν ὡς ἐκ φαύλου καὶ ἀσελγοῦς

se. Nunc lectionem habet editæ similem e correctione, sed non recente. Habet etiam καταλύσας, superscripto δια e correctione.

([1]) « Ἰδίαν Bav. et Wolf. » R. — P, ἰδίαν. Ed., οἰκείαν. Prætuli ἰδίαν, quod mox οἰκεία bis redibit.

([2]) « Δηλαδὴ A. B. et Wolf. » R. — Ed., δή. P, δηλαδή.

([3]) « Post οἰκείας videtur ὀργῆς deesse ». R.

([4]) Ed. et P, φησίν. « Leg. sine dubio φῂς in sec. persona : *tu*, *Achilles*, *ais* ». R. - Cf. p. 275, n 1.

([5]) « Sic A. B. et W. *veretur*; δοκεῖ Mor. » R. — P, ὀκνεῖ.

([6]) Ed., δεήσει; « δεήσῃ Bav. et Wolf. » R. — P, δεήσῃ. Esset solœcum δεήσει. Pachymeres Prog. p. 568 : τῆς τύχης ἕρμαιον Αἴαντι τὴν τοῦ Ἀχιλλέως μῆνιν λογίζομαι, ὡσὰν ἐπὶ καιροῦ δείξει τὸν ἄνδρα ὁποῖός ἐστι. Codex, ὡς ἂν... δείξῃ.

([7]) « Δίδωσιν A. B. et W. » R. — P, δίδωσιν.

([8]) « Sic A. B. et W.; δὲ μείζονι κολακείᾳ m. Mor.; εὐλαβείᾳ t. Mor. » R. — P et Ed. consentiunt.

([9]) « Ἔχει Aug. » R. — P, ἄγει. In P verba εἰ θ. εἰπ. exciderant e textu, et in margine adscripta sunt ab altera manu.

([10]) Sic P. Ed., καλῶς δέ. Merito displicebat id adverbium.

([11]) Ed., ὀμνύναι. P, ὀμνῦναι, appicto et altero tono.

συνειδότος ἐπὶ τὸν ὅρκον προήχθη. Ἀλλὰ τοιαύτας ὑποψίας γινώσκων ἐρῶντι, Ἀχιλλεῦ, παρεπομένας (1), ἠβουλήθη σε ταύτην (2) ἀποτρίψασθαι τὴν φροντίδα. Χωρὶς δὲ τούτων, πῶς ἂν εἴη (3) μὴ δεδιέναι τοὺς (4) θεοὺς τὸν ἤδη πολλῶν πειραθέντα κακῶν ἐκ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας; ὁ μὲν γὰρ ἀσεβήσας πολλάκις, τιμωρίαν δὲ μηδαμῶς ὑποσχὼν, ἧττον ἂν φυλάξαιτο (5) πλημμελεῖν, ἀγνοίᾳ τῆς ἐκ (6) θεῶν ἐπιούσης τοῖς ἁμαρτάνουσι δίκης. Ὁ δὲ Μυκηναῖος πεῖραν ἔχει διπλῆν ὅπως κινεῖται τὸ θεῖον, εὐλαβείας ἀμελουμένης· πάλαι (7) μὲν ἡνίκα τὴν Ἄρτεμιν φορτικοῖς ἠρέθισε (8) ῥήμασι, τοξικῆς ἀριστείας αὐτῷ κουφιζούσης τὸ φρόνημα· πρώην τε ὅτε τὸν Χρύσην (9) ἀτίμως ἀπέπεμψεν, ἐπιθυμίας ἐρωτικῆς πλανώσης τὸν λογισμόν· ὥστε, δὶς ἤδη πεπαιδευμένος πνεύμασί τε μαχομένοις τῷ στόλῳ καὶ νόσῳ κοινῇ τῶν ἀρχομένων, μεστός ἐστιν εὐλαβείας, καὶ δέδοικε τοὺς κολάσαντας τῇ μνήμῃ τῶν γεγονότων. Ἄνευ δὲ τῶν εἰρημένων, ὁρᾷ δήπου τοὺς Τρῶας ἀνδρίᾳ μὲν, καὶ (10) συνέσει, καὶ ῥώμῃ (11), καὶ πολεμικῶν ἐμπειρίᾳ, καὶ πλήθει στρατεύματος ἐλαττουμένους τῶν Ἀχαιῶν, μόνῃ δὲ τῇ τοῦ Διὸς κρατοῦντας (12) εὐνοίᾳ, κατὰ (13) τὴν σὴν ἱκετείαν (14) ἐπικουροῦντος αὐτοῖς. Πῶς οὖν ὑπερόψεται

(1) Ed., γιν. ἐρ. παρεπ. et sic P.; « γιν. τῷ ἀγιλλεῦ Bav. » R. — Recipiendum nomen Ἀχ. visum est, quo accedit motus orationi.

(2) Ed., ἠβουλήθη καὶ ταύτην. « Recte » ait R., « omittunt codices γε post ἠβουλήθη, quod delevi ». P, ἠβουλ. σε ταύτην. Id recepi, omisso inutili καί. Forma ἠβουλήθη, quæ nondum occurrit, fuit ex hoc loco in aliis etiam posita.

(3) « Οἴει Bav. » R.

(4) « Τοὺς deest A. B. et Wolf. » R. — P sine τούς.

(5) Ed., φυλάξαι τό. Junxi syllabas. E cod. nil enotavi.

(6) « Sic B. W. et m. Mor. πρὸς text. Mor. » R, — P, ἐκ.

(7) Ed., καὶ πάλαι. P, sine καί. « Καὶ recte abest a Bav. » R.

(8) « ἐκίνησε Wolf. » R. — De re Proclus Chrestom. p. 475 : ἠθροισμένου τοῦ στόλου ἐν Αὐλίδι Ἀγαμέμνων, ἐπὶ θήραν βαλὼν ἔλαφον, ὑπερβάλλειν ἔφησε καὶ τὴν Ἄρτεμιν. μηνίσασα δὲ ἡ θεὸς ἐπέσχεν αὐτοὺς τοῦ πλοῦ, χειμῶνας ἐπιπέμπουσα. Vide Rulez. ad Ptol. Hephæstionem p. 112 ; Clavier. Hist. prim. temp. Græciæ t. 1, p. 290. — Pro ἐπὶ θήραν, forsan κατὰ θήραν, παρὰ θ.

(9) « Cum sagittandi præstantia animum ipsi inflaret ; et nuperrime cum Chr. » MOREL. Statim P, ἀπέπεμψε.

(10) Ed., ἀνδρείᾳ καί. P, ἀνδρίᾳ μὲν καί · « ἀνδρία μὲν καὶ Bav. » R.

(11) « Sic A. B. et Wolf. Desunt hæc verba Mor. » R. — Sunt verba καὶ ῥώμῃ in P.

(12) « Sic B. et W. recte ; redit enim ad Troas. Κρατοῦντος Mor. » R. — « Scribe, κρατοῦντας εὐν. · *sola Jovis pollentes benevolentia* ». MOR. — P, κρατοῦντας.

(13) « Μετὰ Aug. ». R.

(14) Achilles Thetidi de Jove Il. 1, 407 : Τῶν νῦν μιν μνήσασα παρέ-

τῶν οὐρανίων, ὧν αἰσθάνεται τὴν ἰσχὺν, τοσαύτας σφάλλουσαν ἀρετάς; ἔδειξε δὲ τοῦ λοιμοῦ παρενοχλοῦντος τοῖς Ἕλλησιν, ὡς ἔμαθεν ὑποστέλλεσθαι τὰ θεῖα καὶ σέβειν. Ἄκουε γὰρ ἡλίκην ἐγκράτειαν ἐπεδείξατο τῷ πρὸς Ἀπόλλωνα φόβῳ. Εἶδεν ἀπιοῦσαν τὴν ἐρωμένην, ἔδωκε προῖκα τὴν κόρην ἣν πολλῶν οὐ πέπρακε λύτρων (1). Εἰ μὲν οὖν ἀνόνητος Ἀγαμέμνονι γέγονεν ἡ πρὸς τὸν Ἀπόλλω τιμὴ, πάλιν ἂν ἴσως ὑπερεφρόνει τῶν Ὀλυμπίων (2)· οὕτω πολλοὶ (3) τιμῶντες τὸ θεῖον, οὐ ταχεῖαν ἐξ ὧν τιμῶσιν ὠφέλειαν αἰσθόμενοι, πρὸς ἀσέβειαν εὐκόλως ὑποσκελίζονται. Ἐπεὶ δὲ ἅμα τε τὴν Χρυσηίδα παρέσχε (4), καὶ τῶν Ἑλλήνων ἡ νόσος ἀπῄει, πόθεν ἐπιορκεῖν ὑποπτεύομεν ἄνδρα παντοδαπὴν εἰληφότα πεῖραν δαιμονίας ῥοπῆς; δύο γὰρ ἀφορμαὶ κινοῦσιν ἀνθρώπους εἰς θεῶν ἐπιμέλειαν, τιμωρίαι (5) τε δυσσεβείας καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί· ὧν ἀμφοτέρων ἐκεῖνος φαίνεται μετασχών.

Καὶ τί δεῖ (6) κύκλῳ περιελθεῖν, ἐξὸν ἐν (7) καὶ ἁπλοῦν φράσαι τεκμήριον.

Πάρεστιν αὐτῆς σοι πυθέσθαι τῆς Βρισηΐδος εἴ πως (8) ἐρῶντος αὐτῆς Ἀγαμέμνονος ᾔσθετο, καὶ βουλομένου πρὸς βίαν αὐτῇ πλησιάσαι· ὡς εἴ τις ἐκείνῃ τοιαύτη γέγονεν αἴσθησις, ἥδιστα ἂν (9) πρὸς τὸν ἐραστὴν διηγήσαιτο, καὶ προσθήσει τι πλέον (10). Κάλλος γὰρ ἅμα καὶ σωφροσύνην (11) αὐτῇ μαρτυρεῖ, καὶ περὶ (12) σὲ βέβαιον εὔνοιαν. Τοσούτων

ζεο, καὶ λάβε γούνων, Αἴ κέν πως ἐθέλησιν ἐπὶ Τρώεσσιν ἀρῆξαι, Τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι Ἀχαιοὺς Κτεινομένους....

(1) Agamemnon Il. 1, 111 : ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα Οὐκ ἔθελον δέξασθαι.

(2) P, ὑπερεφρόνει τῷ Ὀλυμπίῳ, et ad marg. e corr. : περιεφρ. τῶν Ὀλυμπίων.

(3) P, οὕτω πολλοί, et sic ed. Morelli. Reiskiana οὕτω γὰρ πολλοὶ ex Aug.

(4) « Παρεῖχε Bav. et Wolf. » R. — P, παρεῖχε. P statim ἀπείη· « ἀπείη Bav. » R.

(5) Ed., τιμωρία. P, τιμωρίαι.

(6) « Sic A. B. et W. δὴ Mor. » R. — P, δεῖ.

(7) Pro ἓν « εὖ Bav. » R.

(8) « Εἴπως Bav. et Wolf. εἴπου Aug. et m. Mor. » R. — P, εἴπως. Ed. εἴπερ.

(9) Ed., ἥδιστ' ἄν. P, ἥδιστα ἄν.

(10) « Πλέον Bav. et Wolf. ». R. — P, πλέον. Ed., πλεῖον.

(11) «Sic Aug. Wolf. et m. Mor.; καλῶς Bav. Sed dat etiam καὶ σωφρ. Mor. dat καλὴν et omittit καί ». R. — P, καλὴ γὰρ ἅμα καὶ σωφρ. Lectio καλὴ non esset inepta. Morellus edita a se ita explicat : « Si hanc lectionem germanam putas. Verte ; nam et honestam simul continentiam sibi testificatur ac.... »

(12) « Malim πρός ». R. — Sed mox p. 256, 9 : ὁ περὶ ταύτην Ἀγαμέμνονος ἔρως. Cf. p. 29, 9; 253, 14.

δὲ ὅμως ἐφελκομένων, εἰ τοιοῦτον ἐγχείρημα τούτῳ προσάψειεν (1), οὐ μέμφομαι τῆς αὐτῆς ἀντεχομένῳ σοι λύπης.

Καί τοι μέγα καὶ σαφὲς ἔχω σημεῖον ὡς ἀκέραιόν σοι (2) τὴν εὐνὴν διεφύλαττεν. Εἰ μὲν γὰρ ὤφθη ποτὲ τῆς γυναικὸς ἐρασθεὶς, τυχὸν ἴσως (3) ἂν ἦν ὑποπτεύειν ὡς πάλαι μὲν ἐπεθύμει λαβεῖν, ἐκαρτέρει δὲ προσχήματος ἀπορῶν τὸν πόθον (4) αὐτῷ συσκιάζοντος. Ἐπεὶ δὲ τὸν πρὸ τῆς ἔριδος χρόνον ὑπονοίας ἐλευθέριος (5) ἦν, οὐκ οἶδ' ὅπως εὐσχημόνως αὐτῷ τοιαύτην περιθήσω (6) λοιδορίαν. Οὐ γὰρ δὴ Χρυσηΐδος τῷ πατρὶ δεδομένης, ὁ περὶ ταύτην ἔρως εὐθέως (7) καὶ ἀπέστη, καὶ πρὸς τὴν Βρισέως (8) αὐτὸν ἕλκων μετέβη· ἢ τοῦτο βεβούλευτο (9), μετὰ

(1) « Ἀφελκομένου. Aug. » R. — P, ἀφελκομένων. Ed., ἐφελκομένων. — « Quæ sequuntur ita scribuntur in recentiore cod. Reg. : τοσούτων δὲ ὅμως ἀφελκομένων, εἰ τοιοῦτον ἐ.πρ.. *Nihilominus cum tot ac tanta distraherent, si tali facinori attentarit, non reprehendo eodem ac tu mærore detentum* ». MOR. De Briseide capiendum προσάψειεν. « *Si tantum illi facinus tribuerit.* ».

(2) In Epigrammate Stratonis 12. 6; codex exhibere dicitur οὐδ' ἀκαιρ βλέμμα, nec aliter esse vidi in Apographo. Unde Salmasius fecit facillime, et vere puto οὐδ' ἀκέραιον, quod merito recepit Brunck. Permutatio solita vocalium αι et ε et bona sententia dubitandi vix relinquunt locum. Vir d. qui « propius abesse existimabat » ἀκάκητον, hic, quod rarissimum, erravisse crediderim.

(3) « Τυχὸν ἂν ἦν A. B. W. et m. Mor. » R. — P, τυχεῖν. Ed., ἴσως. Utrumque vocabulum τυχὸν ἴσως recipere placuit.

(4) Ed., πόθον. P, πόρον. Quæ varietas videtur orta e lapsu calami; ni male quæsierit librarius doctior lusum antitheseos ἀπορῶν et πόρον, quæ Græcis placuit. Nota dicendi forma, πόρον ἐν ἀπόροις εὑρεῖν, cujus dedi exempla ad Anecd. Nova p. 53. Pachymeres Prog. p. 583, 26 : εἷς πόρος ἐν ἀπόροις καὶ μηχανὴ μία ἐν ἀμηχάνοις ὁ διὰ θαλάσσης πλοῦς. Philo De Abrah. § 40 : πόρος γὰρ καὶ ἐν ἀπόροις, ὅταν δικαίων καὶ φιλανθρώπων ἔργων ἐφίηταί τις, εὑρίσκεται.

(5) « Ἐλευθέριος Bav. et Wolf. et m. Aug. et Mor. » R. — Ed., ἀλλότριος. P, ἐλευθέριος.

(6) « Περιθήσω Wolf. » R. — Et sic P. Id prætuli edito προσθήσω.

(7) « Εὐθὺς Wolf. » R. — P. εὐθέως.

(8) « Sic Wolf. ; τῆς Mor. » R. — « Τῆς Βρισ.] « Fortean leg. πρὸς τὸν τῆς Βρισ., vel πρὸς τὴν τοῦ Βρισ. » MOR. P, τὴν Βρισέως.

(9) « Βεβούλευτο Bav. et W. » R.— Et sic P. Edd., ἐβεβούλευτο. Supra variatur in hoc tempore. Est πεποίητο p. 8, 15, κεκίνητο p. 142, 11 ; et cum augmento περιεκέχυντο p. 10, 7; ἐκέκτητο p. 16, 17. Pachymeres Progymn. ἐγκεκωμίαστο p. 555, 13; κέκρυπτο p. 571, 28. Idem p. 555, 25 : ἐπαινετὸς καὶ Χαιρήμων, καθότι μὴ μόνον στρατηγὸς ἄριστος ἦν, ἀλλὰ καὶ λόγοις ἐκεκόσμητο. Codex cum constantia κεκόσμητο. Præterea exhibet, non editum καθότι, sed οἷς ὅτι. Qua formula usus est rhetor et p. 586,

τὴν ἐκείνης (¹) ἀπόδοσιν, ταύτης ἁλῶναι, ὥσπερ δέον βασιλέα πάντως (²) ἐρᾷν.

Τοσούτων οὖν ἐναργῶς τὸν (³) ὅρκον αὐτῷ βεβαιούντων, καὶ τῶν δώρων προτρεπόντων εἰς εὔνοιαν, καὶ τῶν ἀτυχημάτων ἐπισπωμένων εἰς ἔλεον, δεῖ παθεῖν τι, καὶ σπείσασθαι, καὶ μὴ (⁴) ζητεῖν ὑπερβαίνειν τὴν τιμωρίαν, ἧς ἄχρι τὸ πέρας τῆς λύπης ὑπέσχου τῷ Διῒ παρατείνειν. Ἀναμνήσθητι γὰρ τῆς ἀρᾶς ἣν ἐποιήσω φλεγμαίνων, καὶ ζέουσαν ἔτι πνέων τὴν ὀργήν (⁵). Ἐδεήθης σου τῆς μητρὸς ἱκετεῦσαι τὸν Δία πρὸς τὸ Ἴλιον κλῖναι, καὶ τοσαύτην ἐπὶ τοὺς Τρῶας εὔνοιαν ἄγειν (⁶), ὥστε τὸν πόλεμον ἀπειλεῖν ταῖς ναυσὶν ἐπελθεῖν (⁷). Οὕτω τῆς μητρὸς ἐδεήθης, οὕτω τοῦ κρατοῦντος ἡ Θέτις· οὕτω νικῶσιν οἱ Τρῶες.

Ὑπολάβωμεν οὖν ἐν δικαστηρίῳ συνεστάναι τὸ πρᾶγμα, κρινομένου μὲν Ἀγαμέμνονος, κατηγοροῦντος δὲ σοῦ, δικάζοντος δὲ τοῦ Διὸς, οἷον ἐδέξατο πέρας ὁ τῆς δίκης ἀγών. Ὥρισε ζημίαν (⁸) ὁ δικαστὴς ἣν ὁ διώκων ἐπέταξεν· ἔδωκε τιμωρίαν ὁ φεύγων ὅσην ὁ τοῦ διώκοντος (⁹) θυμὸς (¹⁰) ἐψηφίσατο. Μὴ τοίνυν ἐκτείνῃς αὐτῷ τὴν δυσμένειαν ὑπὲρ τὴν ψῆφον τὴν σὴν, μηδὲ, μείζονος ὀρεγόμενοι δίκης, τὸν Δία

2 : (ὁ πλοῦς) ἤδη ἐξημεροῖ, καὶ τὸ κοινωνικὸν προξενεῖ τοῖς ἀνθρώποις καὶ ἥμερον, καὶ συστατικὸν γίνεται φύσεως, οἷς ὅ τι τὸ ἥμερον αὐτοῖς συνιστᾷ. Junctim scribendum οἷς ὅτι.

(¹) « Ἐκείνης Bav. et Wolf. Βρισέως Aug., sed in marg. ἐκείνης ». R. — P, ἐκείνης. Hoc prætuli edito Χρυσηΐδος, quod nomen glossa videbatur pronominis. Nec est in pronomine obscuritas, modo nominata diserte Chryseide. Jam potuit sibi placere sophista in oppositis ἐκείνης et ταύτης. Cf. p. 265, 4.

(²) « Πάντως margo Mor.; πάντα Aug. » R. — P, πάντας.

(³) « Τῶν Bav. » R. —P, τόν. Permutantur sic sæpe ω et ο. Libanius Epist. 242 : τοὺς Λακεδαιμονίους μεμίμηταί σου τὰ γράμματα· καὶ γὰρ ἐκεῖνοι μετὰ τῶν ἔργων ἧκον εἰς Μαραθῶνα βοηθεῖν ἐγνωκότες· ἔδει δὲ οὐδὲν ἔτι βοηθεῖν. Lego μετὰ τὸ ἔργον. Bene interpres : « re jam confecta ». Lacedæmonii enim, τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο, narrante Platone Menex. § 10, ubi Gottleber.

(⁴) Edd. στήσασθαι τὴν ζημίαν. P, σπείσασθαι, καὶ μή. « Præfero σπείσασθαι καὶ μὴ, sine τὴν ζημίαν, e Bav.; σπειστήσασθαι (sic) Aug.» R. — Parui Reiskio.

(⁵) P sine articulo.

(⁶) Vide versus Homeri citatos p. 254, n. 13.

(⁷) « Sententia postulat ἐᾶν ». R. — Nihil deesse videtur. Potest subaudiri αὐτούς. « Ἀπελθεῖν Wolf. » R.

(⁸) « Sic Aug. Bav. Wolf. et m. Mor.; τιμωρίαν textum Mor. » R. — P, ζημίαν.

(⁹) « Δικάζοντος Aug.; κατηγορου Bav. Wolf. et m. Mor. » R. — P, κατηγόρου.

(¹⁰) « Sic Aug. B. W. et m. Mor.; λόγος textum Mor. » R. — P, θυμός.

κινήσωμεν, μικρὰν ὑποφαίνοντες (¹) τὴν τοῦ θεοῦ δωρεάν. Οὗ γὰρ εἵνεκα ταῦτα τῆς Θέτιδος ἐδεήθης (²), ἵνα μάθῃ δυστυχήσας

« Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν »·

(τούτοις ἐχρήσω πρὸς τὴν μητέρα (³) τοῖς ῥήμασιν)· ἔγνω τὴν ἄτην, ἐδάκρυσε γνοὺς, ἱκέτευσεν, ἀπέδωκεν, ἐδωρήσατο· διήμαρτε, πέπονθε μείζονα.

Ἐπειδὴ γὰρ ἀτυχῶς ἐπρεσβεύσατο, καὶ τῶν ἑαυτοῦ δώρων κατέγνω πικροτέρων φανέντων σοι τῆς ἀτιμίας, καὶ δυσμενέστερος ὤφθη Βρισηΐδα διδοὺς ἢ ἀποστερῶν, ἀπεῖπε πρὸς τοὺς μεθ' ἡμέραν ἀγῶνας, καὶ νυκτερινὸν ἐσκέψατο δόλον, καθεύδειν ὑπὸ τῶν κακῶν (⁴) οὐ δυνάμενος (⁵), καὶ κλέπτειν ἀντὶ τοῦ πολεμεῖν ἠναγκάζετο. Ὁ μὲν δὴ ταῦτα· οἱ βάρβαροι δὲ παρὰ (⁶) τὰς ὁλκάδας σκηνώσαντες, ἐν ᾄσμασιν ἐπαννύχιζον καὶ αὐλοῖς, ὥστε τὸν Ἀτρέως, ὅποι ἂν ἔβλεψε (⁷), δυσχερεῖ θέᾳ περιπεσεῖν, τοῦ μὲν ναυστάθμου τοὺς Ἕλληνας ἔχοντος ἐν ἀθυμίᾳ καὶ σιωπῇ, τοῦ δὲ πεδίου τοὺς Τρῶας ἐπινίκιον ἄγοντας ἑορτήν (⁸). Ὢ νυκτὸς ἐκείνης οὐδὲ τὸν Νέστορα καθεύδειν ἐώσης! ὢ τῆς ἐπιούσης ἡμέρας χαλεπωτέρας τοῖς Ἕλλησιν! οἱ γὰρ ὁπλῖται καὶ τοξόται τῶν Τρώων τραυματίας εἰργάσαντο τῶν Ἀχαιῶν τὰ κεφάλαια (⁹)· καὶ συνέστησαν μάχαι τινὲς Ἀγαμέμνονος τετρωμένου (¹⁰) καὶ Διομήδους (¹¹), βασιλέως

(¹) « Malim ἀποφαίνοντες ». R. — P, μικρόν. Malim σμικρὰν ὑποφ. Quod verbum, si sit sanum, sic intelligo : « subsignificantes parvum et mediocre tibi videri dei donum ».

(²) Exhibeo lectionem codicis P. Edd., οὐχ ἕνεκα τούτου τῆς Θ. ἐδ. — « Οὐ γὰρ εἵνεκα ταῦτα Wolf. et m. Mor.; οὐ γὰρ ταῦτα, sine εἵνεκα, Aug.; οὐ γὰρ εἵνεκα τούτων Bav. » R.

(³) « Ex Achillis Homerici dictis Iliade 1, : ἵνα πάντες ἐπαύρωνται βασιλῆος, Γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε · *Ut rex Atrides noxam et sua crimina norit, Cum sprevit tam præstantem virtute Pelasgis.* Quare hic subjicit : *his matrem tuam verbis affatus es.* Sic enim scripseram. MOR. Locus est Il 1, 411.

(⁴) Edd., δεινῶν. P, κακῶν. « Κακῶν B. A. W. » R.

(⁵) Il. 10, 3 : Ἀλλ' οὐκ Ἀτρείδην Ἀγάμεμνονα, ποιμένα λαῶν, Ὕπνος ἔχε γλυκερὸς, πολλὰ φρεσὶν ὁρμαίνοντα.

(⁶) « Περὶ Bav. » R. — P compendium exhibet quod περὶ significat.

(⁷) « ὅπη ἂν βλέψοι m. Mor. ». R.

(⁸) « Ἄδοντας Aug. Wolf. et m. Mor.; quod si probabitur, omittendum erit ἑορτήν » R. — P, ἄγοντας ἑορτήν.

(⁹) Vide pp. 29, 22; 165, n. 1.

(¹⁰) Vulneratur Agamemnon a Coone Il. 11, 248.

(¹¹) Vulneratur Diomedes a Paride Il. 11, 369.

καὶ στρατιώτου τῇ, σάλπιγγι τὰς τῶν πολεμούντων (¹) ἀκονοῦντος (²) ψυχάς. Τοιαῦται συνέστησαν μάχαι, μηδὲ τῆς Ὀδυσσέως ἀπολαύουσαι παρουσίας (³), ὅπως εὕροι (⁴) τινὰ μηχανὴν ἀναπληροῦσαν τῷ στρατοπέδῳ τὴν τῶν τετρωμένων ἰσχύν. Ὁ μὲν οὖν καιρὸς ἰατρὸν τοῖς νοσοῦσιν ἐκάλει (⁵)· ἡ δὲ τύχη καὶ τοῦτον ἐν χρείᾳ τῆς ἑαυτοῦ κατέστησε τέχνης (⁶). Καὶ τὰ τραύματα μὲν (⁷) ἡσυχίας ἐδεῖτο, ὁ δὲ πόλεμος οὐδὲ νοσεῖν ἐπέτρεπεν, ἀλλὰ μήπω ῥαίσαντας (⁸) ἐξῆγε, καὶ ἀπῄτει βαδίζειν κακῶς (⁹), καὶ σχεδὸν εἴσω βέλους ἑστάναι, καὶ θεωρεῖν (¹⁰) ἐπερειδομένους τοῖς δόρασι.

Μή σοι δοκοῦσιν ἑτέρων (¹¹) ἀτυχημάτων δεῖσθαι πρὸς ἔλεον;

Ἴσως τοίνυν ὅσῳ τὰ συμβάντα δεινότερα δείκνυμι, τοσούτῳ μείζονά σοι δίδωμι (¹²) πρόφασιν εἰς τὴν τοῦ καιροῦ δυσκολίαν τὰς Ἀγαμέμνο-

(¹) « Πολεμίων A. W. et m. Mor. » R. — P, πολεμούντων.

(²) Ed. et P, ἀκονοῦντος. Ed. Reiskii ἀκονῶντος, cum ejus hacce nota : « sic dedi, ab ἀκονᾶν. Ἀκοῦντος Aug.; ἀκονούντων Wolf. et m. Mor.; ἀκονοῦντος text. Mor.» Favet quidem conjecturæ Libanius cujus sunt verba sic edita t. 4, p. 496, 28 : τὰς γλώττας ἀντὶ ξιφῶν ἀκονῶντες. Estque ἀκονᾶν præcipue in usu. Scholiastes tamen Euripidis Phœn. 1380 verbum θήγοντες reddit verbo ἀκονοῦντες. De Diomede tubicine locus est disertus Choricii in Descriptione horologii, ad quem videsis notam p. 154.

(³) « Παρησίας Aug. » R. — P, παρουσίας. Vulneratus enim a Soco Il. 11, 434, Ulysses abstinebat a pugna.

(⁴) « Εὕροι Bav. et Wolf. » R. — P, εὕροι. Ed., εὕρῃ.

(⁵) « *Opportunitas igitur medicum ægris accersebat* ». MOR.

(⁶) Græcorum medicus ipse, Machaon, vulneratus fuit a Paride Il. 11, 505... Eurypylus Il. 11, 832 : Ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων, Τὸν μὲν ἐν κλισίῃσιν ὀΐομαι ἕλκος ἔχοντα, Χρηΐζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος Κεῖσθαι.

(⁷) « Πράγματα m. Mor.; μὲν A. B. et Wolf. » R. — P, τραύματα μέν. Ed. sine μέν.

(⁸) Ed., μήπω δράσαντας. « Num ἀριστήσαντας? γρ. δραπετεύσαντας. ἴσ. μήπω ῥαίσαντας ». R. — « Legitur in Reg. mnsc. recent. ἀλλὰ μήπω τι δράσ. MOREL. — Hunc manuscr. codicem recentiorem fere puto esse illum quo utor, qui quidem exhibet τὶ δράσαντας, sed τὶ inter versus et e correctione ab altera manu. Sumsi Reiskii conjecturam ῥαίσαντας. Saltem legendum μήπω τι δράσοντας.

(⁹) « Post κακῶς videtur ἑστῶτας [deesse], male, h. e. ægre, stantes ». R. — Nihil deesse videtur.

(¹⁰) « Hic videtur aliquid deesse ». R. — Homerus Il. 14, 38 : Τῷ ῥ' οἵγ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο, Ἔγχει ἐρειδόμενοι, κίον ἀθρόοι· ἄχνυτο δέ σφιν Θυμὸς ἐνὶ στήθεσσιν. Potest tamen θεωρεῖν nude poni.

(¹¹) « Κακῶς τοῖς δόρασι δοκοῦσιν ἑτέρων, cæteris omissis. Bav. » R. — Reiskius dedit e sua conjectura; δόρασιν. ἢ σοι δ. ἑτ. Est μὴ in Morelliana et P, idque cur Reiskio displicuerit non intelligo.

(¹²) « Sic A. B. et W.; σοι deest Mor. » R. — « Seribendum μείζ.

νος δωρεὰς ἀναφέρειν, ἵνα θηρεύσῃς ἐντεῦθεν τὸ μὴ δεῖν αὐτῷ βοηθεῖν, ὡς οὐ γνώμης ἐπιεικείᾳ, τῇ δὲ βίᾳ τῆς τύχης φιλοδώρῳ φανέντι.

Ταύτην Ἀπόλλων τὴν πρόφασιν ἔχων (1) ἐγκαλεῖν Ἀγαμέμνονι (κατόπιν γὰρ ἐσωφρόνησε τοῦ λοιμοῦ), καὶ τὴν εἰς ἑαυτόν (2) τε καὶ τὸν ἱερέα (3) τιμὴν εἰδὼς ἀνατρέχουσαν εἰς τὴν ἀνάγκην τῆς συμφορᾶς, οὐκ εἰς τὴν ἐκείνου προαίρεσιν, ὅμως ἔλυσε τὴν ὀργὴν ὁ θεός, καὶ συνέγνω τῷ βραδέως αὐτῇ τῇ νόσῳ μαθόντι (4) τὸ δέον. Εἶδεν (5) εὐμενῶς ἀμέλει τὰ δῶρα, οὐ κατάλογον πόλεων καὶ ναῦν χρυσίου γέμουσαν ὅλην, ἀλλ' εὐχὰς καὶ ἱερεῖα καὶ ὕμνους. Σὺ δὲ μὴ μόνον θυμούμενον τὸν Ἀπόλλω ζηλώσῃς (6), ἀλλὰ καὶ σπενδόμενον Ἀγαμέμνονι, μηδὲ, τοῦ Χρύσου τὰς κατὰ τῶν Ἑλλήνων ἀρὰς μιμησάμενος, τὰς ὑπὲρ τούτων ἐκείνου παραλίπῃς εὐχάς (7). Ὡς γὰρ ᾤχετο φέρων αὐτῷ τὸ θυγάτριον Ὀδυσσεὺς (8), ὁ μὲν ᾔτησε τὸν Λητοῦς ἡμῖν συναλγῆσαι (9), ὁ βάρβαρος γέρων τοῖς Ἕλλησιν· ὁ δὲ πάλιν ἐπένευσεν αἰτοῦντι τὴν χάριν (10). Ἀνήγετο οὖν (11) ὁ Λαέρτου καλλιερήσας, καὶ πρὶν ἀφῖχθαι πρὸς (12) τὰ

δίδωμί σοι ». MOREL. P consentit cum Reiskiana.

(1) P, ἔχων τὴν πρόφασιν.

(2) Ed., αὐτόν. P, ἑαυτόν.

(3) « Καὶ εἰς αὐτόν γε τὴν εἰς τὸν ἱερέα. Aug. » R.

(4) « Τοῦ βραδέος αὐτῷ τὴν ἴσω μ. Aug. » R. — Agamemnon παθὼν ἀνεδιδάσκετο, ut Philonis utar verbis V. Mosis 1, § 18, νηπίων παίδων τρόπον, μὴ καταφρονεῖν. Quod dixit Philo memor Hesiodi Opp. 216 : παθὼν δέ τε νήπιος ἔγνω. Plato Sy. p. 73 : ἀπὸ τῶν ἡμετέρων παθημάτων γνόντα εὐλαβηθῆναι, καὶ μὴ, κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον παθόντα γνῶναι. « Respicit », ait Reynd., « Plato Homerum : Πρίν τι κακὸν παθέειν, ῥεχθὲν δέ τε νήπιος ἔγνω ». Respicit potius Hesiodi versum. Vide Astium ad Platonem, p. 294. Apollonius Dionysio ap. Stobæum Tit. 58, § 12 : καλὸν, πρὶν παθεῖν, διδαχθῆναι πηλίκον ἐστὶν ἡσυχία, Quæ verba recepta sunt inter Tyanenis Epistolas Ep. 92. Plurima apposui ad Æneæ Gazæi Dialogum p. 249, n. 359.

(5) « Οἶδεν Bav. » R.

(6) « Ζητήσῃς Bav. » R.

(7) Chrysæ preces ad Apollinem pro Græcis vide in Il. 1, 451.

(8) P, ὁ Ὀδ., addito articulo e correctione.

(9) Edit., συναλλαγῆσαι. « Aut cum codd. A. et W. leg. συναλγῆσαι, aut potius συναλλαγῆναι. » R. — Et P, συναλγῆσαι. Quod recepi, etsi in verbis Homerici sacerdotis nil sit quod hanc sententiam juvet. Erit συναλγῆσαι vernacule verbo *compatir* intelligendum. Conjecturæ συναλλαγῆναι favet quod mox dicetur, διαλλαγῆναι θεόν.

(10) Homerus Il. 1, 457 : Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.

(11) « Γοῦν A. et B. » R. — P, γοῦν.

(12) « Πρὸς A. B. W. et m. Mor. » R. — P, πρός. Ed. εἰς. Recepi πρὸς ob consensum librorum. Homerus Il. 1, 478 : Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν, Τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων...

στρατόπεδον, ᾔσθετο τῆς Ἀπόλλωνος εὐμενείας ἀσφαλείᾳ καὶ δρόμῳ τοῦ πλοῦ (¹). Οὕτω πρὸς οἶκτον ὤφθη ταχὺς ὁ θεὸς αὐτός τε καὶ ὁ θεράπων αὐτοῦ, καὶ ταῦτα τοῦ Μυκηναίου τὴν κόρην γυμνὴν ἀποστείλαντος δώρων, καὶ μηδαμῶς πεπεικότος ὅρκῳ τὸν Χρύσην

« Μήποτε (²) τῆς εὐνῆς ἐπιβῆναι, μηδὲ μιγῆναι ».

Οὐκοῦν ὑπέρογκόν ἐστι καὶ σοβαρὸν ἐπ' ἐλάττονος μὲν θεραπείας διαλλαγῆναι θεὸν, ἄνδρα δὲ μειζόνων τετυχηκότα τιμῶν μὴ ζηλῶσαι τὸν κρείττονα (³).

Καὶ ταῦτα μὲν ἔφην, ὑποθέμενος τὸν Ἀτρέως ὕστερον μετεγνωκότα (⁴) τῶν ἐν τῷ πολέμῳ κακῶν οἷς, διαστάντος σου, περιπέπτωκεν· ἀκριβεῖ δὲ λόγῳ φανήσεται προλαβὼν μετανοίᾳ τὴν ἀτυχίαν (⁵). Οὐ γὰρ ἂν τῇ Βρισέως ἐφυλάξατο συνελθεῖν, εἰ μὴ παραχρῆμα μετάμελος εἰσῆλθεν αὐτῷ (⁶), καὶ κατέγνω τῶν πεπραγμένων· ἀλλ', ὡς ἔοικε, χρόνον ἀνέμενεν (⁷) ἀρκοῦντά σοι (⁸) τὸ τραχὺ τοῦτο μαλάξαι. Τὴν γὰρ ὑπὲρ τοιούτων ἐγκλημάτων ὀργὴν, ἃ δι' ἀφαίρεσιν γίνεται κτήματος ἀναδοθῆναι δυναμένου (⁹), ῥᾳδίως παύεσθαι χρὴ, τῆς ἀποδόσεως εἰς πέρας ἰούσης (¹⁰). Ἤδη δὲ καὶ πατὴρ πρὸς φονέα παιδὸς χαλεπαίνων ἐπαύσατο μακρῷ τε χρόνῳ καὶ (¹¹) δώροις. Οὕτω καὶ τῆς ἐσχάτης εἰσὶ δυσμενείας συνθῆκαι, καὶ λύεται μῖσος ἀπόδοσιν οὐκ ἔχον. Πρὸς ταῦτα

(¹) « Πλοίου Wolf. » R. — P, πλοίου. Id quidem δρόμῳ melius, ἀσφαλείᾳ minus convenit; πλοῦ utrique bene.

(²) Quod de Briseide jurabat Agamemnon Il. 9, 133. Vide p. 252, n. 5.

(³) « Post ὑπέρογκον delevi μὲν, quod abest a codd. » R. — Abest et a P. Malim, οὔκουν.., κρείττονα;

(⁴) « Κατεγνωκότα Aug. » R. — Syntaxis edita, μετεγνωκότα τῶν κακῶν, non caret quidem offensione; sed potius jungendum ὕστερον τῶν κακῶν.

(⁵) « Sic A. B. W. et margo Morelli; τῆς ἀτυχίας Morellus. Fort. etiam legendum τὰς ατυχίας in plurali. » R. — P, τὴν ἀτυχίαν.

(⁶) Ed., εἰσῆλθεν αὐτόν. « Εἰσ. αὐτῷ A. B. et m. Mor. » R. — P, εἰσ. αὐτῷ. Supra p. 145, 4 : δρόμος ἐπῆλθέ μοι. Et p. 148, 3 : ταύτην οὐκ ἐπῆλθε μαθεῖν, οὐκ ἐμοὶ, οὐκ Ὀδυσσεῖ. In talibus uterque casus reperitur.

(⁷) « Ἀνέμενεν Bav. et Wolf. » R. — P, ἀνέμενεν. Ed., ἀνέμεινεν.

(⁸) « Ἀρκ. σοι A. B. et m. Mor.» R. — Ed. et P, ἀρκ. σου.

(⁹) « Ἀναδιδόναι Bav.; δυναμένη Aug. » R. — P, ἀναδοθῆναι δυναμένου.

(¹⁰) Ed., ἰούσης. « ἐλθούσης B et W. » R. — Et sic P.

(¹¹) « Τῷ Aug.; τε καὶ Bav. » R.

καὶ (1) Μενέλεως ἀφορῶν ἐπαύσατο ἂν (2) Ἀλεξάνδρῳ μνησικακῶν, εἰ τὴν Ἑλένην ἔτυχε κομισάμενος, καὶ συνήρεσκε πᾶσιν ἡ γνώμη. Γενομένου γὰρ ἡμῖν τοῦ πρὸς τὴν Τροίαν κατάπλου, κοινὸν ἐνίκησε δόγμα πρεσβείᾳ πρότερον χρήσασθαι, καὶ ταύτῃ (3) διάπειραν Ἀλεξάνδρου λαβεῖν. Κατένευες οὐδενὸς ἧττον ἐν (4) τοῖς δεδογμένοις· οὐχ ὑπέλαβες τότε μηδαμῶς ἀρκέσειν ἀνδρὶ γυναικὸς ἐστερημένῳ τὴν ταύτης ἀπόδοσιν. Ἧκεν οὖν ὁ τῆς Ἑλένης ἀνὴρ εἰς τοὺς Τρῶας, οὐδὲν ὧν ἀφῄρητο πλέον αἰτήσων, ἄνθρωπος πλεῖστα μὲν ἀγαθὰ τὸν Ἀλέξανδρον εἰργασμένος, ἀναπετάσας τε (5) τὴν οἰκίαν αὐτῷ (6), καὶ μεταδοὺς (7) εὐνοίας τοσαύτης ὥστε σύνοικον εὐπρεπῆ καὶ θυγάτριον εἰς ὄψιν ἀγαγεῖν τοῦ ξένου· πλεῖστα δὲ δεινὰ πεπονθώς, τὴν τῆς γυναικὸς ἁρπαγήν, τὴν ὑπὲρ τοῦ στόλου δαπάνην, τὸ μῆκος τοῦ πλοῦ, τὴν πλάνην, τὸν κίνδυνον, πανταχόθεν δὲ πρὸς τὴν τοῦ πολέμου νίκην εὔελπις ὤν, οἷα πολλὴν ἀγείρας παρασκευήν, καὶ σφριγῶσαν εὐεξίαν σωμάτων, καὶ μεγίστην ἔχων ἐπικουρίαν τὸ δικαίως ἐπιστρατεῦσαι· τοσούτοις ὠθούμενος λογισμοῖς ἀμύνασθαι τὸν Ἀλέξανδρον, οὐ περαιτέρω προῄει τοῦ τὴν Ἑλένην ἀπολαβεῖν (8).

(1) « Ταῦτα καὶ A. B. et W. » R. — P, καί. Ed. sine καί. Nocet καὶ Pachymeri Progymn. p. 564, 26 : ποῦ δίκαιον ἀξιοῦν τὸ καλὸν περιστέλλειν ἐν τῷ σιγᾷν καὶ ὡσανεὶ οὐκ ἦν ὅλως ἡγεῖσθαι καὶ πολλοῦ τινος ἄξιον. Est ὡς ἂν εἰ... ἡγ. τὸ π. in codice. Statim pag. 565, 1 : τὴν Αἴγιναν νῆσον εὔανδρον καὶ μᾶλλον... Codex, ἢ μᾶλλον.

(2) « Ἂν A. B. et W. » R. — P, ἄν. Ed. sine ἄν.

(3) « Verba πρότ. χρήσ. addita e correctione inter versus in P. — « τὸ ταύτῃ Wolf. » R.

(4) Καί κατένευες Aug.; οὐδὲν ἧττον ἐν Bav. » R. — P, sine καί. P, ἐν. Ed. sine ἐν.

(5) « Sic Wolf.; δὲ Mor. » R. — P, τε.

(6) Menelaus legatus ad Trojanos missus, apud Libanium t. 4, p. 5 : ἐμαυτῷ προσήκειν ἡγούμενος τῷ Ξενίῳ Διὶ πάντα ὑπηρετεῖν, ἀνέῳξά τε τὴν οἰκίαν καὶ εἰσήγαγον ἀσμένος ἐπὶ παῖδά τε καὶ εἰς γυναῖκα, τὰ τιμιώτατα. Codex, 3017 : τῷ ξένῳ π... ἐπὶ παῖδα καὶ γυναῖκα καὶ τὰ τ.

(7) « Μεταδιδοὺς Bav. » R. — P, μεταδούς. Sed habuit primum μεταδιδούς. Nunc δι est deletum.

(8) De Menelai ad Trojam profectione Helenam sibi reddi postulaturi loquitur Priami filius Antenor, directa ad Helenam oratione Il. 3, 205 : Ἤδη γὰρ καὶ δεῦρό ποτ' ἤλυθε δῖος Ὀδυσσεύς, Σεῦ ἕνεκ' ἀγγελίης, σὺν ἀρηϊφίλῳ Μενελάῳ. Τοὺς δ' ἐγὼ ἐξείνισσα.... Orationem Menelai argumentum declamationis fecit Libanius, unde verba descripsi paucula nota præcedente; cui Manuel Palæologus opposuit Antenorem, declamatione cujus vulgavi exordium inter anecdota Græca t. 1, p. 308. De re consule Clavier. Historia prim. temp. Græciæ t. 2 pag. 252; Daceriam ad Dict. Cret. 1, 4, et ibi præcipue Dederichium.

Βούλομαι τοίνυν, εἰ δίδως ([1]), Βρισηΐδι τὴν Ἑλένην παραβαλεῖν καὶ τὸ μέσον ὑπάρχον σκοπῆσαι. Βάρβαρος αὕτη καὶ δοριάλωτος ([2]), ἡ δὲ τὴν τύχην ἐλευθέρα καὶ Λάκαινα· καλὴ μὲν ἡ Βρισέως ([3]), καλλίστη δὲ γυναικῶν ἡ Λήδας θυγάτηρ. Ὅσῳ τοίνυν ἅπασι ταύτης ἐκείνη πλεονεκτεῖ, τοσούτῳ σου μᾶλλον ([4]) ὁ Σπαρτιάτης ἠδικημένος ἔστεργε τὴν ἀπόδοσιν, ὑβρισμένην εἰδὼς αὐτῷ τὴν εὐνήν· οὐ γὰρ ἦν ἑτέραν τῆς ἁρπαγῆς αἰτιάσασθαι ([5]) πρόφασιν.

Ἀκόλουθον, οἶμαι, τῷ Μυκηναίῳ παραβαλεῖν τὸν Ἀλέξανδρον, ἵνα καὶ ταύτῃ δείξωμεν μείζονα ([6]) τὴν εἰς τὸν Μενέλεων ([7]) ὕβριν. Οὐχ ὁ μὲν Ἕλλην ἐκ Μυκηνῶν, ὁ δὲ καθέστηκε Φρύξ; οὐχ ὁ μὲν ἐκ παιδὸς βασιλεύς, ὁ δὲ πάλαι βουκόλος; οὐχ ὁ μὲν ἐξ ἀντιλογίας καὶ μάχης ἀφείλετό σε τὴν κόρην, ὁ δὲ τὴν Ἑλένην Μενέλεῳ μηδὲν ἐγκαλῶν; Ἐπειδὴ τοίνυν ἑκάτερος ἀλλοτρίαν εἴληφε γυναῖκα, φέρε σκοπήσωμεν ὅπως ἀμφότεροι τοῖς ὑβρισμένοις ἐχρήσαντο. Ὁ μέν, σωφρόνως τὸ γέρας ἀποδιδοὺς καὶ πλοῦτον ἄφθονον προστιθείς ([8]), ἐπρεσβεύσατο· ὁ δὲ τοῦ Πριάμου ([9]), πρεσβεύσαντα ([10]) τὸν ἠδικημένον ἰδών, ἄπρακτον ἀπέπεμψε ([11]).

Τάχα δή τις ([12]), τὴν Βρισηΐδος πρὸς τὴν Ἑλένην ἐξέτασιν ὑπερ-

([1]) P, εἰδέναι εἰ δίδως.

([2]) P, δορυάλωτος primum, nunc e correctione δοριάλωτος. Vide pag. 224, n. 1.

([3]) « Ἡ Βρισέως A. B. W. et m. Mor. » R. — P, ἡ Βρισέως. Ed., ἡ Βρισηΐς.

([4]) « Τοσούτῳ μᾶλλον Bav. et Wolf. » R. — P, τοσούτῳ σου μ., addito pronomine σου e correctione. Ed., τοσοῦτό σου μ. Reddam idem pronomen Polemoni p. 16 Stephanianæ : πολλοὺς ὁμοίους ὄψεσθε Κυναιγείρῳ νεκρούς, Καλλιμάχῳ δὲ οὐδένα· τίς γὰρ ἰσοστάσιος νεκρός; Codex 3017 : τίς γάρ σοι ἰσοστ. Theophilus Alex. Homilia de homine cui rei similis pag. 21 : ἐπήκουσέ σου ὁ θεὸς καὶ ἀνέστησέ σε ἐκ τῶν νεκρῶν δεύτερον, καὶ οὐ συνῆκας, ὦ ἠπατημένε. Codex 1013 : καὶ σὺ οὐ συν...

([5]) Ed., αἰτιᾶσθαι. « Αἰτιάσασθαι A. B. W. et m. Mor. » R. — P, αἰτιάσασθαι. Modo ἦν accessit ex P. Exstat forsan in Morelliana qua carui.

([6]) « Μείζονα A. B. et W. » R. — P, μείζονα. Ed., μείζω.

([7]) Ed., Μενέλαον. P, Μενέλεων. Inde, et ex n. 2, pag. 265, passim formam atticam reposui.

([8]) « Παρατιθεὶς B. » R.

([9]) P, ὁ δὲ Πριάμου.

([10]) Vide p. 262, n. 8.

([11]) Ed., ἔπεμψε. P, ἀπέπεμψε, addita præpositione ab eadem manu, ut fere videtur. Et Reiskius : « malim compositum ἀπέπεμψε ».

([12]) « Sic codd.; δ' εἴ τις Mor. » R. — P, δ' εἴ τις. Solita vocalium η ει permutatio. Meleager gallo qui cantu somnum interruperat mortem minatur Anth. 12, 137 : Ἆδε φίλα

6ὰς καὶ τὴν Ἀλεξάνδρου πρὸς Ἀγαμέμνονα σιωπήσας παράθεσιν, εἶτα μόνῳ τῷ Μενέλεῳ μόνον τὸν Ἀχιλλέα παραβαλὼν, μείζονά σου (1) δεῖξαι τὴν ἀτιμίαν πειράσεται, οὗτος σοφίζεται μὲν εὐπρεπῶς, ἁλώσεται δὲ κακουργῶν. Ἡ γὰρ εἰς (2) τὸν Μενέλεων, ἡνίκα πρὸς τὸν Ἀλέξανδρον ἐπρέσβευσεν, ὕβρις (3), διὰ σοῦ τε καὶ τῶν Ἑλλήνων ἁπάντων διέρχεται · ἡ γὰρ ἀτιμία τοῦ πρεσβευτοῦ πάντων (4) ὑπάρχει τῶν ἐκπεμψάντων, καὶ διὰ ταύτης ὁ Πάρις ἐκήρυσσεν ὡς καταφρονεῖ μὲν τῆς Ἀχιλλέως ἀνδρίας (5), ὑπερορᾷ δὲ τὴν Αἴαντος ῥώμην (6), οὐ δέδοικε δὲ τὸν σὸν ἑταῖρον ἐμὲ, βραχὺς δὲ λόγος αὐτῷ τοῦ Διομήδους φρονήματος, οὐ φεύγει δὲ τοῦ Λοκροῦ τὴν ὀξύτητα, καὶ τῶν Ἀτρειδῶν οὐ τιμᾷ τὴν ἀξίαν, καὶ τῶν Ὀδυσσέως λόγων καταγελᾷ (7), καὶ τὴν Νέστορος εὐβουλίαν ἐν ἀμελείᾳ ποιεῖται, καὶ τῶν ὑπολοίπων τὸ πλῆθος ἀφόβως ὁρᾷ.

Καὶ τί σοι τὸν Χρύσην, τί φημὶ τὸν Μενέλεων, εἰς παράδειγμα τοῦ μὴ προσήκειν εἰς τέλος ἀλγεῖν ἐπὶ κόρης ἀφῃρημένης; Εἰσὶν ἐν τοῖς στρατοπέδοις (8) ῥήτορες δύο γεγηρακότες, ἀμφότεροι παραπλησίαν ἔχοντες τὴν ἡλικίαν, καὶ τοῖς οἰκείοις ἑκάτερος τὴν ἀπὸ τῆς γλώττης συντέλειαν (9) χορηγῶν, τοῖς μὲν Ἕλλησι Νέστωρ, τοῖς δὲ πολεμίοις Ἀντήνωρ. Οὗτοι μίαν ἀπεφήναντο γνώμην ἀμφότεροι, μὴ χρῆναί τινας (10) ὑπὲρ

θρεπτῆρι χάρις; ναὶ τὸν βαθὺν ὄρθρον Ἔσχατα γηρύσει ταῦτα τὰ πικρὰ μέλη. In præcedentibus versibus avem fuit alloquutus, nunc transit ad tertiam personam, quod jure displicuit. Proposuit Jacobsius γαρύσεις. Sed idem valebit γαρύσει, præsertim scripto γαρύσῃ, a medio futuro γαρύσομαι, quod est in usu. — Statim Ed., Ἑλένης. P, Ἑλένην.

(1) Ed., μείζονά τοι. P, μείζονά σου. Mox malim σοφίσεται.

(2) « Sic A. B. W. et m. Mor.; πρὸς Mor. » R. — P, εἰς. Mox P, πρὸς Ἀλέξ.

(3) Trojanus Antimachus teste Iliade 11, 139, ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν, Ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσῆϊ Αὖθι κατακτεῖναι, μηδ' ἐξέμεν ἂψ ἐς Ἀχαιούς.

(4) « Πάντων · sic A. B. et W.; πάντως Mor. » R. — P, πάντων.

(5) Ed., ἀνδρείας. P, ἀνδρίας.

(6) Ed., τοῦ Αἴαντος τὴν ῥώμην. P, τὴν Αἴ. ῥώμην, et sic Reiskii A. B. et W.

(7) « Καταφρονεῖ Aug. et m. Mor. » R. — P, καταγελᾷ, præferendum, quum præcedat καταφρονεῖ.

(8) « Sic recte B. W. et m. Mor. Duo enim castra designantur, Græcorum altera, altera Troum; τῷ στρατοπέδῳ t. Mor. » R. — P, τοῖς στρατοπέδοις.

(9) « Sic A. B. et W.; λυσιτέλειαν Mor. » R. — P, συντέλειαν.

(10) « Τινας dant codd. Ego malim utrumque τινα et τινας prorsus abesse ». R. — P, τινάς. Ed., τινά. Mox Ed., ἡρπασμενης. P, ἡρπαγμ.

γυναικὸς ἡρπαγμένης ἄσπονδον ἔχθραν ποιεῖσθαι, προϊούσης εἰς ἔργον τῆς ἀποδόσεως· ὁ μὲν γὰρ ἀποδοῦναί σοι τὴν Βρισέως ἐνουθέτησεν Ἀγαμέμνονα (1), ὁ δὲ Μενέλεῳ τὴν Ἑλένην Ἀλέξανδρον (2)· οἷα (3) προσῆκον ἐντεῦθέν σέ τε διαλλάττεσθαι τῷ Μυκηναίῳ καὶ τῷ Πριάμου τὸν Σπαρτιάτην.

Βούλομαι δή σε καὶ τοῦ προγόνου Διὸς ζηλωτὴν ἀποδεῖξαι παυσάμενον τῆς ὀργῆς. Λέγεται γὰρ ἀφορήτῳ(4) ποτὲ τῆς Ἑλλάδος λιμῷ τρυχομένης, τὸν Αἰακὸν προσευξάμενον τῷ Διῒ τὸ κακὸν ἀπελάσαι (5). Καταβαίνει τοίνυν ἐξ οὐρανοῦ σοι φιλανθρωπίας εἰκὼν, εἰς ἣν ἀποβλέπων θεάσῃ τὸν Δία, θυμούμενον (6) μέν (δείκνυσι γὰρ τὴν ὀργὴν ὁ (7) λιμός), παυσάμενον δὲ καὶ διαλλαγέντα τοῖς Ἕλλησι. Ζηλώσεις οὖν εἴτε τὸν Δία τὸν πρόγονον, εἴτε τὸν παῖδα τοῦ Διός, τὸν Ἀπόλλω. Μὴ γὰρ οἴου μικρὸν εἶναι συγκαταλέγεσθαι σωτῆρσιν Ἑλλήνων θεοῖς, εἴπερ τὸν λιμὸν μὲν ὁ Ζεὺς, ὁ δὲ Ἀπόλλων ἔπαυσε τὸν λοιμὸν, σὺ δὲ (8) τὸν Ἕκτορα, χαλεπώτερον ὄντα τοῖς Ἀχαιοῖς συναμφοτέρου νοσήματος. Μαίνεται γάρ πως (9) τῷ μεγέθει τῶν πεπραγμένων· καὶ τὸ θαρρεῖν λαβεῖν παρὰ σοῦ, μὴ νήφων, ὡς εἰκὸς, ἐπιλέλησται, πρόφασιν δὲ εἶναι (10) τὸν Ἀγαμέμνονα. Καὶ τοσοῦτον ἡμᾶς ἐκεῖνος διέπτυσεν, ὥστε

(1) Vide Iliad. 9, 96.

(2) Vide Iliad. 7, 348. — Ed., Μενελάῳ. P, Μενέλεῳ.

(3) « Malim οἷς. Quibus adhortationibus Nestoris et Antenoris consentaneum est ». R. Nihil mutandum.

(4) Ed., ἐν ἀφορ. « Malim ἐν abesse, ut abest a Wolf. » R. — P sine ἐν.

(5) « De effectu precum AEaci dictum est in superiori oratione p. 243 ». MOR. Locus est in Reiskiana t. 4, p. 64 : πότερον Αἴακος Ταντάλου χείρων, ἢ Πηλεὺς Ἀτρέως; ὧν ὁ μὲν εὐχῇ τὸν λοιμὸν διέλυσεν, ὁ δὲ... Ibi codex 3017 λοιμὸν tenet, quod in λιμὸν mutandum monuit Morellus t. 4, pag. xlvij Reisk., citavitque opportune Apollodorum Bibl. 3, [c. 12, 6, § 10], memorantem ἀφορίαν qua Græciam liberaverunt Æaci preces; ad quem locum legantur Heynii Observationes et Claverii. Eadem varietas et hic exstat. Nam P λιμῷ quidem habet, sed e correctione, erasa litera ο.

(6) Ob Pelopis scelus. Vide Apollodorum l. l.

(7) « Λοιμὸς Aug. » R. — P, λιμός.

(8) « Post σὺ δὲ deesse videtur ζηλοῖς ». R. — Nil deesse mihi videtur. Ex verbo ἔπαυσε subaudiendum et supplendum mente παύσεις. — Modo Ed., ὁ δ' Ἀπ. P, ὁ δὲ Ἀπ.

(9) « Sic Bav. et Wolf.; γὰρ deest Mor. » R. — P sine γάρ.

(10) Ed., τὸ θ. λαβὼν... ἐπιλέλησται· πρόφασιν εἶναι δέ. Exhibui scripturam codicis P. — « Non intelligo recte. Abesse δὲ ab Aug. suspicor; quo admisso, tollendum punctum post ἐπιλέλησται, et sententia est :

τῷ Δόλωνι, κατάσκοπον αὐτὸν ἐπὶ τὰς ναῦς ἀποστείλας, ἀμοιβὴν ἀποῤῥήτων ἑλληνικῶν ὑπέσχετό σου διδόναι τοὺς ἵππους (1), τοὺς ἕτερον φέρειν ἀναβάτην οὐκ ἀξιοῦντας (2). Εἰς τοῦτο ὕβρεως ἐκεῖνον ἐκούφισεν ἡ παρὰ τὴν ἀξίαν εὐδαιμονία. Ἀλλὰ μέχρι τίνος ἑστιᾶταί σου (3) τῆς ὀργῆς; οὐ χαλάσει λοιπὸν τὴν ὀφρύν; οὐ παύσεται ταῖς ναυσὶ γειτνιῶν; οὐκ ἀποδώσει σοι τὸ μεταίχμιον; οὐ ζητήσει τὸ δένδρον ἐκεῖνο, τὴν δρῦν, τὸ συνηθὲς αὐτῷ τῆς φυγῆς (4) ἐνδιαίτημα; οὐ γνώσεται ὅτι στρατὸν ἡττημένον παραλαβὼν (5) Ἀχιλλεὺς ὁμοίως ἐστὶν Ἕκτορι φοβερὸς ἡγουμένῳ (6) στρατοπέδου νενικηκότος;

Μάλιστα μὲν γὰρ οὐδένα τῶν δεῦρο συμπεπλευκότων (7) ἀτελῆ καταλεῖψαι τὸν πόλεμον ἀξιῶ. Αἰσχρὸν γὰρ ἔργων ἀρχομένους ἐπαινουμένων, πρὶν ἐπιθεῖναι πέρας αὐτοῖς, ἡσυχάζειν, καὶ ταῦτα τοῦ πολέμου δέκατον ἔτος ἤδη προβάντος. Εἰ δ'οὖν καὶ τοῖς ἄλλοις ἅπασιν ἔδοξεν ἠρεμεῖν, οὔπω τοῦ τροπαίου σταθέντος, ἥκιστά γε σοὶ τοῦτο προσῆκόν ἐστι ποιεῖν, ὅσῳ πλείονα σοὶ καὶ μείζω διήνυσται. Ὅσοις μὲν γὰρ ἐλάττων ἡ δύναμις καὶ κατὰ λόγον τῆς ἰσχύος αἱ πράξεις, τούτοις εἰκότως ἐλάττων γίνεται πόθος τῆς νίκης, ἐννοουμένοις ὅτι τῆς εὐδοξίας ὀλί-

oblitus est Agamemnonem solummodo, h. e. suas Hectoris cum Agamemnone simultates, prætendi, revera autem te, Achille, peti ». R. — Minus offenderet vir d. ad verba ut sunt a me edita. Morellus in nota : « sumtæ a te (qui aberas a prælio) fiduciæ oblitus est, male sobrius videlicet » ; sequentia quæ difficiliora non tangens.

(1) Vide Il. 10, 319 — 331.

(2) De Achillis equis Ulysses ad Dolonem Il. 10, 401 : Ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμὸς, Ἵππων Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ Ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι Ἄλλῳ γ' ἢ Ἀχιλῆϊ.

(3) « Sic recte A. B. W. et m. Mor. Pascitur, id est fruitur, ira tua; αἰτιᾶται t. Mor. » R.— Morellus in nota : « ἑστιᾶται · germanam sequor scripturam : *quoad tua depascetur ira?* h. e. quamdiu iracundiæ tuæ fructu fruetur? *nonne in posterum demittet supercilium* »? — P, ἐσθιᾶται.

(4) « Αὐτοῦ Aug.; φυγῆς recte A. B. et W.; γῆς Mor. » R. — P, αὐτοῦ τ. φυγῆς. Quæ sophistæ δρῦς est Homero φηγὸς, ni fallor, vicina Σκαιῶν πυλῶν. Nomina sunt fere synonyma. Conf. Babrius F. 36.

(5) P, παραλαβεῖν, superscripto fine ών.

(6) « Ἡγουμένου A. B. » R. Fines participiorum sæpius variant propter compendiorum ænigmata. Themistius Orat. 14, pag. 223, 20 : ὅταν ἴδωσι πάλλοντα τὸ δόρυ καὶ τὴν ἀσπίδα νωμῶντα, καὶ τῆς ἀσπίδος τὴν ἀστραπὴν ἐγγύθι λαμπομένην. Inveni in cod. λαμπομένης, quod non est deterius.

(7) Ed., τῶν ἄλλων δεῦρο συμπ. « Aut omittendum est ἄλλων, id quod faciunt codd., aut legendum τῶν ἄλλων τῶν δεῦρο — iterato articulo ». R. — P sine ἄλλων.

γην ἀπέρχονται φέροντες μοῖραν· σὺ δὲ πλείους ἢ εἴκοσι πόλεις ζημιώσας τὸ Τρωϊκὸν (1), δώδεκα μὲν ναυμαχῶν, πεζεύων δὲ ἕνδεκα (2)· τοσαύτης δὲ ζημίας οὔσης τοῖς ὅπλοις (3), ἂν ἀπέλθῃς, τὴν Τροίαν αὐτὴν ὡς ἔχει (4) καταλιπὼν, δι' ἣν ἐχειρώσω τὰς τρεῖς καὶ εἴκοσι πόλεις, παρόμοιόν τι δόξεις ποιεῖν, ὥσπερ ἂν εἰ Μενέλεως (5) εὔξοιτο πάντας διαφθεῖραι (6) τοὺς Τρῶας πλὴν Ἀλεξάνδρου.

Ἦν μὲν οὖν καταγέλαστος ἡ Ἑλλὰς ἠρεμοῦσα καὶ φέρουσα σιώπῃ τῆς Ἑλένης τὴν ὕβριν· δειλίας γὰρ ἐντεῦθεν ἐδέχετο ψόγον, φόβῳ τὴν ἡσυχίαν ἄγειν δοκοῦσα (7)· πλὴν ἡσυχάζουσα μᾶλλον μετρίαν εἶχεν (8) αἰσχύνην ἢ κακῶς ἀπαλλάττουσα· τὸ μὲν γὰρ ὑποψία (9), τὸ δὲ ἀπόδειξις ἀνανδρίας (10). Καὶ τότε μὲν ἴσως οἱ Τρῶες οὐ λίαν ἔζων ἀφόβως· ἀλλὰ πᾶς ἑαυτὸν, καὶ τὸν πλησίον ἕκαστος, καὶ πάντες ἀλλήλους ἐτάραττον, τοὺς Ἕλληνας ἐννοούμενοι· « ἦ γὰρ ἐστράτευσαν, ἦ γὰρ πολέμῳ τὴν « ἁρπαγὴν ἐσωφρόνισαν. Εἰ μὴ σμικρὸν αὐτοῖς ἔδοξε μία γυνὴ, οὐ πο« λιορκία καὶ κίνδυνος περιειστήκει τὴν Τροίαν (11); μηδεὶς τοίνυν « τὴν (12) Ἀλεξάνδρου παροινίαν ζηλώσῃ, μὴ τῷ δευτέρῳ τολμήματι τὸ

(1) « Num πόλεσι »? R. — Inutilis conjectura, quum utraque syntaxis in usu fuerit. Et oblitus fuit Reiskius tangere πλείους.

(2) Testis ipse Achilles Il. 9, 328 : Δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων, Πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον. Idem in declamatione Libaniana t. 4, p. 51, 15 : τίς μοι τὰς πόλεις ἐξαριθμοῖ τὰς ᾑρημένας; εἷλον Φωκαίαν, Κολώνας, Κλαζομένην, Τῆνον, Κύμην, τὴν Χρύσαν, τὴν Κίλλαν, τὴν Τένεδον, Σκῦρον, Θήβας, Πήδασον, Πύῤῥαν, Λέσβον ὅλην. Μακρὸν ἐπελθεῖν λόγῳ τὰς πόλεις ἃς ἐγὼ παρεστησάμην. Vide declamationem Phœnicis superius pag. 147, n. 8; Drelincurtii Achillem § 180.

(3) « Τοῖς ὅπλοις suspectum ». R. — Legendum videtur πολεμίοις. Compendium pepererit ὅπλοις.

(4) « Ὡς εἶχε Bav. » R. — P, ὡς εἶχε. λ

(5) Ed., Μενέλαος. P, Μενέ. Hinc patet sæpe esse compendia prorsus ænigmatica.

(6) « Εὔξοιτο φθεῖραι. Bav. » R. — P, εὔξοιτο π. διαφθ. Ed., εὔξαιτο π. διαφθ.

(7) « Sic codd.; δοκοῦντα Mor. » R. — P, δοκοῦσα.

(8) « Sic A. et W.; ἦγεν Mor. » R. — P, εἶχεν, sed e correctione additum inter versus.

(9) « Sic recte B. et W. Subauditur ἦν ἀνανδρίας. Nam in altero erat suspicio ignaviæ. Ὑποψίας Mor. » R. — P, ὑποψία.

(10) « Ἀνανδρίας B. et W. » R. — Ed., ἀνανδρείας. P, ἀνανδρίας.

(11) Ed., ἐστράτευσαν, εἰ γάρ... ἐσωφρόνισεν, εἰ μὴ σμικρὸν... Τροίαν. P, εἰ γάρ... ἢ γὰρ πολ... ἐσωφρόνισαν, εἰ μὴ μικρὸν.... τροίαν. Visus sum mihi nitidum fecisse locum. « Εἰ γὰρ πολ. Sic A. B. et W.; γὰρ deest Mor. » R.

(12) Accessit τὴν ex P, in quo additum est a correctore.

« πρῶτον ἀνασοβήσωμεν ». Τοιοῦτον ἔμελλε δέος αὐτοῖς ἐνοχλεῖν (1) καὶ σωφρονεῖν ἐνουθέτει (2), μενόντων οἴκοι τῶν Ἀχαιῶν. Ἠγωνισμένων δὲ δυστυχῶς, καὶ τῆς μὲν πολλῆς στρατιᾶς (3) ἐνταῦθα κειμένης, τῆς δὲ (4) λοιπῆς ἀπρεπῶς ἀπιούσης, εἴ τις ἄρα (5) περισωθείη, πᾶσα τοῖς ἐναντίοις λύεται ταραχὴ, καὶ δίδωσιν αὐτοῖς ὁ πόλεμος θρασύτερον ἔρωτα (6) γυναικῶν Ἑλληνίδων. Γελοῖον δ' ἂν (7) εἴη καὶ μεστὸν ἀνοίας, εἰ τὴν Μυσίαν μὲν ἐληΐσω, Τροίαν εἶναι δοκοῦσαν (8), τὴν ἀληθῆ δὲ Τροίαν ἱσταμένην περιορᾷς.

« Ἀλλὰ τῆς πολεμίας ἁλούσης », φὴς (9), « Ἀγαμέμνων ἐφεδρεύει τοῖς « ἄθλοις· ἡ γὰρ εὐδοξία τῶν ἔργων ἐπὶ τοὺς κρατοῦντας αὐτομολεῖ. Ἄτο- « πον οὖν ἑτέρου μὲν εἶναι τοὺς πόνους, ἑτέρου (10) δὲ τοὺς καρπούς ».

Ἔλυσε ταύτην Ἀγαμέμνων τὴν ὑποψίαν περιβόλῳ καὶ τάφρῳ (11), καὶ πρεσβείᾳ καὶ δώροις, ὁμολογήσας ὅτι μιᾶς μὲν ὡς ἀληθῶς ἤρτηνται δεξιᾶς οἱ τῆς Εὐρώπης ἀγῶνες, ἡ δὲ Ἑλλὰς καὶ τῆς Ἑλλάδος ὁ βασιλεὺς σχῆμα καὶ ὄχλος, ὥστε, εἰ καὶ (12) ὁ κόμπος τῆς βασιλείας δελεάσει τὴν φήμην καὶ πείσει χαρίσασθαι τῷ κρατοῦντι τὴν εὔκλειαν, πολλὰ ψευδομένην (13) ἐλέγξει ἡ τῶν Ἑλλήνων ἐν τοῖς ἀψύχοις ἐλπὶς, ἡ περὶ σὲ πολυτέλεια τοῦ βασιλέως, οἱ πρεσβεύειν διακονήσαντες (14), ἡ

(1) « Αὐτοῖς A. B. W. » R. — P, αὐτοῖς. Ed. αὐτούς. Utraque syntaxis est in usu. Vide Jacobs. ad Anth. Pal. p. 732.

(2) « F. καὶ σωφρονεῖν ἂν ἐνουθέτει ». R.

(3) « Στρατείας Bav. » R. — P, στρατιᾶς, ut Ed.

(4) Ed., τῆςδε mendo typographico. P, τῆς δέ. Monuit et Jacobs. ad Porson. p. 324.

(5) P, sine ἄρα. Jacobs. l. l. proposuit, εἰ ἡ Τροία περισωθείη. Nihil mutandum esse videtur. Sensus est enim : « Si quæ forte reliqui pars exercitus supererit ». Libanianus Menelaus initio orationis legatoriæ t. 4, pag. 5 : ἥκομεν, ὦ Τρῶες, ἀδικήσοντες μὲν οὐδένα, τὰ δὲ ἡμέτερα αὐτῶν κομιούμενοι, ἐάνπερ ἄρα ἐξῇ. Conf. p. 272, 9.

(6) « Ἔρωτι dat Wolf. Quod si probatur, deest ἐντρυφᾷν vel tale quid ». R. Ἔρωτι typis debetur.

(7) « Sic A. B. et W.; δ' deest Mor. » R. — P, δ' ἄν.

(8) Græci ad Mysiæ litora appulerunt, Trojana esse falso opinati. Philostratus Her. c. 2, p. 687 = p. 80. Legatur Heynii nota ad Tzetzæ Antehom. 268.

(9) Ed., φησίν. « Sic A. B. et W.; φὴς Mor. » R. — P, φησίν. Recepi φής. Eadem correctio a Reiskio facta p. 253, n. 4.

(10) Ed., ἑτέρων bis. « Ἑτέρου... ἑτέρου A. B. et W. et m. Mor. » R. Et sic P.

(11) De propugnaculo ac fossa narratio est Homeri Il. 7, 436.

(12) « Sic Wolf.; εἰ deest Mor. » R. — P, εἰ.

(13) « Τὴν ψευδομ. Aug. » R. P, sine τήν.

(14) Ed., οἱ προστατεύειν εἰληχότες, διακονήσαντες. « Recte omit-

τῶν πραγμάτων μεταβολή, τῶν μὲν Ἑλλήνων δραπετεύειν ἀντὶ τοῦ διώκειν ἠναγκασμένων, τῶν εἰωθότων δὲ φεύγειν τοῦ πεδίου κρατούντων καὶ μετενεγκόντων ἐπὶ τὰς ναῦς ἀπὸ τῆς Τροίας τὸν κίνδυνον. Οὕτως ἀμφότεροι τὰς ἀλλήλων διεδέξαντο τύχας, ἑνὸς ἀνδρὸς ἀπουσίᾳ. Οὐ τοίνυν μόνον τειχίζων τε καὶ ταφρεύων, καὶ πρεσβευόμενος καὶ τιμῶν, οὐ μόνον ἔργοις τοσούτοις ἐκεῖνος τὴν τοῦ πολέμου σοι (¹) δόξαν ἀνέθηκεν· ἀλλ', ἐπειδὴ τὴν γενομένην ὑμῖν ἀψιμαχίαν διῆλθεν ὁ Νέστωρ καὶ τὰς ἐκ ταύτης ἐμπεσούσας αὐτῷ (²) κακοπραγίας ὠνείδισεν (³), « Ἥμαρτον » ἔφη (⁴), « λυπήσας ἄνδρα τῷ Διῒ προσφιλῆ, οὗ μεταστάν-« τος ἡ πλείστη τῶν Ἑλλήνων ἀνάλωται (⁵) μοῖρα ». Οὐκοῦν ἐξ ὧν ηὐτύχησε διὰ σοῦ (⁶), ἐξ ὧν ἀπόντος σου πέπονθεν, οἷς μετὰ σὲ κατεσκεύασε (⁷), δι' ὧν ἱκέτευσεν ὀργιζόμενον, οἷς ἵνα διαλλαγῆς ἐδωρήσατο, δι' ὧν ἐγκαλοῦντι τῷ Νέστορι γέγονε σύμψηφος, διὰ τοσούτων τὸ πλῆθος ὡσπερεὶ κῆρυξ ἐν μέσῳ βοᾷ ὑπὸ σοὶ (⁸) κεῖσθαι τὸ Ἴλιον εἶναί

tunt codd. articulum οἱ ante διακονήσαντες. Argumento erunt inter alia — etiam hoc, quod illi, qui aliis præesse constituti sint, ministraverint, h. e. ministerio legationis ad te functi fuerint ». R. — P, οἱ προστατεύειν διακονήσαντες · et in margine : γρ. πρεσβεύειν. Inde locum constitui.

(¹) Sic Bav. et W.; σοι deest Mor. » R. — Deest et P.

(²) « Sic codd., id est συμπεσούσας αὐτῷ. Redit ad Agamemnonem, ut ἔφη pariter ad eumdem redit. Ἐκπεσούσας Mor. » R. — Editum ac scriptum ἡμῖν mutavi in ὑμῖν, vobis; tibi scilicet et Agamemnoni. P, ὀψιμαχίαν... ταύτης αὐτῷ ἐμπεσ. Respectu, ut quidem videtur ad hunc locum Budæus Lexico Gr. Lat. in Ἀψιμαχία : « Libanius, pro rixa duorum et contentione cum illatione manuum ». Διῆλθεν Nestor intelligendum de oratione Nestoris Il. 9, 96...

(³) « Κακουργίας Aug.; ὠνειδίσας Bav. » R.

(⁴) Ait enim Agamemnon Il. 9, 116 : Ἀασάμην · οὐδ' αὐτὸς ἀναίνομαι...

(⁵) « Ἀνάλωται Augustanus et Wolfius. » R. — Ed., ἀνήλωται. P, ἀνάλωται.

(⁶) « Sic recte Wolf., (scil. παρόντος καὶ φίλου ὄντος καὶ συμμαχοῦντος) : ἠτύχησε Mor. » R. — P, ἠτύχησε.

(⁷) Ex munimentorum constructione scilicet.

(⁸) « Malim ἐπί ». R. — Conf. ὑπὸ σοί pag. 270, 8. Quid frequentius harum syllabarum confusione? Oribasius de apostematum incisionibus l. 44, p. 4 : εἰ μὲν ὑπ' αὐτοῖς τοῖς ὀφθαλμοῖς, μηνοειδεῖ διαιρέσει χρησόμεθα, τὸ κύρτωμα τῆς διαιρέσεως κάτω στρέφοντες, ἵνα ταῖς φυσικαῖς τῶν ὑποποιῶν περιφερείαις σχηματισθῇ · εἰ δὲ κατωτέρω... Mutaverim ὑπ' in ἐπ', quum agatur de iis quæ ipsis oculis insident. Ductus sententia interpres correctionem corrupti nominis ὑποποιῶν proposuit ἐπωπιῶν, quam perficiam scripto ἐπωπίων, permutatis de more vocalibus οι et ι. Sunt ἐπώπια pal-

τε πόλιν καὶ μή (¹)· οὐ γὰρ τοὺς ἡμετέρους ἱδρῶτας ἐκεῖνος καρποῦται.

Τὰ μὲν παρόντα σοι, ταῦτα· τὰ δὲ μέλλοντα, μείζονα. Σπενδομένου γάρ σου καὶ μετέχοντος τῆς συμμαχίας, πάλιν Ἕλληνες ὑψηλοί, πάλιν εἰς γῆν οἱ βάρβαροι νεύσουσι (²), καὶ πρὸς τὴν προτέραν αὐτῶν δειλίαν (³) ὑποστρέψαντες, αἰσθήσονται τὴν ἤδη συμβᾶσαν αὐτοῖς εὐπραγίαν οὐ τὸν οἰκεῖον κατορθώσαντα στρατηγόν (οὕτω γὰρ ἠπάτηνται νῦν), ἀλλὰ τὴν σὴν ἐργασαμένην διάστασιν· ὥστε καὶ τοῖς ἤδη σοι πεπραγμένοις καὶ τοῖς παρὰ τὴν σὴν ἀπουσίαν ἑλληνικοῖς ἀτυχήμασι (⁴) καὶ ταῖς ὕστερον οἰχομέναις (⁵) ἀνδραγαθίαις, ὑπὸ σοὶ φανήσεται (⁶) μόνῳ τοῦ πολέμου τὸ κράτος (⁷).

pebræ. Est nominis ejus exemplum in Scholio ad Theocritum 2, 88 : Ἀσκληπιάδης δὲ (θάψον) φυτόν τι χλωρόν· ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ἐπώπια. Sed recipiunt viri docti Tupii lectionem ὑπώπια, loco Dioscoridis firmatam. Potuit ὑπώπια, bene scribere Dioscorides, nec male ἐπώπια Asclepiades.

(¹) Ed., τὴν Ἴλιον εἶναι τε καὶ μή. « Τὸ A. B. et W.; τὸ Ἴλιον κεῖσθαι, εἶναι m. Mor. » R. — Exhibeo scripturam codd. et P.

(²) « Sic A. et W.; φυγὴν Mor.; νεύσουσι, sic B. et W.; νεύουσι Mor. » R. — P, γῆν... νεύσουσι. Velim οἱ Ἑλλ. propter sequentem articulum οἱ βάρβ.

(³) Ed., δειλίαν αὐτῶν. P, αὐτῶν δουλείαν. Statim Ed, αὐτοῖς εὐπραγίαν. P ordine inverso.

(⁴) « Sic A. B. et W.; εὐτυχήμασι Mor. » R. — P, ἀτυχήμασι. Sæpissime α et ευ confusa sunt ob compendium quoddam hujus syllabæ. Symeon Sethi Ichnel. p. 152 : δέδοικα μή πως, τοῦτο ποιήσασα, ἀσυνείδητος ὑποπτευθῶ. Legerim, εὐσυνείδητος, hocce sensu : vereor ne, quum id fecerim, suspecta fiam, bona licet cum conscientia. Starkii conversio « cæteris remotis » videtur rejicienda. Usus est et alibi illo adjectivo Symeon; verbi causa, p. 50 : ὁ εὐσυνείδητος καὶ λόγιος ἀνὴρ ἀγνοεῖται πολλάκις. Rursus p. 86 : ὁ γὰρ οὐκ εὐσυνείδητος ἀνὴρ εὐνοίᾳ χρῆται πρότερον...

(⁵) « Οἰχομέναις A. B. et W. Ego malim ἐσομέναις ». R. — P, οἰχομέναις. Fors. ἐρχομέναις. Quod participium in transitu proponam dandum Eratostheni Catast. 42, de Procyone : αὐτὸς (imo οὗτος, quod reperi in cod. 1310, volebatque Heyn.) ἐστιν ὁ πρὸ τοῦ μεγάλου κυνός... Ὠρίωνος δὲ κύων ἐστί· λέγεται δὲ, διὰ τὸ φιλοκύνηγον αὐτὸν εἶναι, ἀνατεθῆναι τοῦτον αὐτῷ· καὶ γὰρ λαγωὸς ἐχόμενος καὶ ἄλλα θηρία παρ' αὐτὸν συνορᾶται. Codex ἐρχόμενος, quod placet, quum Lepus in actu gradiendi figuratus sit ante Canem qui persequitur.

(⁶) « Sic Bav. et Wolf.; φαίνεται Mor. » R. — P, φανήσεται.

(⁷) Est πολέμου τὸ κράτος idem atque νίκη, sed plerumque νίκη non sine sudore parta. Dixit Philostratus Her. p. 148. τὸ κράτος τῆς μάχης ἐς Διομήδην τε καὶ Σθένελον. Ibi nota p. 495. Dio Cass. Fragm. 34 : τὸ κράτος τοῦ πολέμου ὑποχείριον ἔσχε. Psellus Opusc. p. 106 : τὸν Μελάνθιον... ἐκεῖνόν τε ἀποκτεῖναι καὶ τὸ κράτος ἀνειληφέναι τῆς μάχης. Damagetus Anthol. 7, 541 : Ἔστης ἐν προμάχοις, Χαιρωνίδη, ὧδ'

Τί οὖν ἀπίθανον ἡμῖν φαντασίαν (1) προβάλλῃ, καὶ δέδοικας μὴ σὺ μὲν ἕλῃς ἔργῳ τὴν Τροίαν, ὁ δὲ, ἔχων τὴν ἀρχὴν, τὴν φήμην (2); Οὐ ταύτην ἔσχε τὴν διάνοιαν ὁ Πηλεὺς (3), οὐ ταύτης ὑπῆρχε τῆς γνώμης ὁ Τελαμὼν, ἡνίκα τὸ χρυσοῦν μετῆλθε δέρας Ἰάσων. Ἦ γὰρ ἂν οὐδέτερος ἐπὶ Κόλχους ἐξέπλευσεν, ὥσπερεὶ ἐκείνων μὲν δρεψομένων τὸν ἆθλον (4), Ἰάσονος δὲ (τοῦ στόλου γὰρ οὗτος ἡγεῖτο) τὴν δόξαν· αὐτῶν δὲ ματὴν τὰς Συμπληγάδας περαιουμένων (5). Ἀλλ' ἐκεῖνοι τοὺς μεγάλων κατατολμῶντας (6) ἀγώνων ᾤοντο χρῆναι τοῦτο πεπεῖσθαι βεβαίως, ὅτι τὴν ἰδίαν ἕκαστος (7) ἀρετὴν εὐκλείας ἔχει κανόνα καὶ πρὸς τὰ μέτρα τῶν ἔργων ἐπίσημος γίνεται. Χωρὶς δὲ τούτων, εἰ, προσλαβόντες σου τὴν συμμαχίαν, οἱ βάρβαροι τὰ αὐτὰ δεινὰ (8) τοὺς Ἕλληνας ἔδρασαν, ὅσα κατώρθωσαν, ἀποστάντος σου, μόνον ἤρκει ἂν τέως σου καὶ τοῦτο τὴν τῆς ἀνδρίας (9) ὑπερβολὴν παραστῆσαι τοῖς Ἀχαιοῖς.

Εἰ τοίνυν, προστεθέντος σου τοῖς ἐναντίοις, τοιαῦτα παθόντες, οἷα πεπόνθασιν ἡσυχάζοντος, ᾐσθάνοντό σου τῆς ἀρετῆς, πόση νῦν αὐτοῖς γέγονεν αἴσθησις παρὰ τὴν σὴν ἀπουσίαν τοσούτων ἐμπεπλησμένοις (10)

ἀγορεύσας· « Ἢ μόρον, ἢ νίκαν, Ζεῦ, πολέμοιο δίδου. Simonides Plutarchi V. Arist. 19 et De mal. Herod. 42, 11 : νίκας κράτει, ἔργῳ Ἄρηος. Libanius t. 4, p. 29, 3 : τοῖς δὲ λογισμοῖς ἀκολουθῶν τις οὐκ ἂν εὕροι χαλεπῶς ὁποτέροις μένει τὸ τοῦ πολέμου κράτος. Iterum p. 57, 6 : συνεύχεσθαι μὲν αὐτῷ πολέμου κράτος· ἐπεὶ δὲ κρατεῖ, κωλύειν. Idem p. 11, 2 : ἴστω ὅτι πολὺ διενήνοχε νίκη κλοπῆς, καὶ πολέμου κράτος μεμηχανημένης ἀπάτης.

(1) « Πρόφασιν in marg. Bav.; προδοσίαν Wolf, ». R. — P, φαντασίαν.

(2) « Τὴν φήμην scilicet ἕλῃ e præmissis ». R.

(3) « Ἕξει τὴν δ. ὁ δὲ Π. m. Mor. » R.

(4) Ed., ἐκείνου μ. δρεψομένου τὸν ἆθλον. P, τὸ ἆθλον. — « Ἐκείνου et δρεψομένου superscr. sunt in Bav. ων. Aug. dat δρεπομένου, et Wolf. δρεψαμένων ». R.

(5) P, αὐτὸν.... περαιούμενον.

(6) « Sic A. B. et W.; τῶν μεγ. κατατολμῶντες Mor. » R. — P, τοὺς μ. κατατολμῶντας. Qui statim omittit πεπεῖσθαι.

(7) « Sic codd.; ἑκάτερος Mor. » R. — P, ἕκαστος.

(8) « Post δεινὰ codd. recte πρὸς omittunt. » R. — P sine πρὸς, quod est in Morelliana.

(9) Ed. R., ἀποστάντος σου μόνου, ἤρκει ἂν σου καὶ τ. τὴν. τ. ἀνδρείας. « Μόνον B. et W., ἂν ἕως Aug.; σου A. B. et W. recte; σου τῆς ἀνδρείας idem est atque τῆς σῆς ἀνδρείας; Mor. dat σοι.; τὴν Aug. Bav. et Wolf.; τὴν deest Mor. » R. P, μόνον ἤρκει ἂν ἕως σου τ. τὴν τ. ἀνδρίας. Scripsi e mea conjectura τέως.

(10) « Αὐτοῖς γέγονεν αἴσθ., sic Augustanus, Bavaricus et Wolfius; αἴσθησις αὐτοῖς Morellus » R. — P, αὐτ. γ αἴσθ....... ἐμπεπλησμένοι.

κακῶν, ὧν ἐγὼ θεατὴς γεγονώς, ἐκ τῆς Εὐρυπύλου (¹) σκηνῆς (νῦν γὰρ ἀνεμνήσθην (²) ἐκείνου μετέχοντος τοῦ καταλόγου τῶν τετρωμένων), ἥκω δεδακρυμένος εἰκότως (³) ἀήθη μάχην ἰδών, ἣν ἔξεστι μὲν ἱππομαχίαν, ἔξεστι δὲ ναυμαχίαν (⁴) καλεῖν. Τίς οὖν ἐστιν αὕτη; τῶν ὁλκάδων ἐπιβάντες οἱ Ἕλληνες πρὸς τὴν ἵππον ἐπολέμουν τὴν Τρωϊκήν· εἰς τοῦτο ἀνάγκης αὐτοῖς περιειστήκει τὰ πράγματα. Εἶτά σου πεῖραν οὕτω σαφῆ καὶ λαμπρὰν εἰληφότες καὶ μειζω ληψόμενοι (⁵), τὴν ἐκ τῶν ἔργων ὀφειλομένην σοι δόξαν τῷ Μυκηναίῳ δωρήσονται· πόθεν; Ἀλλ' εἴ τις ἄρα σοι τῆς εὐκλείας γενήσεται (⁶) κοινωνός, ὁ σὸς (⁷) ἑταῖρος ἐγὼ καὶ συνήθης μέρος τι κτήσομαι (⁸), καὶ θρυλλήσουσιν ἅπαντες μιᾶς εἶναι ξυνωρίδος φιλτάτης τὴν ἅλωσιν, τοῦ μὲν πολεμεῖν συμβουλεύσαντος (⁹), τοῦ δὲ γενναίως ἠγωνισμένου.

Θαυμάζω δὲ εἰ τῶν μὲν Ἑλλήνων τὸν ἡγεμόνα ζηλοτυπεῖς ἐφεδρεύοντα τῇ δόξῃ τῆς νίκης (θῶμεν γὰρ οὕτως), ὁ στρατηγὸς δὲ τῶν Τρώων οὐ δάκνει σου τὸ φιλότιμον, τὴν τοῦ πολέμου καρπούμενος εὔκλειαν. Ἦ συμπονῶν μὲν τοῖς Ἀχαιοῖς Ἑλληνικῆς εὐδοξίας οὐ μετέχεις τὸ μέρος, ἐν δὲ τῇ σκηνῇ διατρίβων τῶν Ἕκτορος τροπαίων κληρονομεῖς; « Ναί, »

(¹) Patroclus Eurypylo saucio assederat, ejus vulnus ut curaret Il. 11, 841; 12, 1; 15, 392.

(²) « Ἀνεμνήσθην B et W. » R. — Et sic P. Ed., ἐμνήσθην.

(³) P, εἰκότα, ut fere videtur.

(⁴) Quia ad naves ipsas pugnatum fuit.

(⁵) « Sic Wolf.; λειψόμενοι Mor. » R. — P, ληψόμενοι. Varietas perpetua vocalium ει οι. Simeon Sethi p. 192 : εἰ γὰρ ἔγωγε μόνη καταληφθῶ, ἀναγκασθήσῃ τοῦ δεσμοῦ ἀπολύειν με. Legas, καταλειφθῶ, bene reddente Starkio, « si fuerim relicta ». Idem p. 294 : εἰς τὸ ἀρχαῖόν σου πλάσμα στραφείσῃ · imo στραφήσῃ. Et hic bene Starkius : « in pristinam fueris formam rediturus ». Rursus p. 92 : εἰ ὁμιλήσῃ τῷ λέοντι ὁ ταῦρος · imo εἰ ὁμιλήσει. Sic ibidem pp. 24, 94, 120 βούλῃ et ὄψῃ mutentur in βούλει et ὄψει. Earum vocalium pronunciatio similis nonnihil præsidii dabit etymo nominis ἥρως, quod reperitur in Anecdotis Paris. Crameri t. 4, p. 344, 9 : Ἐῶ Πύλιον τοῦ μέλιτος ἥδίω, Καὶ τὴν Ἀτρείδου συντετμημένην φύσιν, Ἥρως (leg. ἥρωας, quod postulat mensura pedum et codex exhibet) ἄρδην ἔνθεν ὠνομασμένους, Εἴροντας εὖ τε καὶ λέγοντας ἐντέχνως.

(⁶) « Σοι γενήσεται A. B. W. et m. Mor.; σου γένοιτο t. Mor. » R. — P, quod scripsi.

(⁷) Mor. ὡς ὁ ἑτ. « Post ὡς delevi ὁ, quod deest Aug. » R. — P, ὡς ὁ ἑτ. « In alio regio scribitur ὁ σὸς ἑτ. Eodem recidit ». MOR. Lectionem ὁ σὸς conjectura assequutus est Jacobs. ad Porson. pag. 324. Eam recepi. Cf. p. 264, 9.

(⁸) « Sic A. B. et m. Mor. Ego participabo tuam gloriam, ut contubernalis tuus ». R. — P, κτήσομαι.

(⁹) Sic P. Ed., βουλεύσαντος.

φής (¹)· « παρὰ γὰρ τὴν ἐμὴν ἡσυχίαν ἐπαίρεται καὶ γέγονε μέγας, « ὥστε κρατεῖ μὲν ἐκεῖνος, ἐγὼ δὲ θαυμάζομαι. Τί οὖν συμπλέκεσθαι « δεῖ, παρὸν ἡσυχάζειν καὶ τοῖς Ἕκτορος πόνοις (²) εὐδοκιμεῖν (³) ». Μὴ τοσοῦτον ἰδίων γένοιο (⁴) πράξεων ἐνδεὴς, ὡς ἀλλότρια συλᾶν κατορθώματα. Αἰσχρὸν γὰρ ἂν εἴη τὸν Ἑκάβης μὲν ἀριστεύειν, τὸν δὲ Θέτιδος (⁵) ἔργοις τοῖς ἐκείνου κοσμεῖσθαι· εἴ γε δεῖ κόσμον καλεῖν ἡσυχίαν ἀπανθρωπίας φέρουσαν ὄνειδος. Ὥστε, κἂν εὔκλειαν κτήσῃ γενναίου (⁶) ταῖς Ἕκτορος ἀριστείαις, ὠμότητος αἰχύνην οὐ διαφεύξῃ· ἐπικουρήσας δὲ τοῖς ὁμοφύλοις φιλανθρωπίας ἅμα δόξαν ἀποίσῃ καὶ ῥώμης. Ἔτι τοίνυν οὐδ' ἐλάνθανες πλείστῳ τοὺς Ἕλληνας ὑπεραίρων τῷ μέσῳ, ἵνα δεηθῇς ἀπουσίας δηλούσης ἡλίκον ἐστὶ κέρδος ἡ παρουσία· ἐπεὶ καὶ τὸν Ἕκτορα πάντες ἄριστον εἶναι μαρτυροῦμεν τῶν Τρώων, οὐ τῇ διαστάσει τῆς μάχης, ἀλλ' ὅτι τὰ πρῶτα φέρει τοῦ Τρωϊκοῦ στοχασάμενοι.

Ἐπειδὴ (⁷) τοίνυν οὐδαμόθεν λείπεται σκῆψις εὐπρόσωπος μακροτέρας σοι λύπης, ἀπόθου τὸ μῖσος, καὶ τῇ πραότητι κόσμησον τὴν ὀργήν. Ὁ γὰρ ἐν καιρῷ τὸ προσηνὲς ἐνδεικνύμενος οὐκ ἐᾷ τὸν θυμὸν ἄλογον εἶναι δοκεῖν· εἰ δὲ φαίνοιτό (⁸) τις ἀπέραντα (⁹) χαλεπαίνων, ἔμφυτον ἔχειν ὑπονοεῖται τὸ πάθος. Σοὶ δὲ καὶ ἄλλως προσήκει μιμήσασθαί μου τὴν ἡμερότητα, ζηλώσαντος τὸ (¹⁰) πρώην σου τὴν ὀργήν· δεῖ γὰρ ἑκάτερον τὴν οἰκείαν μετρίως βιάσασθαι φύσιν, σὲ μὲν ἐπὶ τὸ πρᾶον, πρὸς δὲ τὸ ὀργίλον ἐμέ· τούτων γὰρ ἀμφοτέρων ἡ κρᾶσις (¹¹) πέφυκεν ἀρετή. Παῦσαι τοίνυν ὅλον σαυτὸν ἀπονέμων τῷ θυμῷ· κἂν ὑπογράψῃ σοι τὸν

(¹) Ed. et P, φησι. Quod mutavi, ut jam supra factum fuit, p. 253, n. 4. Mox recte Ed. φής, ubi P, φησίν, p. 274, 16.

(²) « Τρόποις Aug. Voluisse videtur τροπαίοις dare ». R. — P, πόνοις.

(³) « Malim compositum ἐνευδοκιμεῖν ». R.

(⁴) « Γένοιτο Aug. » R. P, γένοιο.

(⁵) « Τῆς Θέτιδος Wolf. » R.

(⁶) « Sic A. B. et W. Sed in B vulg. γενναίαν superscriptum est ». R. — P. γενναίου. Ed. R. γενναίου.

(⁷) P, ἐπεί.

(⁸) « Sic A. et W.; φαίνοντο Mor. » R. — P, φαίνοιτο.

(⁹) « Ἀπέραντον Aug. » R. — P, ἀπέραντα.

(¹⁰) P sine τό.

(¹¹) Ed. κρίσις, « Conjicerem scribendum ἡ κρᾶσις. Quam *moderationem* dixi [in interpretatione], dicsis *temperationem* ». MOREL. « Aut conjectura Morellii est adoptanda, κρᾶσις, aut legendum σύγκρισις, commixtio, contemperatio ». R. — P, κρᾶσις.

ἀλαζόνα, τὸν ὑβριστὴν Ἀγαμέμνονα, σὺ τὸν ἠτυχηκότα, τὸν (1) ἱκέτην σαυτῷ διατύπωσον. Κἂν εἴπῃ (2) τὴν ἱκετείαν οὐ τῆς Ἀγαμέμνος εἶναι προαιρέσεως ἔργον, ἀλλὰ τῆς ἀτυχίας ἐκείνου, ἐροῦμεν αὐτῷ· Τοῦτο γάρ ἐστι τὸ μεῖζον· εἰ γὰρ, τῶν πραγμάτων καλῶς φερομένων, τὴν σὴν ἐκεῖνος ἠγάπησεν εὔνοιαν, τυχὸν ἂν ὕποπτον ἦν (3) μή ποτε πάλιν, ἑτέρας φιλονεικίας λαβόμενος, ἀτιμάσῃ σε. Ἐπεὶ δ' οὖν ἀπαιτήσαντί σοι ἀπέστη τῶν Ἑλλήνων (4) ὁ Ζεὺς, μᾶλλον δὲ πρὸς τοὺς Τρῶας μετέβη, σοῦ διαστάντος τῶν Ἀχαιῶν, εὐλαβήσεταί τι ποιεῖν (5), ἐξ ὧν ἡγεῖται λυπήσειν, ὑπερόπταις φυλάττων τὰς ἐξ ὧν πταίει προφάσεις.

Πάντων δ' ἂν εἴη δεινότατον, εἰ μὴ ληψόμεθα (6) κατὰ νοῦν, ὡς τὴν μὲν ὕβριν τὴν ὑπ' ἐκείνου Χρυσηΐδος ἐποίησεν ἔρως καὶ θυμὸς περὶ σέ (7), τὴν δὲ τιμὴν σωφρονοῦσα καὶ καθεστηκυῖα κρίσις, ἑκατέρου πάθους ἀπηλλαγμένη.

Ἀλλ' ἔστω σοι τῶν Ἑλλήνων ὁ βασιλεὺς ὀλίγη φροντίς· τὸ δὲ στρατόπεδον, τί, πρὸς θεῶν (8), αὐτοῖς ἐγκαλοῦντες, τοσοῦτον περιοψόμεθα (9) χρόνον; « Ὅτι » φῄς (10), « οὐ, γεγονυίας τῆς ἔριδος (11), ἀνέστειλαν τὸν « κρατοῦντα τῆς εἰς (12) ἐμὲ λοιδορίας ».

Οὕτω θρασυτέρους νομοθετεῖς τῶν βαρβάρων εἶναι τοὺς Ἕλληνας;

(1) « Πρὸς τὸν Aug. » R. — « In codice regio legitur πρὸς τὸν ἱκέτην. Nihil sollicito ». MOR. P, τὸν ἱκέτην. Forsan legendum, τὸν προσικέτην.

(2) P et Ed., εἴποι. « Εἴπῃ Bav. » R. — Symeon Sethi Ichnel. p. 192 : δέδεια δὲ πρὸς τούτοις μή πως προτέραν με λύων ἀπείποις, καί τινα τούτων ἄλυτον ἐάσῃς. Legendum ἀπείπῃς, ac δέδια.

(3) P, ἦν ὕποπτον.

(4) Ed., ἐπεὶ δ' οὖν ἀπέστη σοι τῶν Ἑλλήνων. P, ἐπεὶ γοῦν ἀπαιτήσαντί σοι μετέστη τῶν Ἑλλ. Ex utraque scriptura feci meam.

(5) Mor. et P, εὐλ. τι π. « Εὐλαβήσεται ποιεῖν · sic B. Wolf. et m. Mor., recte; nam subauditur ταῦτα, ut ex insequente ταῦτα patet; t. M. τι interponit ». R. — Insequens illud ταῦτα ubi sit non video. Vel cum ἐξ ὧν secure servari τι potest. Locus videtur in fine esse mutilus.

(6) « Ληψόμενος Aug. » R. — P, ληψόμεθα, ut est in editione Reiskii.

(7) « Malim πρός ». R. — Sed vide p. 255, n. 12.

(8) Ed., τῶν θεῶν. « Τῶν deest A. B. et W. » R. — Deest et P. Sequor codices. Potest adesse articulus aut non, in prosa oratione.

(9) « Περιοψόμενος Aug. » R.

(10) « P, φησίν. Vide p. 275, n. 1.

(11) Ed., τῆς γεγονυίας ἔριδος. P, τῆς γεγ. μερίδος. « Τῆς γεγ. ἔριδος, id est ὅτε ἐγίγνετο ἡ ἔρις · quod, altercantibus nobis, principem suum non prohibuerunt a jactandis in me probris ». R. — Transposui articulum.

(12) Ed. πρός. « Εἰς B. et W. » R. — Et P, εἰς.

Ἐκεῖνοι τὸν Ἀλέξανδρον ἴσασι φέρειν, καὶ καρτεροῦσι (1), κινδυνευούσης πατρίδος ὑπὲρ ἑνὸς ἀνδρὸς ἡδονῆς. Εἰ τοίνυν βαρβάρων ὅμιλος οἶδεν ἡγεμόνας τιμᾷν, οὐδὲ τοῦτον, οἶμαι, τὸν νόμον οἴκοθεν παιδευθείς (νοσεῖ γὰρ ἐπιχώριον ἀμαθίαν), ἀλλὰ τὰ τῶν Ἑλλήνων ἤθη (2) ταυτὶ (3) μιμούμενος, πῶς αὐτοὺς (4) ἔδει τοὺς Ἕλληνας ἄχρι καὶ εἰς βασιλέα τὸ θράσος ἐκτεῖναι; Καίτοι, τοῖς Ἕλλησιν (5), ὅτε πρὸς ἀλλήλους μὲν (6) ἡ ἔρις συνέστηκε (7), οὐ σφόδρα πρόδηλος ἦν ὁ λοιμὸς ἐξ Ἀγαμέμνονος τὴν αἰτίαν λαβών. Μὴ γάρ μοι τὸν Κάλχαντα. Πολλοὶ τῆς ἀληθείας διήμαρτον μάντεις· μάντις δὲ βαρβάροις (8) Ἀλέξανδρος ὑπῆρχε (9) καταφανής, τὸν πόλεμον εἰς Ἴλιον ἐνεγκών. Πολλαχόθεν δ' ἄν τις εὕροι (10) τότε τοὺς Ἕλληνας εἰς καιρὸν μηδ' ἑτέρῳ (11) προστιθεμένους· ὄντων γὰρ ἰσοῤῥόπων τῶν ἑκατέρωθεν ὑβρισμάτων καὶ τῶν μαχομένων παραπλησίως (12) ἀξίων τιμῆς, τοῦ μὲν τὴν ἀρετήν, τοῦ δὲ τὴν βασιλείαν ὁμοίως αἰδούμενοι (13), εἰκότως ἠπόρησαν πρὸς ποίαν ἐχρῆν ἀποκλῖναι μερίδα. Οἶσθα (14) ὅπως ὑπεύθυνοι δικαίας ἐγένοντο μέμψεως; εἰ, τὰς Ἀγαμέμνονος λοιδορίας ἐνεγκόντος σου πράως, ἐσίγων. Ἀλλ' οὐκ ἄν, οἶμαι, τότε παρεῖδον, εἰωθὸς ὂν τοῖς ὁρῶσι φιλονεικίαν δυοῖν ἀνδράσι συνισταμε-

(1) « Sic A. et W.; μαρτυροῦσι Mor. » R. — P, καρτεροῦσι.

(2) « Ἔθη Aug. » R. — P, ἤθη.

(3) « Malim ταύτῃ, hactenus vel hoc pacto ». R.

(4) P sine αὐτούς. Idem pronomen obiter propono dandum Aristidi Orat. 52, p. 598 : οὐκ ἄξιά σου τὰ δῶρα.... οὐδ' ἂν τὴν ψάμμον καὶ τὴν κόνιν παρέλθῃ τῷ πλήθει. Codex 983 : οὐδ' ἂν αὐτὴν τὴν ψ.

(5) P, τοὺς Ἕλληνας.

(6) « Malim ὑμῖν ». R. Et fatendum non esse utilem nunc particulam μέν.

(7) Mor. et P, συνέστη καί. « Omittunt B. et W. καὶ, recte, et delevi ». R. — Jacobs. ad Pors. p. 324 et ad Anth. Pal. p. 163, conjecit συνέστηκε, quod recepi.

(8) Ed. Κάλχαντα πολὺ τῆς ἀληθείας διήμαρτον · μάντις. Sic et P. « Διήμαρτε A. B. et m. Mor.; et in A. vulg. superscr. est. μάντεσι Aug. » R. — Jacobs. ad Pors. p. 325 conjecit : πολλοὶ τῆς ἀληθείας διήμαρτον μάντεις · τοῖς δε βαρβ. Inde profeci. Repetere visum est μάντεις, μάντις. Similis fuisse videtur repetitio in loco Nicetæ nunc corrupto apud Senecam rhetorem Controv. 5, 31 : εἰ ὁ πάππος ὑπὸ τῆς φύσεως ἀποδοθείς, ἡμεῖς ἡμῖν παρέστη τῷ τότε δικαστηρίῳ. Conjicio legendum ἀποδοθεὶς ἡμῖν, ἡμῖν παρέστη... Quod non est sine vi.

(9) « Ὑπῆρξε Wolf. » R.

(10) « Sic A. B. et W.; εὕροιτε A. B. W. » R. — Sic Reiskius, cui illusit calamus. P, εὕροι cum Edit.

(11) Ed. μηδ' ἑτέρῳ. P, μηδετέρῳ.

(12) « Sic A et W. παραπλησίας Mor. » R. — P, παραπλησίως.

(13) « Αἰδούμενοι A. B. et W.; αἰδούμενον Mor. » R. — P, αἰδούμενοι.

(14) P, οἶσθ'.

νην (1) πρὸς τὸν ἐγκρατῶς φερόμενον ῥέπειν · νῦν δὲ τὸ τῆς ἀντιλογίας ἐφάμιλλον ἐκποδὼν ἑκατέρου παρεσκεύασεν εἶναι (2). Ἀλλὰ μὴν, εἰ καὶ φήσει τις αὐτοὺς ἁμαρτεῖν, οὐ πάντες ὁμοίως ἐξήμαρτον· οὐ γὰρ πᾶσιν ὁμοίως ἐξῆν πρὸς τὸν κρατοῦντα παῤῥησιάζεσθαι, καὶ τοῖς ἐν τέλει τῆς στρατιᾶς, καὶ τοῖς ἐλάττονα τάξιν λαχοῦσι, καὶ ναύταις, καὶ σκευοφόροις. Ἑκάστου τοίνυν πρὸς τὰ τῆς ἀξίας πλημμελήσαντος (3) μέτρα, πῶς ἂν εἴη καλὸν τοὺς ἀνίσως ἡμαρτηκότας μιᾷ τιμωρίᾳ σωφρονίσαι (4), θανάτῳ; Εἰ μὲν γὰρ ἦσθα τοῦ πολέμου ταμίας, ὡς ἐπιτρέπειν αὐτῷ τὸν (5) μὲν θανάτῳ κολάσαι, τὸν δὲ τραυματίαν ποιῆσαι, ἐνίων δὲ φείσασθαι (6), ἧττον ἂν (7), ἐδόκει ὅμως εἶναι (8) κακόν. Ἐπεὶ δὲ διακρίνειν οὐκ οἶδεν ὁ πόλεμος τοὺς ἀναιτίους καὶ μηδὲν ἁμαρτάνοντας (9), ἀλλὰ τοὺς παραπεπτωκότας εἰκῇ διαφθείρει, δέδοικα μὴ λάθῃ (10) πολλοὺς ἀνελὼν οἷς ἔλαττον χαλεπαίνομεν. Ἐγὼ δὲ καὶ τοὺς οἴκοι λίαν ὀδύρομαι, λογιζόμενος, τί ποτε ἄρα τὰ νῦν (11) ἐν ἑαυτοῖς ἀναπλάττουσι, καὶ πῶς ἔχειν ἡμᾶς ἐννοοῦσι (12). Φιλοῦσι δὲ (13) μάλιστα τὴν ψυχὴν αἱ τοιαῦται κατατέμνειν φροντίδες· κουφότερον γὰρ ἐν πολέμῳ παρόντας τὰ συμβαίνοντα (14) θεωρεῖν, ἤπερ ἀπόντας ποικίλοις περιστρέφεσθαι λογισμοῖς. Τῆς τε οὖν ἀγωνίας ἐκείνοις (15) συνάχθομαι · καὶ

(1) « Recte Bav. verba sic collocat : τοῖς ὁρῶσι φιλονεικίαν δυοῖν (id est δυοῖν) ἀνδράσι συνισταμένην ». R. — Et sic P. Sic Reiskiana, nisi quod ibi sit ἀνδράσιν. Morellianam non potui videre.

(2) « Subaudi αὐτοὺς. »

(3) « Πλημμελήσαντες B. W. et m. Mor. » R. — P, πλημμελ. Ed., ἁμαρτήσαντες.

(4) « Codd. dant σωφρονίσαι. Ego malim aut σωφρονίζεσθαι, aut σεσωφρονίσθαι. » R. — Ed., σωφρονεῖσθαι. P, σωφρονίσαι.

(5) Ed., ἐπιτρέπειν τόν. « Post ἐπιτρέπειν addunt codices αὐτῶν. Ego αὐτῷ malim bello, puta; et subauditur σε · ut tu bello potestatem faceres alium interimendi, alium... » R. — P, αὐτῷ.

(6) Φείδεσθαι m. Mor. » R. — P, φείσασθαι, ut editio.

(7) Ed., ἧττον ἂν ἴσως. « Ἴσως deest A. B. W. et Mor. » R. — Deest et P. Ideo sustuli.

(8) Ed., ἐδόκει εἶναι. « Post ἐδόκει addunt codices et m. Mor. ὅμως ». R. — P, ἐδόκει ὅμως.

(9) « Malim τοὺς αἰτίους καὶ τοὺς μηδὲν ἡμαρτηκότας ». R. — Malim ἁμαρτόντας?

(10) « Λάθοι Bav. » R.

(11) « Sic B. et W.; τῶν νῦν Mor. » R. — P, τανῦν.

(12) Ed., ἐννοοῦνται. P, ἐννοοῦσι.

(13) P, γάρ.

(14) Ed., συμβάντα. « Συμβαίνοντα A. B. et W. » R. — P, συμβαίνοντα.

(15) « Sic B et W.; ἐκείνης Mor. » R. — P, ἐκείνοις. Parilis permutatio in Libanio t. 4, p. 114, 25. Loquitur personatus Orestes de raptu Helenæ : ἡ Ἑλλὰς ἐκεκίνητο, καὶ πάντα τῆς Ἀσίας ἐχώρει (melius cod. 3017 : πάντα κατὰ τῆς... Malim etiam, πᾶσα κατὰ τ.) οὐ τῆς μιᾶς

μεμνημένος τῶν λόγων, οἷς ἐξέπεμπον ἐπὶ Τροίαν πατέρες τε παῖδας καὶ τέκνα μητέρες καὶ νύμφαι συνοίκους, οἱ μὲν ἀγωνίσασθαι γενναίως κελεύοντες, αἱ δὲ νουθετοῦσαι πολεμεῖν ἀσφαλῶς, αἱ δὲ τοὺς ἄνδρας αἰτοῦσαι διὰ τάχους ἐπανελθεῖν, εἰσέρχεταί δέ με κἀκεῖνο καὶ δεινῶς ἀνιᾷ, ὅτι ὁ στόλος τὸ μάχιμόν ἐστι τῶν Ἀχαιῶν, ἡ νεότης ὅλη (1) τοῦ γένους, αἱ τῆς Εὐρώπης ἐλπίδες. Οὐκοῦν εἷς ὑπὲρ ἁπάντων συνέστηκεν οὗτος ἀγὼν, καὶ τῶν ἐφ' ἑκάτερα (2) ἡμῖν ἐκβαινόντων πᾶν τὸ Ἑλληνικὸν κοινωνεῖ. Πλὴν εἰ μήτε τῶν οἴκοι, μήτε τῶν ἐνταῦθά σοι λόγος πολὺς, ἐκεῖνο γοῦν ὅρα, μὴ, τὰς ναῦς Ἕκτωρ ἐμπρήσας, τὴν Ἀγαμέμνονος καταλάβῃ σκηνὴν, καὶ Βρισηΐδα τοῦ πολέμου λαβὼν ἀριστεῖον ἀπέλθῃ καὶ συνοικήσῃ τῇ κόρῃ, τοῦ τε κάλλους οἷα εἰκὸς ἡττηθεὶς καὶ τὸν ἐκείνης βουλόμενος ἐραστὴν ἀνιάσαι (3).

Ἐγὼ μὲν οἶμαι, κἂν ἐν (4) γραφῇ ταῦτα θεάσῃ, χαλεπῶς φέρεις (5) τὴν θέαν. Πῶς οὖν οἴσεις (6) γιγνόμενον, ὃ γεγραμμένον οὐ καρτερεῖς; ἆρ' οὖν ἐπάνιμεν, ἐκείνῳ τὸ γύναιον καταλείψαντες; οὐκοῦν δόξομεν Μενέλεω φαυλότεροι, τοσοῦτον ὑπὲρ Ἑλένης κεκινημένου. Ἀλλ' ἐπειδὰν γένηται τοῦτο, παραταξόμεθα, καὶ χορηγήσομεν ἑτέραν ὑπόθεσιν τῷ πολέμῳ τὴν Βρισηΐδα; καὶ, τὸν Πριάμου (7) καταβαλὼν (8), ἀναλήψῃ τὴν κόρην; Ἀλλ' ἄμεινον, οἶμαι, εἴη (9) τοὺς οἰκείους τε σώζειν καὶ ταύτην ἑτέρῳ μὴ συνελθοῦσαν ἀναλαβεῖν, ἤπερ τοὺς μὲν φθειρομένους περιορᾶν, τὴν δὲ τῷ Πριάμου (10) συναφθεῖσαν κομίσασθαι. Ἦ τότε μόνον Βρισηΐδος ἐρᾷς, ὅταν αὐτὴν Ἀγαμέμνων (11) ἀφέληται;

εἵνεκα γυναικός · τί γὰρ ἐκείνης ἔμελε τοῖς μηδοτιοῦν πεπονθόσιν; Codex idem ἐκείνοις, quod et invenit Reiskius. Potest ambigere lector. Præfero genitivum. — Pro συνάχθομαι, « συνήχθημεν Augustanus. » R. — « Idem ille regius habet συνήχθημεν ». MOR. — P, συνάχθομαι.

(1) « ὅλου Aug. » R. — P, ὅλη.

(2) P, ἐφ' ἑκάτερον.

(3) « Γρ. ἀνίστασθαι in marg. Aug. » R.

(4) « Sic Aug.; ἐν deest Mor. ». R. — P, ἐν additum e correctione. Conf. p. 198.

(5) Ed. φέρῃς. « Φέρεις A. B. W. » R. — P, φέρεις. Forsan, φέρειν σε. Sed potest sententia in οἶμαι pendere.

(6) « Sic A.; οἴσει Mor. » R. — P, οἴσεις.

(7) « Τὸν τοῦ Πρ. Bavaricus τὸν Πρίαμον Mor. » R. — P, τὸν Πριάμου.

(8) P, καταβαλὼν, superscripto λαβ, i. e. καταλαβών.

(9) Ed., ἄμεινον οἶμαι. « Μὲν οἶμαι Aug. » R. — P, ἄμεινον εἴη. Utrumque sumsi verbum.

(10) « Δὲ Πριάμῳ m. Mor.» R. — Et sic P.

(11) Ed., ὅταν Αγαμέμνων « Ὅταν αὐτὴν Ἀγαμέμνων Bavaricus ». R. — P, αὐτήν. Interrogationem feci.

Νόμιζε δήπου τὴν ἐρωμένην ἀντιβολοῦσαν καὶ δεομένην, « Ὦ φίλτατε » λέγειν, « ἔγνων ὅσον ἠγάπημαι· δι' ἐμὲ βασιλεὺς ἱκέτης καταφρονεῖται, « δυστυχοῦντες οὐ λυποῦσιν ὁμόφυλοι, δυσμενεῖς οὐ φθονοῦνται νικῶν- « τες, καί, τὸ μέγιστον, Ἕκτωρ εὐδοκιμῶν οὐ δάκνει τὸν Ἀχιλλέα. « Ἔχω δὴ παρὰ σοῦ τῆς εὐνοίας τὰ σύμβολα· ἔχω παρ' Ἀγαμέμνο- « νος οἵαν ἤθελον δίκην, τοσοῦτον λελυπηκότος ὅσον διαστῆσαι τοῦ πο- « θουμένου. Δὸς τοίνυν ὁμοίως καὶ Πατρόκλῳ τὴν χάριν. Ἐπιθυμῶ « μετὰ τῶν ὅπλων ἰδεῖν ἀριστεύοντα, δέξασθαι δὲ κεκονιμένον (¹), « μεστὸν αἵματος Τρωϊκοῦ. Ἡδύ σε πρότερον (²) θεάσασθαι φοβερόν, « εἶτα καλόν. Τί μοι νίκας νέων καὶ ἀρχαίων (³) ἀνδρῶν μελῳδεῖς; τερ- « πνότερον ᾆδε (⁴) μοι μέλος, τὰς σὰς (⁵) ἀριστείας. Τοῦτο κἀγὼ μετὰ « σοῦ συνᾄδω (⁶) τὸ μέλος, καὶ μᾶλλον οὕτω τοὺς ἀκούοντας θέλγομεν « (⁷). Μείζων (⁸) γὰρ τῶν ᾀσμάτων ἡ τέρψις, ἀνδρείᾳ τε καὶ γυναι- « κείᾳ φωνῇ κεκραμένων (⁹) ».

Τοιαῦτα τὴν κόρην τεκμαίρομαι πρὸς ἑαυτὴν μελετᾷν. Εἶτα τὴν οὕτω ποθοῦσαν οὐ βούλει κομψευομένην δρᾷν οἷον ἔλαχεν ἐραστήν; οὐ Νεοπτόλεμον τὸ παιδίον πρὸς τοὺς ἡλικιώτας ὡραϊζόμενον παπρικαῖς ἀριστείαις; οὐ τὸν πρεσβύτην Πηλέα παιδὸς ἀγαλλόμενον ἀρεταῖς ἐν συλλόγῳ γεγηρακότων; οὐ τὸν Ὀπούντιον (¹⁰) φίλου τροπαίοις καλλωπιζόμενον (¹¹); Ἀναβήσεταί σοι καὶ πρὸς αὐτὸν ἡ δόξα (¹²) τὸν οὐρανὸν τῷ προγόνῳ Διΐ· οὐδὲ τοὺς θαλαττίους αὕτη (¹³) λήσει θεούς, διηγουμένης (¹⁴) σου τῆς μητρός.

(¹) Accessit δὲ ex P. « Κεκονιμένον] sic Aug. recte. Nam κονίειν aliud est, aliud κονιᾷν. Mor. dat κεκονιαμένον ». R. — P, κεκονιμένον. Quæ varietas et alibi reperitur.

(²) « Πρῶτον Wolf. » R. — P, πρότερον.

(³) Ed., νέων καὶ ἀρχείων. P, νίκας ἀρχαίων.

(⁴) Ed., ᾆδε.

(⁵) « Τῆς σῆς m. Mor. » R. — P, τὰς σάς.

(⁶) Ed. Reisk. συνάσω. « Συνάσω] sic Wolf.; συνᾴδω Mor. » R. — P, συνᾴδω. Displicet futurum συνᾄσω.

(⁷) Ed., θέλγωμεν. P, θέλγομεν.

(⁸) Sic A. B. et W. μεῖζον Mor. » R. — P, μείζων. Statim « γρ. τῶν ἀγαθῶν in marg. A. » R.

(⁹) P, κεχριμένων, superscripto α.

(¹⁰) Patroclum ipsum qui fuit Opounte urbe oriundus. Vid. Il. 23, 85.

(¹¹) « Sic A. et B.; ὡραιζόμενον Mor. » R. — P, καλλωπιζόμενον.

(¹²) « Sic Bav.; ἡ deest Mor. » R. — P, ἡ.

(¹³) Ed., αὕτη. P, αὐτή.

(¹⁴) « Sic A et W.; διηγημένης Mor. » R. — P, διηγουμένης τῆς μητρός σου.

Ἔτι βουλεύεσθαί μοι (¹) δοκεῖς, τῇδε κἀκεῖσε περιάγων τὸν πόδα (²). Πειράσομαι τοίνυν ἀφύκτῳ σε λίνῳ θηρᾶσαι. Κομίζω σοι τὴν σκευήν· ὑποδείκνυμι τὴν μελίαν, τὸ δόρυ τὸ πατρικόν.

Ἀναλάβωμεν, ὦ Μυρμιδόνες, τὰ ὅπλα. Ἂν ἴδῃ στρατόπεδον Ἀχιλλεὺς ὡπλισμένον, εἰς τὴν ἰδίαν ἥξει φερόμενος φύσιν, ἠρεμεῖν ἔτι μὴ καρτερῶν. Πολλάκις αὐτοῦ πολεμικόν τι παθόντος ᾐσθόμην τῷ κτύπῳ τῆς συμπλοκῆς, καὶ δεδοικότος (³) μὴ λάθῃ μαχίμῳ φιλοτιμίᾳ διαλλαγεὶς Ἀγαμέμνονι. Τοιγαροῦν ὅτε τῶν πολεμούντων ἡ ταραχὴ προσέρχεται ταῖς ναυσὶ, σφοδρότερόν πως ὑποκινεῖ τὰς χορδὰς, καὶ μέλος τὸ προστυχὸν ᾄδων βοᾷ(⁴), μεγέθει φωνῆς ἐκκλίνων τὸν θόρυβον.

(¹) P, βεβουλεῦσθαί μοι.

(²) Aristænetus in Pieria virgine modesta τὰ τῶν αἰδουμένων ἐν διαπορήσει κινήματα describens 1, 15: ἔστιν δὲ ὅτε καὶ τοὔδαφος περιχαράττουσα τῷ ποδί. Ibi nota p. 455.

(³) « Δεδοικότως B.; δέδοικα m. Mor. » R. — P, δεδοικότος.

(⁴) Ed., ἄδων βοᾷ. « Ἀναβοᾷ Augustanus ». R. — P, ᾄδων βοᾷ.

ΧΟΡΙΚΙΟΥ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ ΔΙΑΦΟΡΑ.

α'.

Ἦσαν (1) Ἀττικαὶ παρθένοι (2) καὶ παῖδες Πανδίονος· ὁ δὲ Τηρεὺς ὑπῆρχε ἄδικόν τι χρῆμα (3) καὶ περὶ παρθένου (4) φυλακὴν ὑβριστής. Ἐφθόνησεν αὐτῇ (5) καὶ φωνῆς, καὶ οὐδὲ γλῶτταν ἀφῆκε τῇ κόρῃ. Ἀλλ' ἦσαν αὐτῇ χεῖρες δεινὰ μιμεῖσθαι παθήματα· καὶ γράφει τὴν ὕβριν, καὶ σιγῶσα ἐδείκνυτο. Τοῦ δὲ παιδὸς Πανδίονος φόνον (7), Ἴτυν αὐτὸν καλοῦσιν οἱ ποιηταί, ὃν ἀνεῖλε μὲν ἡ μήτηρ (8), προύκειτο δὲ παρανόμῳ πατρὶ παράνομος εὐωχία, καὶ μετήγαγεν αὐτὰς εἰς ὄρνεις ὁ δαίμων, ἐγὼ μὲν σιγήσομαι, αἱ δὲ ὄρνεις ᾄδουσιν (9).

(1) Fragmenta α'-ζ' descripsi ex spicilegio Romano t. 5, pp. 462, 463.

(2) Procne et Philomela.

(3) Sic Platoni Ione poeta dicitur κοῦφον χρῆμα καὶ πτηνὸν καὶ ἱερὸν· ubi Knebel. Theocritus 15, 83 : σοφόν τι χρῆμ' ὤνθρωπος· ubi Kiessling. Xenophon Ephesius initio libri primi : Ἀβροκόμης μέγα δή τι χρῆμα ὡραιότητι σώματος ὑπερβαλλούσῃ. Sic distinxit Passow., et ante illum Palairetus. Cicero Oratione post red. in sen. c. 6, Calventium vocat « tardum, inhumanum, neglectum negotium ». Fontaininus ad Sablieriam, Platonici loci memor : « Je m'avoue, il est vrai, s'il faut parler ainsi, Papillon du Parnasse, et semblable aux abeilles, A qui le bon Platon compare nos merveilles; Je suis chose légère et vole à tout sujet ».

(4) Philomelæ.

(5) Ed. αὐτήν.

(6) Forsan, δεινὰ μιμ. Nota exempla : εὐπραξίαι δειναὶ συγκρύψαι, δεινὸς εὑρεῖν πόρον, δεινοὶ πλέκειν μηχανάς.

(7) Sic Editio, loco impedito. Et error est in nomine patris. Fuit Itys Terei filius. Fors. καὶ ὡς μετ.

(8) Procne.

(9) Ed., ᾄδουσιν ;

β'.

Ἰδοὺ δὲ καὶ ποιμὴν εἰς νομὴν ἐξάγει τὸ ποίμνιον·

ὥρῃ ἐν εἰαρινῇ ὅτε τε (1) γλάγος ἄγγεα δεύει ».

Τὴν δὲ σύριγγα (ἐχθρὸς γὰρ ὁ χειμὼν μουσικῇ) καὶ ἐκρέματο· ταύτην δὲ καθελὼν, αὐτὸς μὲν ᾄδει τὸ ἔαρ, ἢ Πᾶνα τάχα τὸν... πεπλανημένον γνωρίζει τις (2) τὴν ᾠδὴν, καὶ πρὸς τὴν σύννομον ἀγέλην ἐπείγεται δρόμῳ. Ἡ δὲ ἀγέλη πᾶσα τοῖς μὲν σκιρτήμασι κούφοις πρὸς ἀέρα πηδᾷ (3) · τὰ δὲ ὑπέδυ, ὡς ὁρᾷς, καὶ τὴν θηλὴν ἐπισπᾶται. Καὶ οἱ κριοὶ πλήρεις ὄντες τοῦ ἔαρος πρὸς τὰς ὄϊς ἵννυνται (4)... ταῦρος... πόας αὐλῶν τε ποιμενικῶν ἡσθημένος, ἄρας τὸν αὐχένα ἥδεταί τε καὶ ἐμυκήσατο.

γ'.

Ὁ δὲ Πὰν ἐκεῖνος ὁ ἐραστὴς καὶ νόμιος παρθένον ἐπιζητεῖ, τὴν Ἠχὼ (5), καὶ ἔχων οὐδὲ ἔχει, οὐδὲ ὁρᾷ· πάντως βοῆς φθεγγομένης ἀκούει. Ἐκεῖθεν, οἶμαι, ἀνιᾶται καὶ γέγηθε· φωνὴν μὲν γὰρ ἔχει, ἀλλ' οὐδαμοῦ τὸ ποθούμενον.

δ'.

Ὁρᾷ καὶ τὸν Ὑάκινθον Ἀπόλλων (6), καὶ γάννυται. Λακὼν ὑπῆρχε νέος καὶ παιδικὰ τοῦ θεοῦ. Ἀντήρα δὲ Ἀπόλλωνι Ζέφυρος καὶ παρ' ἐρωμένῳ δικάζοντι δεύτερος ἦν. Ἀμείβεται δὲ οὗτος φόνῳ τὴν ἧτταν, ἡ Γῆ δὲ φυτῷ τὸ μειράκιον.

ε'.

Διήμαρτε καὶ Δάφνης Ἀπόλλων (7) ἐρῶν· καὶ δρόμον ἐραστοῦ κἂν φύγῃ (8), καὶ τὴν γῆν ὑποδῦσα ἐνέμεινε παρθένος. Ὁ δὲ φυτὸν εἶχε, ἀλλ' οὐκέτι παρθένον· καὶ νῦν ὁρᾷ κομῶσαν, καὶ θεραπεύει τὸν ἔρωτα.

(1) Versus est Il. 2, 471. Editio sine τε.

(2) Intelligendum τις de κριῷ aliquo aut ταύρῳ. Pro πεπλανημένον forsan πεπλανημένος scribendum.

(3) Non est hyperbole diversa a vernacula, « sauter en l'air », qua etiam de saltu non altiore utimur.

(4) Forsan, ἵενται.

(5) De Pane et Echo pp. 151, 154 ; p. 157, n. 14.

(6) Jam de Apolline et Hyacintho p. 174.

(7) Jam de Apolline et Daphne ibid. et pp. 151, 158, 156.

(8) Sic Editio.

ϛʹ.

Μικροῦ παρῆλθεν ὁ Νάρκισσος (¹). Κάλλος ἔχων ἐθήρα, καὶ βαλὼν ἐκράτει, καὶ κρατήσας εὐφραίνετο. Διψῶντα δὲ λαβοῦσα πηγὴ εἰκόνι θέας αὐτὸν ἑαυτῷ παρεῖχεν εἰς ἔρωτα. Ἀνονήτου δὲ πόθου πέρας ἦν αὐτῷ τελευτὴ (²) καὶ φυτὸν εὐπρεπές. Μεταβαλοῦσα (³) γὰρ ἡ τύχη τὴν φύσιν, τοῦ γε κάλλους ἐφείσατο.

ζʹ.

Ἦν Ἄδωνις (⁴) τὸ μειράκιον· εἰ μὲν φύσει καλὸς, μελέτω λέγειν τῷ μύθῳ... Ἔμελε δὲ τῷ νέῳ ἀμφί τε κυνηγεσίας καὶ θήρας πλανωμένῳ. Ἡ δὲ Ἀφροδίτη παροῦσα τούτῳ πολλάκις, καὶ κύνας ἦγε, καὶ ἥπτετο (⁵) δόρατος· καὶ ὃ μὴ φύσις ἐδίδου πόθος ἐπαίδευε. Καί ποτε τὸν νέον περὶ θήρας ἠσχολημένον ἠπάτα μὲν ὁ Ἄρης (οὐ γὰρ παρῆν Ἀφροδίτη), καὶ κρύπτει τὴν θέαν (⁶), καὶ ὗς ἄγριος ἐδόκει. Καὶ ἔκειτο μειράκιον. Ὁ περὶ τούτου δὲ λόγος εἰς Ἀφροδίτην ἐλθὼν, ἐπλήγη μὲν αὐτίκα τὴν ἀκοὴν ἡ θεός· ὡς εἶχεν (⁷) ἐφοίτα σεσοβημένη πάθει καὶ ἔρωτι· δεινὰ δὲ ἄρα καὶ πόθος ἀποινωθεὶς (⁸) καὶ πένθος ἐπ' ἔρωτι. Ἔτυχε δὲ γυμνὴ τὼ πόδε εἰς ἴτυν (⁹) τοῦ ῥόδου· ἡ μὲν γὰρ ἐπέμεινεν ἀγνοοῦσα· λογισμοῦ γὰρ παθόντος, καὶ βλέπων οὐχ ὁρᾷ, καὶ ἀκούων ἠγνόηκεν. Ὡς οὖν ἐπέβη τοῦ ῥόδου, ταῖς περὶ αὐτὸ (¹⁰) ἀκάνθαις ἀμύτ-

(¹) De Narcisso pp. 137, 176.

(²) Ed., τελετή.

(³) Sic mutavi editum μεταλαβοῦσα. Permutatio solita; cf. pagg. 8, nota 6; 277, n. 8. Ad sententiam vide p. 176, 21.

(⁴) De Adonide et Venere jam sæpius, pp. 131, 139, 144, 177.

(⁵) Ed., ἥπτατο.

(⁶) Forsan τὸν θεόν. Moschus 2, 79, de Jove se in tauri figuram vertente, Europæ propter amorem: Κρύψε θεὸν καὶ τρέψε δέμας, καὶ γίγνετο ταῦρος. Ibi similia contuli.

(⁷) Forsan hic addendum δέ· ὡς δὲ εἶχεν. Similia p. 177.

(⁸) Si scripsit sophista ἀποινωθεὶς, de quo non parum est dubitationis, verterim latina metaphora simili, « amor ebrius ».

(⁹) Notandum ἴτυς de spina rosæ. De hami uncino dictum illustrat Jacobsius Anal. ad Juliani AEg. Epigr. 6, 2. Pachymeres Progymn. c. 2, Ulyssis narrans insanam arationem: ἄγει γὰρ ἐκεῖσε Παλαμήδης Τηλέμαχον, καὶ τίθησι παρ' αὐτὴν τῆς αὔλακος τὴν ἰθὺν, ὅπου ὁ ξένος ἐκεῖνος ἀρότης ἔμελλεν ἰθύνειν τὸ ἄροτρον. Non variat codex, ac fuit descriptus a librario quem doctum fuisse ostendit ejus epistola a me edita ad Psellum pag. 208. Videtur tamen esse mendum in ἰθύν. Cogitavi de reponendo ἴτυν, scilicet extremam sulci oram, qua aratrum in novum sulcum reducitur. Cogitavi et de corrigendo τὴν νηδὺν « sulci alveum », sono simillimo, sensu optimo. Forsan, τὴν ἰθεῖαν, subaudito γραμμήν.

(¹⁰) Ed., περὶ αὐτοῦ.

τει τὸν πόδα. Καὶ ἦν ἄρα πρόσθεν λευκὸν, αἵματι δὲ .. ὑπηρυθαίνετο ([1]), εἰς εἰκόνα τῆς θεοῦ καὶ μνήμην τοῦ ἔρωτος.

η'.

Ἡ ([2]) τοῦ πολέμου φύσις σωμάτων μὲν ἴσως, γνώμης δὲ κρατεῖν οὐ φιλεῖ, μᾶλλον δὲ φιλονεικοτέραν ποιεῖ, πρὸς τὸ δοκοῦν ἀσύμφορον ([3]) ἄγουσα.

θ'.

Σκυθῶν οἱ νομάδες, ἐπαναστάντων αὐτοῖς ποτε τῶν οἰκετῶν, μέχρι μὲν ἐν ὅπλοις ὁ πόλεμος ἦν, ἐρίζοντας εἶχον· τὸ γὰρ ἴσον τοῦ σχήματος ἐποίησε τοὺς θεράποντας ἐπιλαθέσθαι τῆς τύχης· ἀναλαβόντες δὲ μάστιγας, τοῦτό τινος ὑποθεμένου, ταχέως αὐτοὺς τῆς δουλείας ἀνέμνησαν, δεσπόται φανέντες ([4]).

ι'.

Πολλάκις καὶ λόγος εἰς καιρὸν εἰρημένος κατορθοῖ τι ῥᾳδίως, ὅπερ βιαίως ἡ ῥώμη ([5]).

ια'.

Οὐδέν ἐστιν ἀνάλωτον ἀρετῇ.

ιβ'.

Οὐχ οὕτω λυπεῖ τὰ τερπνὰ διεστηκότα τῆς θέας, ὅσον φαινόμενα τοὺς ἀπολαύειν οὐ δυναμένους.

ιγ'.

Δύο μάλιστα τρόποι φρουροῦσι τὰς πόλεις, εὐμένειά τε θεοῦ καὶ περίβολος ἀῤῥαγής ([6]).

ιδ'.

Ἀπειρόκαλον παρὰ ([7]) τὰ γελοῖα σπουδάζειν.

([1]) Conf. p. 159, n. 7.

([2]) Fragmenta η'-ιδ' excerpsit Macarius Chysocephalas Roseto apud Villoison. Diatr. pag. 20, ex Choricii in Aratium Oratione, cujus præfationem edidi supra p. 126.

([3]) « Immo forte συμφέρον ». VILL. Nil mutandum.

([4]) « Vide Herodot. l. IV, pag. 257 edit. Stephani a. 1592 ». VILL. Vide interpretes ad Herod. 4, cap. 4.

([5]) Euripides in Phœn. ✠. 519 : πᾶν γὰρ ἐξαιρεῖ λόγος Ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν ». VILL.

([6]) « Male in cod. ἀραγης ». VILL.

([7]) « Sic in cod. Lege περί ». VILL. Servetur omnino scriptum in codice παρά. Properabat nimium

ιε'.

Ὧ (1) μεγάλα κατώρθωται (2), τοῦτον ὁ τὰ βραχέα (3) φέρων εἰς μέσον φαυλίζει, διδοὺς ὑποψίαν τοῦ μὴ πρὸς ἔπαινον ἀρκέσαι τὰ μείζονα (4).

ις'.

Ἡδὺ μὲν λύρα, χορδῶν συμφθεγγομένων ἀλλήλαις· ἡδὺ δὲ ζυγὸς, συνωρίδος ὁμονοούσης· ἥδιστον δὲ πάντων, γυνὴ ταὐτὰ φρονοῦσα τῷ συνοικοῦντι.

ιζ'.

Τοῖς (5) γονεῦσιν ἔθος ἀλαζονεύεσθαι πρὸς τοὺς ἐραστὰς τῶν θυ-

vir d. Est παρὰ τὰ γελοῖα latine « inter jocos ». Nihil notius illa præpositionis παρὰ significatione. Aristænetus, 2, 23 : παρὰ τὸ συμπόσιον, « inter epulandum ». Philostratus Her. pp. 122, 210 : παρὰ τὴν μῆνιν. Cujus scholiastes p. 501 : κατὰ καιρὸν τῆς μήνιδος. Idem Philostrati verba pag. 12, παρὰ τὴν ἄνθην, apte reddit, κατὰ τὸν καιρὸν τῆς ἄνθης. Meæ notæ ad Heroica p. 314 meminerunt Thesauri Stephaniani editores viri doctiss. V. παρὰ p. 196. Lucianus Cataplo 23 : παρὰ τὸν βίον. Ibi Reitzius, qui variantem περὶ rejicit merito. Sic in Timarione § 30 παρὰ τὸν βίον, spreta codicis scriptura περὶ, edidit Hasius et adstruxit. Demosthenes De pace § 2 : παρὰ πάντα τὸν βίον. Ibi Vœmel. Demosthenes sententia memorabili Ol. 2, § 22 : μεγάλη γὰρ ῥοπὴ, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα. Plutarchus De aud. poet. § 11 : ἐν ταῖς παρὰ τὰς μάχας κελεύσεσιν. Quod in latinis Krebsiano texto appositis ita conversum fuit : « in exhortationibus ad prælium »; convertendum potius : « in exhortationibus inter præliandum factis ». In epimythio Fabulæ Æsopicæ 84, verba παρὰ τὰς εὐθηνίας, latine sic reddita, « ubertatis causa », reddenda potius opinor, « tempestatibus annonæ fæcundis». Choricii sunt exempla pp, 61, 63 : παρὰ τὸν ἀγῶνα, παρὰ τὴν ἀπουσίαν τῶν κεκτημένων · et alibi, v. c. p. 20, παρὰ τὸν μέγιστον τῶν δακρύων καιρὸν, quod Wolfius non satis latine reddidit : circa tempus luctuosissimum ». Addesis Fischerianos Theophrasti et Axiochi indices; Matthiæ notas et Monkii ad Alcest. 945 = 949.

(1) Hoc et sequens fragmentum excerpsit Macarius Roseto ap. Villoison. Diatr. pag. 20 ex Choricii oratione nuptiali, ἐκ τοῦ εἴς τινας τῶν φοιτητῶν ἐπιθαλαμίου. Opinatur Villoisonus orationem esse intelligendam, cujus lemma in catalogo Yriartæ p. 397 : Ἐπιθαλάμιος εἰς Προκόπιον καὶ Ἰωάννην καὶ Ἠλίαν φοιτητὰς ὄντας αὐτοῦ.

(2) Ed., κατόρθωται, vitio jam obvio. Cf. p. 54, n. 2.

(3) « Sic restitui pro βραχία. Recte Pindarus P. IX, str. IV : ἀρεταὶ δ' αἰεὶ μεγάλαι πολύμυθοι ». VILL. Qui Pindari locus nihil huc facit.

(4) Forsan, μείζονα, sine articulo, scilicet ἔπαινον μείζονα, vel τὸν μείζονα.

(5) Fragmenta ιζ' - κγ' excerpsit Macarius Roseto ap. Villois. Diatr. p. 47, ἐκ τῆς μελέτης πρώτης Πολυδάμαντος, cujus meminit Yriartes Catalogo p. 399.

γατέρων, ἐπισταμένους ὅτι τὸ μὴ πρόχειρον εἶναι τὴν ἡδονὴν αὔξει τὸν ἔρωτα.

ιη'.

Μελλόντων, ὡς ἐοικὸς, ἀνθρώπων, κακοπραγεῖν, οὐ πέφυκεν ὁ λογισμὸς ὑγιαίνειν (1), ᾧ τὸ δέον ἐστι βουλεύσασθαι.

ιθ'.

Πᾶν ἐκ πολέμου ληφθὲν τιμιώτατον στρατιώτῃ· κἂν τρίπους ᾖ, κἂν ἄσπις, ἥδιστον κτῆμα· μνήμη γὰρ γίνεται νίκης, καὶ τὴν αὐτὴν δύναται μαρτυρίαν τῆς ἀρετῆς (2) μικρά τε καὶ μεγάλη μοῖρα λαφύρων.

κ'.

Τῷ ποθοῦντι (3) πάντα δεύτερα τῆς ἐρωμένης.

(1) P. Syrus, cum nota Gruteri : « Stultum facit Fortuna quem vult perdere ». Quem versum, quum citavisset sic mutatum, « Fortuna quem vult perdere stultum facit », Grævius Lectt. Hes. pag. 5, unde habuisset non divinabam, qui tunc Baccharum illustrabam ỳ 840 : Τισώμεθ' αὐτόν · πρῶτα δ' ἔκστησον φρενῶν. Conferendus Antiphon Stobæi Tit. 104, 19 : ᾧ γὰρ ὁ θεὸς μὴ παντελῶς βούλεται ἀγαθὰ διδόναι ἀνδρὶ, χρημάτων πλοῦτον παρασχὼν, τοῦ καλῶς φρονεῖν πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος, ἀμφοτέρων ἀπεστέρησεν. Ammianus Marc. 14, p. 55 : « solent, manum injectantibus Fatis, hebetari sensus hominum et obtundi ». Ibi Lindenbrog. et Valesius. Salvianus De Gub. 6, p. 142 : « totum incuria et segnities, totum negligentia et gula, totum ebrietas et somnolentia possidebant, secundum illud scilicet quod de talibus scriptum est : *quia sopor domini irruerat super eos*; sopor quippe infunditur, ut perditio subsequatur ». Et huc refero Ciceroniana in Miloniana § 33 : hic dii immortales... mentem dederunt illi perdito ac furioso, ut huic faceret insidias ». Vide et quæ monui ad Anecd. Gr. t. 1, p. 89, et Osann. ad Lycurg. § 21, et Bos. Exerc. p. 95. Racinius magnifice Athalia : « Daigne, daigne, grand Dieu, sur Mathan et sur elle Répandre cet esprit d'imprudence et d'erreur, De la chute des rois funeste avant-coureur ».

(2) « Forte hic excidit ἀνεγείρειν aut quid simile ». VILL. Forsan, παρέχειν, παρέχεσθαι. Ni tamen possit δύναται per se significare « præstat »; quod, de nummorum valore frequens et vocabulorum significatione, nonnusquam fuit et ad alia translatum. Inter exempla nonnulla exhibet Thesaurus Stephani sub Δύνασθαι locum Gregorii Naz. de baptismo [Orat. 40, p. 659 c.] : ἡμῖν δὲ τὴν συννέκρωσιν τοῦ Χριστοῦ δύναται. Conf. Stalbaum. ad Philebum § 36.

(3) « Male in cod. πονθοῦντι ». VILL. Usum participiorum ποθῶν ποθούμενος, pro ἐρῶν ἐρώμενος illustrant notæ ad Aristænetum pp. 205, 505, 522. Procopius Epist. 13 Aldinæ : εἰ τοὺς ποθοῦντας καὶ μία γηράσκειν ἡμέρα ποιεῖ, ἐξ ὅσου με χρόνου γεγηρακέναι δοκεῖς; Meminerat Procopius Theocriti Id. 12, 2 : οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσι. Conferatur et Choricius infra Fragmento ϛ', p. 294.

κα'.

Οὐ τὸ τῆς ὕβρεως εἶδος εἰώθαμεν μᾶλλον σκοπεῖν ἢ τὴν τῶν ὑβριζόντων προαίρεσιν.

κϐ'.

Ὁ ἐρῶν ὑποψίας ἐστὶ καὶ φόβου μεστὸς, καὶ τὸ προστυχὸν ἐμποδὼν εἶναι πρὸς τὴν χρείαν νομίζει.

κγ'.

Διάκονός ἐστιν ὁ θυμὸς τοῦ λογισμοῦ· καὶ τῷ μὲν, εἴ τις ἠδίκηταί τι, γινώσκομεν, τῷ δὲ τοὺς ἁμαρτάνοντας ἀμυνόμεθα.

κδ'.

Εὔκολον (¹), οἶμαι, παντὶ παραμυθεῖσθαι τὸν πλησίον, ἢ πταίσαντα καρτερεῖν (²).

κε'.

Πρὸς γὰρ τοῖς ἄλλοις κακοῖς ἐστι καὶ Θετταλὸς, οἷς ἐπιχώριός ἐστιν ἡ ἀπιστία (³).

κς'.

Καὶ τὸν τόπον αὐτὸν ἐν ᾧ κακῶς πράττουσιν, ἄνθρωποι ἀποστρέφονται (⁴).

(¹) Fragmenta κδ'-λ' excerpsit Macarius Roseto apud Villoisonum Diatr. p. 48, ἐκ τῆς Πριάμου μελέτης ϐ', de qua Yriartes Catalogo p. 399.

(²) « Hoc, ut et multa alia, expressit ex Euripide in Alcestide v. 1078 : Ρᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Hic autem in Choricio, ut sæpe alibi, positivum pro comparativo cernis. Post εὔκολον subauditur μᾶλλον ». VILL. Sirach 22, 18, εὔκοπον pro εὐκοπώτερον · ibi nota Hœschelii.

(³) « Forte hæc, οἷς ἐγχώριός [Sic, quum sit in contextu ἐπιχώριος] ἐστιν ἡ ἀπιστία delenda quibusdam videantur, ut glossa τοῦ Θετταλός. Sensus est : ad omnia illius (Achillis, ut suspicor; cum hic de eo conqueratur Priamus) vitia insuper accedit, quod sit Thessalus, cui genti innata est perfidia ». VILL. Nemo illa verba deleri velit, quæ sunt ad sententiæ vim augendam omnino necessaria. Demosthenes Ol. 1, § 22 : εἶτα τὰ τῶν Θετταλῶν · ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει. Ibi Vœmel.

(⁴) Amphis comicus inter Gnomicos Brunckii : Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις Ἥκιστα τούτοις πλησιάζων ἥδεται. Ibi Schæfer. p. 256. Adde Rigalt. ad Phædr. F. 1, 18, 1, « Nemo libenter recolit qui læsit locum » ; quæ fabula est de muliere parturiente. Hinc Sophoclea Jocasta in OEd.T. 1235 : Γοᾶτο δ' εὐνὰς, ἔνθα δύστηνος διπλοῦς Ἐξ ἀνδρὸς ἄνδρας καὶ τέκν' ἐκ τέκνων τέκοι. Affabulatio prosaica Babrianæ fabulæ 12 : ὅτι συμφέρει

κζ'.

Πᾶσι πᾶν ἄηθες χαλεπόν.

κη'.

Τοῖς ἐρῶσι τὸ μὲν τῆς ἐπιθυμίας τυχεῖν ἀπομαραίνει τὸ πάθος· τὸ δὲ σφάλλεσθαι παντελῶς ἐξάπτει τὸ νόσημα.

κθ'.

Μὴ προσλαβοῦσα κοινωνὸν πονηρία μεῖζον ὄνειδος φαίνεται.

λ'.

Φύσει δύσερις πᾶσα γυνή (1).

λα'.

Ἅπαξ (2) λαβομένη ἡδυπαθείας, ἡ φύσις μόλις ἐθέλει πρὸς τοὺς πόνους ἀναχωρῆσαι (3).

λβ'.

Εἰ τὴν εὐκολωτέραν (4) μεταβολὴν οὐ λίαν ἀμελετήτως ἐστὶ λαβεῖν, ἀλλὰ δεῖ τινος γυμνασίου, καὶ ταῦτα τῶν ἀνθρώπων ἐπὶ τὸ ῥᾷον αὐτομολούντων, πῶς ἔνεστι ἀνδραγαθίαν πολεμικὴν αὐθαίρετον εἶναι; ἅμα γὰρ ὅπλοις ἐκδυομένοις συνεκδύεται καὶ τὸν θυμὸν ἀνήρ (5).

λγ'.

Τοὺς Σκύθας ἀγαθοὺς ἔχει τοξότας ἡ φήμη, καὶ τοῦτο ἐκείνοις ἐπι-

τῷ ἠδικημένῳ πόῤῥω γενέσθαι τῶν εἰς ἀνάμνησιν αὐτὸν φερόντων κακῶν. Proposui τῶν κακῶν. Propono et nunc γενέσθαι τόπων τῶν.

(1) Palladas Epigr. 6 : Πᾶσα γυνὴ χόλος ἐστίν. Ibi Jacobs.

(2) Fragmenta λ' – λθ' excerpsit Macarius Roseto apud Villoisonum Diatr. p. 48, ἐκ τῶν Λυδῶν μελέτης γ', de qua Yriartes Catalogo pag. 398.

(3) Exstat et in Collectaneis Antonii S. 102, p. 168 Gen.; S. 144, p. 454, Franc.; S. 80. p. 169 ed. lat. Ant. Ibi alio ordine λαβομένη ἅπαξ, et ἐθέλει quod prætuli Villoisonianæ lectioni ἐθέλοι. Permutatio solita vocalium ει οι. Theodorus Prodr. Rhod. 5, p. 204 : Μὴ, κἂν πενιχρὸς ὁ στρατὸς τοῦ Μιστύλου, ὅμως χαλάσοι τὴν ὑμῶν προθυμίαν, Ὑπαμβλυνεῖ δὲ τῆς μαχαίρας τὸ στόμα. Legendum ὑπαμβλύνοι in optativo ut χαλάσοι, vel potius χαλάσῃ, ὑπαμβλύνῃ. Video in eadem pagina menda non relinquenda : Τί γὰρ μετὰ τρόπαιον ἢ ποῖον γέρας Μικρὸς πενιχρὸς εὐαρίθμητος στόλος Μετατραπωθεὶς ἐκ τοσούτων ναυμάχων; Legendum : Τί γὰρ μέγα τρ. et μετατροπωθείς. Inde accedat lexicorum copiis verbum μετατροπόω. Gaulminus jam proposuit μέγα.

(4) Forsan εὐκολωτάτην.

(5) « Manifesto expressit Herodotum apud quem, libro primo [c. 8], Candaulis et Gygis historiam narrantem, dicitur fœmina cum suis vestibus τὴν αἰδῶ συνεκδύεσθαι ». VILL.

χωριάζει τὸ πλεονέκτημα. Ἐκ τούτων ἕνα φασὶν εἰς ἅμιλλάν ποτε προσκληθέντα (¹) τὸν ἀγῶνα διαφυγεῖν, « ὅτι τῇ προτεραίᾳ » φησίν, « ἔτυχον ἀγύμναστος ὤν ».

λδʹ.

Οὐ μόνον ἀνόνητον ἐν πολέμοις, ἀλλὰ καὶ βλαβερὸν ἄνανδρος ὄχλος.

λεʹ.

Πᾶσιν ἔθος, ἐρῶσι μὲν πράγματος, ὅσα φέρει χρηστὰ τῷ μετιόντι σκοπεῖν, παυσαμένοις δὲ τὰ φαῦλα λογίζεσθαι.

λϛʹ.

Ὀλίγα εἰώθει κρύπτειν ἡ φήμη· τὰ γὰρ παράδοξα τῶν πραγμάτων αὐτά πως ἑαυτὰ μηνύειν ἐθέλει (²).

λζʹ.

Ὁ γάρ, ἐφ' οἷς αἰδεῖται, μὴ δοκεῖν αἰσχύνεσθαι μηχανώμενος, μειζόνως ἐρυθριᾷ.

ληʹ.

Ἵπποι μὲν καὶ βόες καὶ τὰ μὴ μετέχοντα τοῦ φρονεῖν (³) εἰκῇ τοῖς ἡγεμόσιν ἀκολουθείτω (⁴)· ἀνθρώποις δὲ παῤῥησίαν, οἶμαι, δοτέον τὸ

(¹) « Lege προκληθέντα ». VILL. Quod quidem inventum servavissem, propositum non statim amplector. In simili narratione verbo προσκαλεῖται usus est Himerius Or. 17, § 4 : πυθόμενος οὖν (ὁ Ἀλέξανδρος) καὶ μαθὼν ὅστις (Sic cod.) Αἰθιόπων εἴη τοξεύειν ἄριστος, προσκαλεῖται τὸν ἄνδρα καὶ δειχνῦναι (cod. δειχνύναι, bene) τὴν τέχνην ἐκέλευσεν· ὁ δὲ μικρὸν ἐπισχών, καὶ ἠρέμα σύννους γενόμενος προσδεῖν ἔφη μελέτης αὐτῷ· τυχεῖν γὰρ μιᾶς ἡμέρας πόῤῥω τοῦ τοξεύειν γενόμενον. Male proposuit προκαλεῖται Wernsdorf. Nam probabilissimum est Alexandrum ad se vocasse hominem, non provocasse, et artis postulasse spectaculum. Quod manifestum facit Plutarchi locus a Wernsdorfio indicatus ex Apophth. Alex. 25. Plutarchi sagittarius Indus est, Himerii Æthiops, Choricii Scytha. Sic variatur res una. Monebo etiam de loco Himerii lacunæ, qua fœdatur initium, supplementum Αἰθίοπες a Wernsdorfio propositum non solum re ipsa et ipso facto defendi, sed firmari codice, cui clara insunt ejus vocabuli vestigia.

(²) De θέλω ἐθέλω in sensu consuetudinis monitum jam fuit p. 125, n. 4 ; pag. 131. Est exemplum et pag. 165 : αἰδὼς σώφρων αἰσχροῖς οὐκ ἐθέλει διακονεῖσθαι προστάγμασι. Dion Cass. 58, 36 : δεῖ μὲν γὰρ ἐν τοῖς ἰδίοις δραστηρίους εἶναι· τὸ γὰρ ἐπιεικὲς οὐκ ἐθέλει μὴ καὶ ἐκ τούτου σώζεσθαι. Proponit Reimarus legi εἰ μή, vel μὴ ἄνευ τούτου. Hoc placet viro d. Sed nihil statim mutaverim. Per se μή, ni fallor, valebit εἰ μή.

(³) « Respexit, opinor, Cyropædiæ initium ». VILL.; vel non respexit.

(⁴) Correxi editam lectionem ἀκολουθήτω.

μὴ καλῶς ἔχον ἐπανορθοῦν, ἐπειδὴ τῆς αὐτῆς κοινωνοῦσι φύσεως τῷ λαχόντι τὴν ἐξουσίαν. Οὐδὲ γὰρ ὁ κυβερνήτης ὅ τι ἂν αὐτῷ δόξῃ βιάζεται πράττειν· ἀλλὰ καθεδεῖται μὲν ἐν ἄρχοντος μοίρᾳ, πεπιστευμένος τοὺς οἴακας καὶ τὸ σκάφος ἰθύνων, δίδωσι δὲ τοῖς ναύταις, εἰ βούλοιντό τι πρὸς τὸ κοινῇ λυσιτελοῦν ἀποφήνασθαι· καὶ τί λέγω τοῖς ναύταις; εἴ τις τῶν ὁπωσοῦν ἐμπλεῖν, τῶν ναυτικῆς ἐχόντων ἐπιδεξίως, ἴδοι μὴ λίαν εὐστόχως (1) τὴν ὁλκάδα κυβερνωμένην, εἰσηγεῖται τὰ δοκοῦντα συμφέρειν.

λθ'.

Οὔσης ποικίλης καὶ τραχείας τῆς ἐπὶ τὴν ἀρετὴν ἀγούσης ὁδοῦ (2), βραχύ τις ἀποστὰς εἰς λήθην ἔρχεται.

μ'.

Τῆς τύχης (3) οὐ παρεπομένης, ἀσθενῆ τὰ λοιπά.

μα'.

Τὰ ἄφνω φανέντα πλέον ταράττει τῶν ἐκ συνεχοῦς ἀκοῆς ἐκτυπωθέντων (4) τῇ γνώμῃ.

μϐ'.

Ὅπερ ἂν ἅπαξ τύχοι τις ὑποπτεύσας, εἰς τοῦτο πάντα νομίζει τὰ συμπίπτοντα τείνειν.

μγ'.

Τὴν γενναίαν καὶ φιλότιμον φύσιν τὰ πόνῳ κτηθέντα πλέον εὐφραίνει τῶν ἀπόνως συλλεγομένων, καὶ μᾶλλον ἥδεταί τις αὐτὸς πορισάμενος ἢ παρ' ἑτέρου λαϐών· καὶ τὸ δικαιοσύνῃ κτηθὲν ἐπαινούμενον οἶδε, τὸ δὲ πονηρῶς ἀνυσθὲν ἐπίψογον πεφυκός, καὶ τὸ μὲν βεϐαίως παραμένον τῷ κεκτημένῳ, τὸ δὲ σφαλερὸν καὶ ταχὺ μεταπίπτον.

μδ'.

Καθαρὰ ὑποψίας ἡ τῶν ἐχθρῶν μαρτυρία.

(1) « Forte τῶν ἐν πλοίῳ, vel τῶν ἐμπλεόντων, ὁπωσοῦν τῆς ναυτικῆς ἐχόντων ἐπιδεξίως ». VILL. Forsan, εἴ τις τ. ὀπ. ἐμπλεόντων, ναυτικῆς ἔχων ἐπιδεξίως, ἴδοι... Ed., εὐστόχων, quod mutavi.

(2) Hesiodus, cujus meminerat orator, de virtute É. 288 : μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν Καὶ τρηχὺς τὸ πρῶτον.

(3) Fragmenta μ'–μη' excerpsit Macarius Roseto, in Villoisoni Diatriba pag. 49, ἐκ τοῦ Μιλτιάδου μελέτης δ', de qua Yriartes Catalogo p. 398.

(4) Fors. ἐντυπωθέντων.

με'.

Τοιοῦτόν ἐστι συκοφαντία· τὸ προστυχὸν ἀεὶ πρόφασιν ποιεῖται διαβολῆς.

μς'.

Οὐδὲν ἄτοπον καὶ ξενικὴν εὐβουλίαν μιμεῖσθαι.

μζ'.

Ἴσμεν ἅπαντες ὅτι τῷ μὲν οὐδὲν ἑαυτῷ συνειδότι λαμπρὸν βραχὺς γίνεται λόγος εὐκλείας. Τί γὰρ ὁ μηδὲν κεκτημένος χρηστὸν εὐλαβήσεται καταισχύνειν ([1]); τῷ δὲ πλείστοις ἤδη πολέμοις ἐκλάμψαντι πολλὴ γίνεται φυλακὴ μετὰ τὰς ἀνδραγαθίας ἀμέμπτως διαβιῶναι, μή ποτε λάθῃ βραχείᾳ κηλῖδι ([2]) τοὺς πόνους καταῤῥυπαίνων ([3]).

μη'.

Πολλοὺς ἡ τύχη μεγάλοις δελεάσασα κατορθώμασι ἐλαττόνων ὀρεγομένους ἀφῆκε.

μθ'.

Πάντων ([4]) χαλεπώτατον ἐν κοιναῖς εὐφροσύναις ἐμπίπτουσα λύπη, καὶ μᾶλλον, ὑφ' οὗ τις ἠδίκηται, τοῦτον ὁρῶν παρὰ τῶν ἄλλων τιμώμενον.

ν'.

Πενία μὲν εἰς ἔργα κινεῖ ([5]), ῥᾳθυμίαν δὲ πλοῦτος ὡς τὰ πολλὰ προσίεται.

([1]) Forsan, ἑαυτὸν καταισχύνειν. Ni sit τι a verbo καταισχύνειν pendens.

([2]) Ed., κηλίδι.

([3]) De verbo καταῤῥυπαίνειν cf. Corayus ad Isocr. t. 2, pag. 299, cujus tamen nota plus hodiernæ linguæ illustrandæ inserviet quam antiquæ.

([4]) Fragmenta μθ'-νδ' excerpsit Macarius Roseto ap. Villoisonum Diatriba p. 50, ἐκ τῆς μελέτης ἑ, ἐν ᾗ, φιλαργύρου ὑπὲρ κόρης αἰσχρᾶς τὴν ὄψιν καὶ πλουσίας τὸν υἱὸν βιαζομένου, ἀντιλέγει ὁ παῖς. De qua declamatione Yriartes Catalogo p. 398.

([5]) Theocritus Piscatoribus loco memorabili: Ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει· Αὐτὰ τῶ μόχθω διδάσκαλος. Ad quem et ad Theophylactum Simoc. p. 234, plurima indicavi. Fontainius Quinquina: « Les Arts sont les enfants de la Nécessité ». Moorius: « O Poverty, thou source of human arts ». Aliter Libanii avarus declamator t. 4, p. 657, 16: ταῦτα (τὰ χρήματα) τέχνας εὗρε. Quam sententiam fuse persequitur.

να'.

Ἐγὼ μὲν τὰς (¹) ἐν κάλλει διαφερούσας ἡγοῦμαι μᾶλλον ἀκέραιον τὴν εὐνὴν τοῖς ἀνδράσι φυλάττειν, ἢ τὰς εἶδος ἐχούσας κακόν (²). Θορυβεῖτέ μοι (³) τὸν λόγον ὡς οὐ πιθανῶς εἰρημένον. Παράδοξον τὸ λεχθὲν, οὐ μὴν ἀληθείας ἀλλότριον. Αἱ μὲν γὰρ παρὰ τῶν ἀνδρῶν, ὡς εἰκὸς, ἀγαπώμεναι, τὸ ἴσον ἀποδιδόασιν, εὐνοοῦσαί τε σωφρονοῦσιν (⁴)· αἱ δὲ καταφρονούμεναι (⁵) μὲν, ἀδυνατοῦσαι δὲ σωφρονεῖν (ὀλισθηρὸν γὰρ τὸ θῆλυ, μὴ παρούσης εὐνοίας ἀνδρός), ἢ καὶ ἀμύνασθαι τοὺς συνοικοῦντας οἰόμεναι, πρὸς τὰς ἔξω (⁶) βλέπουσιν ἡδονάς.

νβ'.

Αἱ πόλεις, ὅσαι μὲν ἴσασι τιμᾷν ἀρετὴν, ἀνδρείους (⁷) τῷ πολέμῳ συντελοῦσιν ἀγωνιστάς· ἐκεῖναι δὲ κάμνουσι καὶ ζῶσι περιδεῶς, ἐν αἷς οἱ σπουδαῖοι τῶν πολιτῶν ἐν ἴσῳ κεῖνται (⁸) τοῖς φαύλοις· τῶν μὲν ἠσκημένων τὴν μάχην ἀθυμίᾳ τὴν ἐμπειρίαν (⁹) ἀποβαλόντων, τῶν δὲ μήπω πεπαιδευμένων οὐ λίαν ἀσκούντων ἄμισθον τέχνην (¹⁰).

(¹) Hoc fragmentum reperit Maius in codice Vaticano sæculi ferme undecimi, præfixo Χορικίου nomine, ac vulgavit Præfatione t. 5, pag. xxvij Spicilegii Romani. Maius, ἐγὼ μέν. Vill., ἐγώ.

(²) Vill., κακῶς. M., κακόν.

(³) Vill., θορυβεῖ τέ μοι. Sunt verba sophistæ ad auditores directa. Integra sententia θορ.... ἀλλότριον caret Maiana.

(⁴) Verba εὐν. τε σωφρ. absunt Maiana.

(⁵) M., παραφρονούμεναι. Debuit librarius, sensu sic jubente, scribere περιφρονούμεναι. Præpositionum περὶ παρὰ compendia non semper nitide conformata, mendorum sunt feracia. Eustathius Epist. 40 : χελιδὼν... τὸν Τηρέα περιτραυλίζουσα καὶ τῆς ἐκείνου παρατρώγουσα κλήσεως, καθάπερ ἐκεῖνος τὴν τῆς ποτε Χελιδόνος γλῶτταν ἐκαινοτόμησε. Codex παρατραυλίζουσα, compendio quidem, sed quod lectori exercitato et attento significet παρά. Hirundo enim non balbutit circum Terea, sed nomen Terei balbutit ac rodit, *ti* tantum proferens. Hinc qui de animalium vocibus scripserunt hirundinem dicunt τιτυβίζειν. Eustathius Epistola 61, in eadem præpositione mendosus est : ἀξιῶν ἀξιῶσαί σε δίκας περὶ τοῦ ὑβρικότος. Codex παρὰ eodem compendio. Himerius Orat. 25, 5 : περὶ τοὺς ἄλλους Ἕλληνας. Codex παρὰ quod conjecit editor. Idem Orat. 27, 1 : πρὸς Ἡφαίστου δέξαιτο. Cod. παρά.

(⁶) M., ἔξωθεν.

(⁷) Ed., ἀνδρείως. « Lege ἀνδρείους ». VILL.

(⁸) Ed., ἴσω κεῖνται. « Lege ἐν ἴσῳ κεῖνται ». VILL.

(⁹) « Male in cod. ἐμπειρία ». VILL.

(¹⁰) « Manifesto expressit illud Euripidis in Hecuba v. 306 : Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις· Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ Μηδὲν φέρηται τῶν κακιόνων πλέον ». VILL.

νγ'.

Βαρύτεροι τοῖς (¹) σωφρονοῦσιν ἔρωτες, καθάπερ τοῖς ὑγιαίνειν εἰωθόσιν αἱ νόσοι.

νδ'.

Αἰσχρᾷ μὲν ἕκαστος γυναικὶ συνοικῶν, κἂν ἐγκρατὴς ὑπάρχῃ καὶ σώφρων, ἀπρεπείᾳ πολλάκις τῆς γυναικὸς οὐκ ἀπείθεται (²) θηρεύειν ἡδονὴν ἀλλοτρίαν, καὶ μάλιστα νέος ἀνὴρ καὶ πρὸς ἄλλην εὐπρόσωπον ἔχων τὸν νοῦν· ὁ δὲ καλὴν ἅμα καὶ ποθουμένην γήμας παρθένον, κἂν ἀκόλαστος ᾖ, σωφρονεῖ, δεδουλωμένος τῇ συνοικούσῃ.

νε'.

Ἡ ἐκ βίου (³) χρηστοῦ πρὸς τὸν ἐναντίον μεταβολὴ διπλασίαν ἐργάζεται τὴν αἰσχύνην.

νϛ'.

Ῥᾷον φέρομεν ὑφιστάμενοί τι δεινὸν παρὰ τῶν τοῦτο προσδοκωμένων ποιεῖν, ἢ παρ' ὧν οὐδὲν ὑποπτεύομεν δυσχερές. Ἡ γὰρ ἀνέλπιστος ἀθυμία, κἂν μικρὸν ἐλαττῶται (⁴) τῆς κατ' ἐλπίδα συμβάσης, δύναται πλέον τὸν πεπονθότα λυπῆσαι.

νζ'.

Γύναιον ἐνδεῶς τεθραμμένον, εἰ λάβοιτο πλουτούσης οἰκίας, εἰς ἀπληστίαν τε καὶ τρυφὴν ἀπειροκάλως ἐκφέρεται, κατὰ τοὺς ἐκ νόσου ῥαΐζοντας ἀκράτως τοῖς σιτιοις χρωμένους.

νη'.

Σῶμα εὐειδές, ἄνευ τῆς ἐντὸς ἀρετῆς, ὀλίγον ἀγαπᾶται καιρόν.

(¹) « Male in cod. ἀρύτεροι ». VILL.

